5. Luna continuo cum quavis rerum generatarum coiit (i. e. fecundam eam reddidit), et omnia quae sunt ab ea gubernari perspicuum est, ut est in oraculis "Nymphae fontium cunctaque numina aquatilia, et sinus ter-

μηναῖοι πάσης ἐπιβήτορες ἠδ' ἐπιβῆται
ὕλης οὐρανίας τε καὶ ἀστερίας καὶ ἀβύσσων.]

6. αἱ τοῦ σπόρου ἑορταί, αἱ λεγόμεναι παρὰ Ῥωμαίοις σημαντίβαι, τουτέστι σπόριμοι, οὐκ ἔλαχον ὡρισμένην ἡμέραν, ὅτι οὐκ εὐπρεπὴς πᾶς καιρὸς εἰς ἀρχὴν σπόρου· ἢ γὰρ πρώϊμος διὰ τὰς ἐπομβρίας ἢ ὄψιμος διὰ τὰς βραδυτῆτας γίνεται. ἤγοντο δὲ ἐπὶ δύο ἡμέρας, οὐκ ἐφεξῆς, ἀλλὰ μέσον γινομένων ἑπτά. καὶ τῇ μὲν πρώτῃ ἱεροποίουν Δήμητρι, οἷον τῇ γῇ τῇ ὑποδεχομένῃ τοὺς καρπούς, εἶτα μετὰ ἑπτὰ ἡμέρας Κόρῃ τῇ τῶν καρπῶν ἐφόρῳ, ἐπεὶ πᾶν σπέρμα ἑβδομαῖον προκύπτει. καὶ οὐ σπέρμα μόνον, ἀλλὰ καὶ ἐμψύχων τὰ πτηνὰ τὸν ἑβδομαῖον ἐπὶ τριάδι κατὰ τὴν γένεσιν φυλάττει λόγον, λόγῳ μὲν ξηραινομένων χυμῶν, καὶ ὅσον οἱ φυσικοὶ σημειοῦνται· ἐπὶ μὲν γὰρ τῆς τρίτης ἄρχεται
p. 33 ἡ καρδία κινεῖσθαι, ἐπὶ δὲ τῆς ἑβδόμης τὸ σύμπαν αἱματοῦσθαι, ἐπὶ δὲ τῆς τεσσαρεσκαιδεκάτης διαρθροῦσθαι τὸ σῶμα, ἐπὶ δὲ τῆς εἰκάδος πρώτης ῥηγνυμένου τοῦ κελύφους ἀφιέναι φωνήν. μεγίστη γὰρ ἡ δύναμις τῆς ἑπτάδος· ὁ γὰρ κατ' αὐτὴν ἀριθμὸς ἀμιγής ἐστι καὶ ἀμήτωρ, μήτε γεννῶν μήτε γεννώμενος, ὡς ἕκαστος τῶν ἐν τῇ δεκάδι ἀριθμῶν. ὅθεν οἱ Πυθαγόρειοι Ἀθηνᾷ τὴν ἑπτάδα ἀνατίθενται· τῇ γὰρ περιόδῳ, φασί, τῆς ἑβδομάδος πάντα ἀθάνατα διασώζεται. καὶ διὰ τοῦτο καλοῦσιν αὐτὴν παρθέ-

2 οὐρανίης καὶ ἀστερίης καὶ ἀβύσσου Olympiodorus in Plat. Alcib. I.

4 σημαντίβαι V. 7 γινομένη V. 12 χηνῶν BV. 16 κελύφου P.

restres atque aërii quique sunt sub luce, lunares ἐπιβήτορες atque ἐπιβῆται, i. e. qui fecundatis omnem materiam et quae in caelo et quae in terra est, ac profunditates."

6. Sementis feriae, quae dicuntur a Romanis sementivae, non stato celebrabantur die, quandoquidem non quodvis tempus ad incipiendam sementem idoneum est: aut enim fit tempestiva propter imbres, aut sera propter cunctationes. agebantur autem biduum, non deinceps, sed septem intermissis diebus; et priori sacra faciebant Cereri tanquam Telluri, quae recipit fruges; deinde septem post diebus Proserpinae frugum praesidi, quandoquidem omne semen post septimum diem germinat. nec semen solum, sed etiam ex animantibus aves praeter triadem septimanam in generatione sequuntur rationem, cum ex ratione arescant liquores. et ut physici significant: tertia enim hebdomade cor moveri incipit, septima universum converti in sanguinem, quartadecima corpus in articulos formari, post primum autem viginti hebdomadum spatium, cum disrumpitur putamen, edere vocem. maxima enim heptadis vis est: eius enim numerus non mixtus est et matre caret, ut qui neque generat neque generatur, ut quisque numerorum in decade. unde Pythagorei Minervae heptadem dicant: heptadis enim, aiunt, circuitu omnia immortalia servantur. et hac de causa eam virginem potente patre natam dicunt, quoniam mo-

νον ὁμβριμοπάτραν, διότι τῆς μονάδος τῆς πάντα περιεχούσης καὶ ὑποστησάσης μόνης ἐστὶ γέννημα· αἰτία γὰρ πάντων ἡ μονάς. λέγεται δὲ καὶ κρίσις διὰ τὸ τῷ ταύτης ἀριθμῷ πάντα λαμβάνειν τὴν ἐπὶ θάτερον ἔκβασιν. καὶ τοῦτο δῆλον ἐκ τῆς καθολικῆς τῶν ἀνθρώπων ἡλικίας· ἐπὶ γὰρ τοῦ ἑξηκοστοῦ τρίτου ἐνιαυτοῦ (ἑπτὰ δὲ ἐννεάδων ἐστὶ συνεκτικός) ἡ γένεσις [κρίνεται, τοῦ ψυχοκρατητικοῦ, ὃς ἐστιν ἕβδομος, καὶ τοῦ σωματοπλαστικοῦ, ὃς ἐστιν ἔννατος, συνιόντων ὁμοῦ.]

7. ὁ Νουμᾶς πανταχοῦ τὸν περιττὸν ἀλλ' οὐ τὸν ἄρτιον ἀριθμὸν τιμῶν, τριχῇ τὰς ἑορτὰς τοῦ μηνὸς διετύπωσε. τρίπους γὰρ οἰκεῖος Ἀπόλλωνος· καὶ γὰρ τῆς μονάδος ἐστὶν εἰκών. ταύτῃ καὶ τὰς τοῦ μηνὸς ἑορτὰς διέταξε. τριῶν γὰρ εἶναι λεγομένων p. 34 τῶν τῆς σελήνης δρόμων, ὀξέος μέσου καὶ ἀνειμένου, δι' οὓς καὶ τριοδῖτιν τὴν Ἑκάτην (οἱονεὶ τὴν σελήνην) οἱ ποιηταὶ καλοῦσι, τρισὶν ἑορταῖς τὸν μῆνα διέλαβε. τρίμορφος γὰρ ἡ σελήνη. καὶ ὅπως, ἐκ τοῦ χρησμοῦ γνωστέον. λέγει δὲ οὕτως·

ἦδ' ἐγώ εἰμι κόρη πολυφάσματος, οὐρανόφοιτος,
ταυρῶπις, τρικάρηνος, ἀπηνής, χρυσοβέλεμνος,
Φοίβη, ἀπειροτέχνη, φαεσίμβροτος, Εἰλείθυια,
τριστοίχου φύσεως συνθήματα τρισσὰ φέρουσα.

ὀξυτέραν γάρ, ὡς Ἀριστοτέλης φησί, ποιεῖται τὴν πορείαν τὴν πρὸς τῷ χειμερινῷ τροπικῷ, βραδυτέραν δὲ τὴν πρὸς τῷ θερινῷ,

1 διότι τὸ τῆς P. 9 ὁ Νουμᾶς — 10 διετύπωσε] ὅτι Νουμᾶς, εἰς τρία τὸν μῆνα διελών, τριχῇ τὰς ἐν αὐτῷ διετύπωσε ἑορτάς. V. 10 ἐτύπωσε P. 19 ἀπειροτεχνὴς apud Euseb. Praepar. evang. 4 23, ἀπειρολεχὴς Lobeckius.

nadis omnia amplectentis solliusque constituentis est progenies: causa enim omnium rerum monas est. dicitur autem discrimen propterea quod eius numero omnia habent ad alterutram partem exitum. et hoc ex universa hominum aetate apparet: ex anno enim sexagesimo tertio (septem autem enneades continet) generatio iudicatur, anno qui ad animum formandum vim habet, qui est septimus, et eo qui ad corpora effingenda, qui est nonus, simul convenientibus.

7. Numa ubique impari, non pari numero, plurimum tribuens, tripartito mensis ferias distribuit. tripus enim proprius Apollinis; etenim est monadis simulacrum. ita etiam mensis ferias instituit. tres enim cum esse dicantur lunae cursus, celer medius et remissus, quamobrem etiam Triviam Hecaten (tanquam lunam) poëtae vocant, ternis feriis mensem partitus est. triformis enim luna, et id quomodo sit, ex oraculo cognoscere licet. loquitur autem ita: "illa ego sum puella multiformis, caelum permeans, tauri vultum habens, triceps, saeva, aureas sagittas iaciens, Phoebe, artium imperita, lucem mortalibus afferens, Ilithyia, tripartitae naturae signa terna gestans." celeriorem enim, ut ait Aristoteles, conficit cursum circa solstitium hibernum, tardiorem circa aestivum, aequa-

ὁμαλὴν δὲ τὴν πρὸς τῷ ἰσημερινῷ. πρώτη τοίνυν τοῦ μηνὸς ἑορτή ἐστιν ἡ λεγομένη παρὰ μὲν Ῥωμαίοις καλάνδαι, παρὰ δὲ Ἕλλησι νουμηνία. καλάνδας δὲ αὐτὰς οἱ παλαιοὶ προσηγόρευσαν ἐξ Ἑλληνικῆς σημασίας, ἀπὸ τοῦ καλεῖν τὸν ἀρχιερέα τὴν βουλὴν ἐν τῇ λεγομένῃ Καλαβρᾷ βασιλικῇ, καὶ σημαίνειν εἴτε χρὴ κατὰ τὴν πεμπταίαν εἴτε κατὰ τὴν διχότομον τῆς σελήνης ἐπιτελέσαι τὴν τῶν νωνῶν ἑορτήν, ἐξ ἧς τὴν μεσομηνίαν ἐπετήρουν. ἐπὶ μὲν γὰρ τῶν μηνῶν τῶν ἔτι καὶ νῦν τὰς σεληνιακὰς σωζόντων ἑορτὰς πεμπταίας
p. 35 τὰς νώνας ἐσήμαινε, καθ' ἃς ἐπὶ τῆς τρισκαιδεκάτης καὶ μοιρῶν τινῶν οὐ τὴν τοῦ φωτὸς ἀλλὰ τὴν τοῦ σεληνιακοῦ σώματος εἰκός ἐστι συντρέχειν μεσότητα. ὁ γὰρ τῶν δεκατριῶν ἀριθμὸς συνέστηκεν ἐκ τῶν πρώτων δυοῖν τετραγώνων τοῦ τέσσαρα καὶ τοῦ ἐννέα, ἀρτίου τε καὶ περιττοῦ, πλευρὰς ἐχόντων τοῦ μὲν ἀρτίου τὸ ὑλικὸν εἶδος, δυάδα, τοῦ δὲ περιττοῦ τὴν δραστήριον ἰδέαν, τριάδα. οὗτος οὖν ὁ ἀριθμὸς ἡ μεγίστη καὶ τελειοτάτη τῶν ἑορτῶν γέγονε τοῖς ἀρχαίοις ἐπιτήρησις. ἡ γὰρ πεντεκαιδεκάτη παρὰ μοίρας ἓξ κυρίως ἐστὶν ἡ μεσομηνία· αὐτοῦ γὰρ τοῦ φωτός ἐστιν ἡ μεσότης. ὅθεν καὶ Διὸς αὐτὴν ἑορτὴν οἷον ἡλίου νενομίκασι, δι' οὗ σύμφαμεν φωτίζεσθαι τὴν σελήνην. ἐπὶ δὲ τῶν ἡλιακῶν ἑβδομαίας τὰς νώνας ἐσήμαινον· ὁ γὰρ ἑπτὰ ἀριθμὸς ἡλίου ἐστίν, ὡς ἔμπροσθεν εἴρηται. δῆλον γὰρ τὴν μὲν ἐλαχίστην τῆς σελή-

9 ἐσήμαινε] ἐπετέλουν V. 10 τὴν post ἀλλὰ add Hasius.
15 ἑορτῶν] ἑορταστικῶν θυσιῶν V. 20 ἑπτὰ] ἕβδομος libri, ἑβδομαῖος Hasius.

bilem circa aequinoctium. primus igitur mensis festus dies est qui Kalendae dicitur a Romanis, a Graecis *Νουμηνία* (i. e. interlunium). Kalendas autem eas veteres vocaverunt ex Graeca significatione, inde quod pontifex maximus ἐκάλει (vocabat) senatum in Calabram quae dicebatur curiam, et significabat utrum oporteret quinto die an luna dimidiata agere Nonarum ferias, unde medium mensem constituebant. in iis enim mensibus qui etiam nunc lunares habent ferias, quintanas Nonas promulgabat, secundum quas die tertio decimo et quibusdam gradibus non luminis sed lunaris corporis medietatem convenire consentaneum est. trium enim decem numerus duobus prioribus constat quadratis, quattuor et novem (paris et imparis) numerorum habentibus latera, paris materialem speciem, dyadem, imparis autem efficacem ideam (s. notionem effingentem), triaden.. huius igitur numeri maxima ac diligentissima in feriis a veteribus ratio habebatur. quintus enim decimus exceptis gradibus sex ut plurimum est medius mensis: ipsius enim luminis est medietas. quare etiam Iovis has ferias (tanquam solis) instituerunt, a quo collustrari lunam constat. in solaribus autem septimanas Nonas indicabant: septimus enim numerus solis est, ut ante dixi. minimum enim lunae circuitum vi-

νης ἀποκατάστασιν εἴκοσι καὶ ἑπτὰ ἡμερῶν εἶναι καὶ ὡρῶν τινῶν, τοῦ δὲ φωτὸς ἐγγὺς τριάκοντα. πρώτη τοίνυν ἡ νουμηνία, ἐξ ἧς ἔθος Ῥωμαίοις προκαλεῖν τὴν δευτέραν ἑορτήν, τουτέστι τὰς νώνας. εἰσὶ δὲ μέσαι ἀπὸ τῆς νουμηνίας ἄχρι τῶν νωνῶν ἢ τέσσαρες ἢ ἕξ, ὡς γίγνεσθαι τὰς πάσας σὺν καὶ αὐτῇ τῇ νουμηνίᾳ ἢ πέντε ἢ ἑπτά. εἴ τις οὖν ἀπὸ τῆς πεμπταίας καὶ αὐτῆς ἐννέα προσεπιλογίσεται ἡμέρας (αὕτη δὲ ἡ προσθήκη παρὰ Ῥωμαίοις νῶναι καλεῖται), ἀντὶ τοῦ ἐννέα (τοσαῦται γάρ εἰσιν) εὑρήσει τὴν [ἐκ μικρᾶς σεληνιακῆς ἀποκατάστασιν μέσην, τουτέστι τὴν τρισκαιδεκάτην. οὕτως p. 36
καὶ ἐπὶ τῆς ἑβδομαίας, μετ' αὐτῆς ἀριθμῶν τὰς ἐννέα, εὑρήσει τὴν τοῦ φωτὸς μεσομηνίαν, τουτέστι τὴν πεντεκαιδεκάτην.] ἀποφράδας δὲ πάντως τὰς νώνας εἶχον, νῦν μὲν ὡς ἀπὸ τῆς πεμπταίας νῦν δὲ ὡς ἀπὸ διχοτόμου, μηδὲ ὠνομάσθαι ἢ ταύτην ἢ ἐκείνην τὴν φάσιν ὑπομένοντες, ἀλλὰ τὴν μετὰ ἐννέα ἡμέρας ἐπιφοιτῶσαν μεσομηνίαν, τουτέστι τὰς εἰδούς, ἢ καὶ ἄλλως τιμῶντες διὰ τὴν τῶν φώτων ἐπιτήρησιν. ὅτι δὲ ἐξ Ἑλληνικῆς σημασίας τίκτεται τὸ τῶν καλανδῶν ὄνομα, ἐξ αὐτῆς ἔστι λαβεῖν τῆς γραφῆς· ἔτι γὰρ καὶ νῦν τῷ Ἑλληνικῷ κάππα τὰς καλάνδας γράφουσιν οἱ Ῥωμαῖοι. ἰστέον δὲ ὅτι αἱ καλάνδαι Ἥρας ἑορτὴ ἐτύγχανον, τουτέστι σελήνης· οἱ γὰρ φυσικοί, ὡς ἔφθημεν εἰπόντες, Δία μὲν τὸν ἥλιον Ἥραν δὲ τὴν σελήνην ἐνόμιζον εἶναι, καὶ τὴν μὲν νουμηνίαν ταύτῃ τὰς δὲ εἰδοὺς (τουτέστι τὴν μεσομηνίαν)

1 ἀποκατάστασιν] περίοδον BP. 2 τρία ἔτη BP. 3 προσκαλεῖν P. 6 προεπιλογίσεται P. 7 καλοῦνται P. 11 ἀποφράσας — εἶχεν P.

ginti septem dierum et horarum nonnullarum esse constat, lucis autem prope triginta. primae igitur feriae interlunium (Kalendae), a quibus solebant Romani ante dicere secundas ferias, id est Nonas. sunt autem medii inter Kalendas et Nonas vel quattuor vel sex dies, ut efficiantur universi cum ipsis Kalendis vel quinque vel septem. si quis igitur inde ab ipso quinto die novem adnumerabit dies (haec autem accessio a Romanis Nonae appellatur), pro novem (tot enim sunt) reperiet parvi mensis lunaris compensationem mediam, id est tertium decimum: ita in septimo quoque die novem ei addens reperiet medium mensem luminis ratione habita, id est quintum decimum. nefastas autem omnino Nonas habebant, modo ob quintum diem modo ob lunam dimidiatam, ne appellari quidem eas vel hac vel illa locutione patientes, sed novem post diebus venientem medium mensem, id est Idus; sive etiam aliam ob causam honorem iis tribuentes, sequentes luminum rationem. ex Graeca autem voce nasci Kalendarum nomen ex ipsa scribendi ratione percipere licet: etenim nunc quoque Graeco Kappa Kalendas scribunt Romani. sciendum autem Kalendas Iunonis ferias fuisse, id est lunae. physici enim, ut ante diximus, Iovem esse censebant solem, Iunonem autem lunam; et interlunium huic, Idus autem, id est medium mensem, Iovi tanquam soli dicabant, ple-

λὰ ἤγουν ἡλίῳ ἀνέφερον, πληνιλούνιον τὰς εἰδοὺς καλοῦντες οἱονεὶ πληροσέληνον. τὸ δὲ τῶν εἰδῶν ὄνομα παρὰ μὲν τοῖς πολιτικοῖς ἐκ τοῦ εἴδους τῆς σελήνης, παρὰ δὲ τοῖς ἱερεῦσιν ἀπὸ θυσίας τρόπου εὑρίσκομεν εἰσενηνεγμένον. [πεμπταίας δὲ ἢ ἑβδομαίας τὰς νώνας μετὰ τὰς καλάνδας ἐκήρυττον, ὅτι ἑκάτερος τῶν ἀριθμῶν οἰκειότατος τοῖς φωσίν. ἀπὸ δὲ τῶν νωνῶν καὶ αὐτῶν ἕως τῶν εἰδῶν καὶ αὐτῶν μόνας ἐννέα μέσας παρετηρήσαντο, ὅτι οἰκειότατος καὶ προσφυὴς ὁ ἐννέα ἀριθμὸς τῇ σελήνῃ· οὗτος
p. 37 γὰρ ἑαυτὸν γεννᾷ κατὰ Ξενοκράτην· ἀόριστος γὰρ ἡ ἄχρις ἐννεάδος πρόβασις καὶ πλήθει σύνοικος. τὴν μὲν οὖν νουμηνίαν ἔλεγον καλάνδας, τὴν δὲ δευτέραν τοῦ μηνὸς πρὸ τεσσάρων ἢ πρὸ ἕξ, ὡς εἴρηται, νωνῶν, τὴν δὲ τετάρτην πρὸ μιᾶς νωνῶν διὰ τὸ ἀποῤῥάζεσθαι τὴν δυάδα, τὴν πέμπτην νώνας, τὴν ἕκτην πρὸ ὀκτὼ εἰδῶν, τὴν ἑβδόμην πρὸ ἑπτὰ εἰδῶν, τὴν ὀγδόην πρὸ ἓξ εἰδῶν, τὴν ἐννάτην πρὸ πέντε εἰδῶν, τὴν δεκάτην πρὸ τεσσάρων εἰδῶν, τὴν ιά πρὸ τριῶν εἰδῶν, τὴν ιβ' πρὸ μιᾶς εἰδῶν, τὴν ιγ' εἰδούς, τὴν ιδ', εἰ μὲν πεμπταῖαι ἦσαν αἱ νῶναι καὶ ὁ μὴν ἡμερῶν λ', πρὸ ιή καλανδῶν τοῦ ἐπιόντος μηνός, εἰ δὲ πεμπταῖαι μὲν αἱ νῶναι καὶ ὁ μὴν ἡμερῶν λά, πρὸ ιθ' καλανδῶν ὁμοίως· εἰ δὲ αἱ νῶναι μὲν ἑβδομαῖαι καὶ ὁ μὴν λά ἡμερῶν, τὴν ιέ πρὸ ιζ καλανδῶν ὁμοίως. ἐπὶ δὲ τοῦ Φεβρουαρίου μόνου τὴν ιδ' πρὸ ις' καλανδῶν Μαρτίων, καὶ καθεξῆς καθ' ὑπόβασιν τοῦ ἀριθμοῦ τῶν καλανδῶν. ἡνίκα δὲ ἂν βίσεξτον ᾖ, τὴν κέ καὶ τὴν κς' τῇ πρὸ

2 τὸ δὲ — 4 εἰσενηνεγμένον] τὴν δὲ μεσομηνίαν εἰδοῦς ἐκάλουν ἀπὸ τοῦ εἴδους τῆς σελήνης, ἢ ἀπὸ θυσίας τινός, ἥτις εἰδουλὶς ὠνομάζετο. V.

niluniam Idus vocantes. Iduum autem nomen apud politicos ex specie lunae, apud sacerdotes autem a sacrificii genere reperimus in linguam inductum. quintanas autem vel septimanas Nonas post Kalendas promulgabant, quoniam uterque numerus aptissimus est luminibus. ab ipsis autem Nonis usque ad ipsas Idus novem solos medios dies interponebant ideo, quod aptissimus et natura coniunctus numerus novenarius lunae: hic enim se ipse gignit, ut videtur Xenocrati; infinita enim est usque ad enneadem progressio et multitudini coniuncta. interlunium igitur dicebant Kalendas, secundum autem mensis diem a. 4 vel a. 6, ut dictum est, Nonas; quartum pridie Nonas, propterea quod nefasta habebatur dyas; quintum Nonas, sextum a. 8 Idus, septimum a. 7 Idus, octavum a. 6 Idus, nonum a. 5 Idus, decimum a. 4 Idus, undecimum a. 3 Idus, duodecimum pridie Idus, tertium decimum Idus; quartum decimum, si quintanae erant Nonae, et mensis dierum triginta, a. 18 Kalendas mensis sequentis, si quintanae Nonae et mensis dierum triginta unius, a. 19 Kalendas similiter; si autem Nonae septimanae et mensis triginta dierum, diem 15 a. 17 Kalendas similiter. in solo autem Februario diem 14 a. 16 Kalendas Martias, et deinceps, diminuentes dierum ante Kalendas numerum. quando autem

ἓξ καλανδῶν Μαρτίων ἔλεγον, ὃ καὶ εἴρηται. ἔχουσι δὲ ἑβδομαίας μὲν τὰς νώνας Μάρτιος Μάϊος Ἰούλιος Ὀκτώβριος, πεμπταίας δὲ οἱ λοιποὶ πάντες.] ἤρεσε δὲ ὅμως τῷ Καίσαρι καὶ μετὰ τὴν ἡλιακὴν τῶν μηνῶν διατύπωσιν τὰς σεληνιακὰς ἑορτὰς τοῖς μησὶ καταλιῖψαι. καὶ ταῦτα μὲν περὶ τῆς δοκούσης ἀνωμαλίας τῶν πεμπταίας καὶ ἑβδομαίας τὰς νώνας ἐχόντων μηνῶν.

8. χαλεπὸν δὲ οὐδὲν ἐκ τῶν τοῖς ἀρχαίοις εἰρημένων διὰ βραχέων εἰπεῖν ὅ τι ποτὲ ἄρα ἐστὶ νουμηνία, καὶ τίνος χάριν παρὰ πᾶσι φαίνεται ἡ τῆς νουμηνίας δύναμις τιμωμένη, ἢ τἀληθὲς εἰπεῖν, τῇ φύσει τῶν πραγμάτων θεωρουμένη. καὶ τούτου μάρτυς Ἀντίγονος, φάσκων τοὺς μύρμηκας ἐν ταῖς νουμηνίαις ἀναπαύεσθαι· ἀδύνατον οὖν ἰδεῖν μύρμηκα ἐν ταῖς νουμηνίαις ἐργαζόμενον. [ὅτι τοὺς μύρμηκάς φασιν ἐν ταῖς τῆς σελήνης νουμηνίαις μὴ ἐργάζεσθαι ἀλλ' ἡσυχάζειν. καὶ τὴν ἶβιν δὲ καὶ τὸν κέρκωπα Αἰγυπτίοις ἔνθεν ἐδόκει τιμᾶν· ἀμφότερα γὰρ τὰ ζῷα σελήνῃ συμπαθῆ εἶναι προσείκασται. ἡ μὲν ἶβις αὐτῷ τε τῷ σχήματι ἐμφερής, ἄκρα μὲν ὁμιχλαίνουσα, λευκαίνουσα δὲ τὰ μέσα καθάπερ ἡ αἰθερία μήνη· ὅτι γὰρ οὐρανὸς ἀσέληνος, οὐδ' ἴβιδες ὁρῶσι, μύουσι δὲ τοῖς ὀφθαλμοῖς τοντονὶ τὸν χρόνον καὶ ἄσιτοι ἐγκαρτεροῦσι τὸ συγγενὲς στοιχεῖων ἀναμένουσαι. ὁ δὲ κέρκωψ δηλοτέρας ἔχει τὰς ἐνεργείας· ὅπε γὰρ αὔξει σελήνη, ὁ τῶν ὀφθαλμῶν κύκλος τούτῳ εὐρύνεται, ὅτε δὲ μειοῦται, συστέλλεται.]

p. 38

1 ἔλεγον Hasius: apud S ἔλεται. 9 ἢ] εἰῇ V, εἰ S. 11 Antigonus Caryst. p. 189 Beckm. 15 cf. 4 52 extr.

bissextum erat, diem 25 et 26 a. 6 Kalendas Martias dicebant, id quod etiam dictum est. habent autem septimanas Nonas Martius, Maius, Iulius, October; quintanas reliqui omnes. verumtamen Caesari etiam post solarem mensium ordinationem lunares ferias mensibus relinquere placuit. haec quidem de anomalia, quae esse videtur, mensium quintanas et septimanas Nonas habentium.

8. Nihil autem impedit quo minus ex iis quae a veteribus tradita sunt, paucis referamus quid fere sit interlunium, et cuius rei gratia apud omnes, ut apparet, interlunii vis honore afficiatur (si verum dicamus), ubi ex natura rerum spectatur. atque huius rei auctor est Antigonus, qui formicas dicit interluniis requiescere; quare formica interluniis operans cerni nulla potest. — Formicas dicunt interluniis non operari, sed quiescere. et ibim ac cercopem iccirco Aegyptiis visum est venerari: utrumque enim animal lunae consentire verisimile est: ibis quidem ipsa specie ei similis, utpote quae extremis partibus nigra est, mediis autem alba, ut aetherea luna. quando enim luna in caelo non apparet, neque ibides cernunt, sed connivent oculos illo tempore, et sine victu permanent, cognatum elementum exspectantes. in cercope autem eius rei vis magis apparet: quando enim crescit luna, oculorum ei orbis dila-

p. 39 Δέρκυλλος δέ φησιν ὅτι γεννᾶται ἐν τῷ Ὑδάσπῃ ποταμῷ λίθος λυχνὶς καλούμενος· οὗτος σελήνης αὐξομένης ἦχον μελῳδίας ἀποδίδωσι. καὶ ἐν Ἀράρει δὲ τῷ ποταμῷ τῆς Κελτικῆς τίκτεται ἰχθύς (κλοπίαν αὐτὸν οἱ ἐπιχώριοι καλοῦσιν) ὃς αὐξομένης τῆς σελήνης λευκὸς γίνεται, μειουμένης μελαίνεται. Ἀναξιμένης τοίνυν κύκλον τὴν σελήνην εἶναι βούλεται ἐννεακαιδεκαπλασίονα τῆς γῆς, πλήρη πυρὸς ὡς ἐπὶ τοῦ ἡλίου, Ξενοφάνης δὲ νέφος εἶναι πεπυρωμένον, οἱ Στωϊκοὶ μικτὴν πυρὸς καὶ ἀέρος, Πλάτων ἐκ πλείονος τοῦ πυρώδους, Ἀναξαγόρας καὶ Δημόκριτος στερέωμα διάπυρον, ἔχον ἐν ἑαυτῷ πεδία καὶ ὄρη καὶ φάραγγας, Ἡράκλειτος γῆν ὁμίχλῃ περιειλημένην, Πυθαγόρας γε μὴν πυροειδὲς σῶμα. περὶ δὲ τοῦ κατ' αὐτὴν φωτὸς ἐροῦμεν ὡς Ἀναξίμανδρος μὲν ἴδιον αὐτὴν φῶς ἔχειν βούλεται, ἀραιότερον δέ πως, ὁ δὲ Ἀντιφῶν ἰδίῳ μὲν φέγγει λάμπειν τὴν σελήνην, τὸ δὲ ἀποκρυπτόμενον περὶ αὐτὴν ὑπὸ τῆς προσβολῆς τοῦ ἡλίου ἀμαυροῦσθαι, πεφυκότος τοῦ ἰσχυροτέρου φωτὸς τὸ ἀσθενέστερον ἀμαυροῦν, ὃ δὴ συμβαίνει καὶ περὶ τὰ ἄλλα ἄστρα. Θαλῆς δὲ καὶ οἱ ἀπ' αὐτοῦ ὑπὸ τοῦ ἡλίου φωτίζεσθαι τὴν σελήνην ἐνέκριναν. ὁ γε μὴν Ἡράκλειτος τὸ αὐτὸ πεπονθέναι τὸν ἥλιον καὶ τὴν σελήνην φησί· σκαφοειδεῖς γὰρ ὄντας τοῖς σχήμασιν ἐκ τῆς ὑγρᾶς ἀναθυμιάσεως φωτίζεσθαι πρὸς τὴν φαντασίαν, λαμπρότερον δὲ τὸν ἥλιον διὰ τὸ ἐν καθαρῷ ἀέρι φαίνεσθαι. ἀφεστάναι δὲ λόγος ἀπὸ τῆς γῆς κατὰ τὸν

2 λύχνης V. 7 πεπιλημένον Plutarch. plac. philos. 2 25 p. 587 Wytt. 10 Ἡρακλείδης Corsinius et Schleiermacherus. 11 περιειλημμένην Plutarchus. 18 ἔκριναν? 19 πεπονθέναι τὸν] περὶ τὸν θεϊκὸν V. correctum e Plutarcho.

tatur, quando autem senescit, contrahitur. Dercyllus autem in Hydaspi fluvio ait lapidem nasci qui lychnis dicatur: hic luna crescente sonum modulatum edit. et in Arare, Celticae regionis fluvio, nascitur piscis (clopiam eum incolae vocant), qui crescente luna albescit, senescente nigrescit. Anaximenes igitur orbem lunam esse vult novendecuplum proportione terrae, plenum ignis, ut solis; Xenophanes nubem igneam, Stoici mixtam ex igne et aëre; Plato maiorem eius partem esse igneam; Anaxagoras et Democritus corpus solidum ignitum, quod in se habeat planities et montes atque convalles; Heraclitus terram caliginosa nube contentam, Pythagoras vero corpus igneum. de luce autem eius dicendum nobis, Anaximandro eam videri suam propriam habere lucem, sed rariorem quodammodo; Antiphonti autem suo quidem fulgore nitere lunam, eam autem illius partem quae occultatur appulsu solis obscurari, quandoquidem ita natura comparatum est ut ignis validior imbecilliorem obscuret, quod quidem aliis quoque in sideribus contingit. Thales autem et qui eius sequuntur decreta, a sole illustrari lunam iudicabant. Heraclitus vero eodem modo affici lunam ac solem dicit: scaphae enim figuram cum habeant, ex humido vapore eos collustrari, ut appareat; clariorem autem solem esse propterea quod in puro aëre appareat. distare autem dicitur a

Ἐρατοσθένην τὴν μὲν σελήνην σταδίων μυριάδας ἑβδομήκοντα p. 40
ὀκτώ, τὸν δὲ ἥλιον τετρακοσίας καὶ ὀκτάκις μύρια· ἡ σελήνη γάρ, τὴν ἑβδόμην κατέχουσα ζώνην, προσγειοτέρα τῶν ἄλλων ἐστὶν ἀστέρων. ὅθεν οὐδὲ πλῆμα ἄκρατον αἰθέρος αὐτὴν εἶναί φασι, κρᾶμα δὲ αἰθερώδους καὶ ἀερώδους οὐσίας· τὸ γὰρ φαινόμενον αὐτῆς μέλαν, ὃ καλοῦσι πρόσωπόν τινες, οὐδὲν ἄλλο εἶναι ἢ τὸν ἀναμεμιγμένον ἀέρα, ὃς φύσει μέλας ὢν ἄχρις αὐτῆς τείνεται. ἐκεῖνο δὲ μὴ παριδεῖν ἄξιον· ἡ νεομηνία κεφαλὴ μηνὸς πρὸς τῶν ἀρχαίων προσαγορεύεται. δέκα δὲ εἰσηγοῦνται σελήνης σχήματα, ἀφ' ὧν ὁ τριακονθήμερος ἀναπληροῦται κύκλος· τὰ δέ ἐστι σύνοδος, ἀνατολή, μηνοειδής, διχότομος, ἀμφίκυρτος, πλήρης, αὖθις διχότομος, αὖθις ἀμφίκυρτος, αὖθις μηνοειδής, αὖθις ... Ἕτεροι δὲ ἕνδεκα σχήματα εἶναι βούλονται· μετὰ γὰρ τὴν σύνοδον ἀριθμοῦσι καὶ τὴν γέννων, ὅταν μίαν μοῖραν ἀποστῇ ἡ σελήνη τοῦ ἡλίου.

9. τὰς τοίνυν Καλάνδας, ὡς ἐλέγομεν, οἷα νουμηνίαν ἐτίμησαν Ῥωμαῖοι, μετὰ δὲ ταύτας καθεξῆς τὰς νώνας, καὶ κατὰ τρίτην τάξιν τὰς εἰδούς. τρίμορφος μὲν γὰρ ἡ τῆς Ἑκάτης ἤτοι p. 41
τῆς σελήνης δύναμις· ὃ γὰρ Ἀπόλλων ἐν ἡλίῳ, τοῦτο Ἑκάτη ἐν σελήνῃ.

10. [ὅτι ὁ τριάκοντα ἀριθμὸς φυσικώτατός ἐστιν· ὃ γὰρ ἐν μονάσι τριάς, τοῦτο ἐν δεκάσι τριακοντάς, ἐπεὶ καὶ ὁ τοῦ μη-

2 μύρια Plutarchus: libri μυρίας.

terra, ut Eratostheni videtur, luna stadiorum septingentis octoginta milibus, sol autem quater decies centenis octoginta milibus stadiorum. luna enim, quae septimam tenet zonam (i. e. septimum circulum), propior a terra est quam reliqua sidera; quamobrem nec merum aetheris globum eam esse dicunt, sed mixtam ex aetherea et aërea substantia: eam enim illius partem quae nigra appareat, quam faciem nonnulli dicunt, nihil aliud esse quam commixtum aërem, qui cum natura niger sit, usque ad eam pertinet. illud autem dignum est quod non praetermittatur. interlunium caput (initium) mensis a veteribus appellatur. decem autem memorantur lunae apparitiones, quibus triginta dierum orbis impletur: sunt autem hae, coitus, ortus, lunata, dimidiata, gibbosa, plena, rursus dimidiata, rursus gibbosa, rursus lunata, rursus .... alii autem undecim apparitiones esse volunt: post coitum enim nativitatem quoque numerant, quando uno gradu distat luna a sole.

9. Kalendas igitur, uti diximus, tanquam interlunium honore afficiebant Romani, post has deinceps Nonas, et tertio loco Idus. triplex enim Hecatae (id est lunae) vis: quod enim Apollo in sole, idem Hecate in Luna.

10. Tricenarius numerus naturae optime convenit: quod enim in monadibus trias, idem in decadibus triacontas, cum etiam mensis orbis

νὸς κύκλος συνέστηκεν ἐκ τεσσάρων τῶν ἀπὸ μονάδος ἑξῆς τετραγώνων, ά, δ', θ', ις'. ὅθεν οὐκ ἀπὸ σκοποῦ Ἡράκλειτος γενεὰν τὸν μῆνα καλεῖ.]

11. *μετὰ δὲ τὰς Καλάνδας εὑρίσκομεν πολλαχῶς τὸν χρόνον διαιρεῖσθαι εἰς αἰῶνα, εἰς χρόνον, εἰς καιρόν, εἰς ἐνιαυτόν. αἰὼν τοίνυν ἐστὶν ἄπειρός τις τῶν οὐρανίων σωμάτων περιπόλησις ἢ αὐτοῦ τοῦ παντὸς οὐρανοῦ παντελὴς ἀνακύκλησις, χρόνος δὲ ἡ ἐξ αἰῶνος ἀόριστος ἔκτασις. ταύτῃ καὶ Κρόνος παῖς Οὐρανοῦ λέγεται· ὁ γὰρ χρόνος ἐκ τῶν τοῦ οὐρανοῦ κινήσεων πρόεισιν. ὥστε καιρός ἐστι χρόνου παράδειγμα, καὶ οὐκ αὐτὸς ὁ χρόνος.*

12. *[ὅτι Ἕλληνες μὲν ἀπὸ τῆς κέ Δεκεμβρίου τὴν ἀρχὴν ἐποιοῦντο τοῦ ἔτους ἤτοι τὴν τροπήν, Ῥωμαῖοι δὲ μετὰ ὀκτὼ ἡμέρας, κατὰ τὴν πρώτην Ἰανουαρίου, οἱ μὲν Ἕλληνες τὴν τροπὴν αὐτὴν τηροῦντες, οἱ δὲ Ῥωμαῖοι τὴν τοῦ γνώμονος σκιάν, πότε συστέλλεσθαι ἄρξεται· μέχρι γὰρ τῶν ὀκτὼ ἀνεπαίσθητός ἐστιν ἡ τῆς σκιᾶς μείωσις.]*

13. *[ὅτι διὰ τὴν γένεσιν διττὴ γέγονεν ἡ τῶν οὐρανίων κίνησις· εἰ γὰρ ἁπλῆ ἦν, οὐδὲν ἂν ἀπ' αὐτῆς παρήχθη, ὡς καὶ*
p. 42 *Ἀριστοτέλης ἐν τῷ δευτέρῳ Περὶ γενέσεως καὶ φθορᾶς· "μιᾶς μὲν οὔσης τῆς φορᾶς οὐκ ἐνδέχεται γίγνεσθαι τὰ ἄμφω" γένεσιν καὶ φθοράν "διὰ τὸ ἐναντία εἶναι· τὸ γὰρ αὐτὸ καὶ ὡσαύτως ἔχον ἀεὶ τὸ αὐτὸ πέφυκε ποιεῖν, ὥστε ἤτοι γένεσίς ἐστιν ἀεὶ ἢ φθορά.*

8 ἔκτασις P. vulgo ἔκστασις. 20 φθορᾶς V: correctum ex Aristotele p. 336 a 26.

constet ex quattuor a monade deinceps quadratis, 1, 4, 8, 16; unde non abs re Heraclitus generationem mensem dicit.

11. Post Kalendas autem reperimus multis modis tempus dividi in aevum (aeternitatem), in tempus, in tempestatem, in annum. aevum igitur est infinita quaedam corporum caelestium circuitus, sive ipsius universi caeli perfecta circulatio, tempus autem infinitus ex aevo progressus. Itaque etiam Saturnus Caeli filius vocatur: tempus enim ex caeli motibus prodit; ut tempestas temporis species sit, neque ipsum tempus.

12. Graeci a die 25 Decembris initium anni faciebant, solis videlicet conversionem (considerantes), Romani autem octo post diebus, primo Ianuarii die; Graeci conversionem solis ipsam sequentes, Romani autem gnomonis umbram, quando contrahi inciperet: ad diem enim usque octavum umbrae imminutio non sentitur.

13. Propter generationem duplex rerum caelestium motus factus est. si enim simplex esset, nihil eo procreatum esset, ut etiam Aristoteles libro secundo De generatione et corruptione: "unus si sit motus, ambo (generatio et corruptio) esse non possunt, propterea quod contraria sunt: idem enim quod est, et eodem modo se habet, id semper idem facere natura cogitur; ut aut generatio semper sit aut corruptio. oportet autem

δεῖ δὲ πλείονς εἶναι τὰς κινήσεις καὶ ἐναντίας, ἢ τῇ φορᾷ ἢ τῇ ἀνωμαλίᾳ· τῶν γὰρ ἐναντίων αἴτια τὰ ἐναντία. διὸ οὐχ ἡ πρώτη φορὰ αἰτία ἐστὶ γενέσεως καὶ φθορᾶς, ἀλλ' ἡ κατὰ τὸν λοξὸν κίκλον· ἐν ταύτῃ γὰρ καὶ τὸ συνεχὲς ἔνιστι καὶ τὸ κινεῖσθαι δύο κινήσεις.[22]]

14. ὅτι δὲ τὸν ἐνιαυτὸν ὡς θεὸν ἐτίμησαν, δῆλον ἐξ αὐτῆς τῆς Λυδῶν βασιλίδος πόλεως· Σάρδιν γὰρ αὐτὴν καὶ Ξυάριν ὁ Ξάνθος καλεῖ, τὸ δὲ Σάρδιν ὄνομα εἴ τις κατὰ ἀριθμὸν ἀπολογίσεται, πέντε καὶ ἑξήκοντα καὶ τριακοσίας εὑρήσει συνάγων μονάδας, ὡς κἀντεῦθεν εἶναι δῆλον πρὸς τιμὴν ἡλίου τοῦ τοσαύταις ἡμέραις τὸν ἐνιαυτὸν συνάγοντος Σάρδιν ὀνομασθῆναι τὴν πόλιν. νέον δὲ Σάρδιν τὸ νέον ἔτος ἔτι καὶ νῦν λέγεσθαι τῷ πλήθει συνομολογεῖται· εἰσὶ δὲ οἳ φασι τῇ Λυδῶν ἀρχαίᾳ φωνῇ τὸν ἐνιαυτὸν καλεῖσθαι σάρδιν.

15. [ὅτι τρεῖς ἀρχὰς ἦγον Ῥωμαῖοι τοῦ ἐνιαυτοῦ, μίαν μὲν ἱερατικήν, κατὰ τὸν Ἰανουάριον, αὐξανούσης ἤδη τῆς ἡμέρας, δευτέραν δὲ κατὰ τὴν τοῦ Μαρτίου πρώτην, ἣν πάτριον εἶχον, p. 43 καθ' ἣν καὶ τὰ ὅπλα ἔθος αὐτοῖς κινεῖν· τὴν δὲ πολιτικὴν ἢ μᾶλλον κυκλικὴν κατὰ τὴν πρώτην τοῦ Σεπτεμβρίου, ἣν ἡμεῖς μὲν ἐπινέμησιν αὐτοὶ δὲ ἰνδικτιῶνα καλοῦσιν. τῆς γὰρ ἀρχαιότητος τὸν κύκλον ἐχούσης εἰς τὸ λεγόμενον παρ' αὐτοῖς λοῦστρον τοῦτέστιν εἰς τὴν πενταετηρίδα (καθαρμὸς δὲ ἦν, καὶ μυστήρια Μητρὸς κατ' αὐτὴν ἐτελεῖτο), ἔδοξεν ὕστερον πρὸς τιμὴν Ἄρεος

1 φθορᾷ libri. 19 κατὰ add Roetherus.

plures esse motus eosque contrarios vel impetu vel anomalia: causa enim contrariorum contraria sunt. itaque non primus impetus generationis et corruptionis causa est, sed is qui obliquo fit circulo: in hoc enim et continuum unum est, et quod movetur duplici motus genere.[22]

14. Annum autem tanquam deum ab iis cultum fuisse, ex ipsa Lydorum urbe regia apparet. Sardin enim eam et Xyarin Xanthus vocat: Sardis autem nomen si quis ad numerum computabit, quinque et sexaginta et trecentas colligens reperiet monades; ut inde quoque appareat in honorem solis, tot diebus annum consummantis, Sardin urbem esse nominatam. νέον Σάρδιν autem novum annum etiam nunc a vulgo dici constat. sunt autem qui dicant antiqua Lydorum lingua annum vocari σάρδιν.

15. Tria anni initia agebant Romani, unum sacerdotale, mense Ianuario, crescente iam die, secundum primo Martii die, quem patrium habebant, quo die etiam arma movere iis mos erat; civile, sive potius cyclicum, primo Septembris die, quam nos ἐπινέμησιν dicimus, ipsi autem indictionem vocant. antiquitas enim cum cyclum (i. e. orbem) haberet lustri, quod iis dicebatur, id est quinquennii (lustratio autem erat, et mysteria Matris tunc fiebant), visum est postea in honorem Martis (patrius

(πάτριος δὲ Ῥωμαίοις, ὥς φασι, θεός) παρὰ πεντεκαιδέκατον ἐνιαυτὸν ἀνανεοῦσθαι τὸν κύκλον· ἡ γὰρ τελεία ἀποκατάστασις Ἄρεος διχῶς παραφυλάττεται, μικρὰ μὲν πεντεκαίδεκα, μεγάλη δὲ ἑβδομήκοντα ἐννέα. ὅτι δὲ πάτριον ἀρχὴν ἐνιαυτοῦ τὸν Μάρτιον οἱ Ῥωμαῖοι παρέλαβον, δῆλον καὶ ἀπὸ τοῦ τὰς λεγομένας παρ' αὐτοῖς ματρώνας, τουτέστι τὰς εὐγενίδας, τοὺς οἰκέτας ἑστιᾶν, καθάπερ ἐν τοῖς Κρονίοις τοντὶ πράττειν ἔθος ἦν τοὺς κεκτημένους· ὧν αἱ μέν δι' Ἄρεος τιμὴν δουλεύουσι τοῖς ἄρρεσι τῶν οἰκετῶν, διὰ τὴν κρείττονα φύσιν, οἱ δὲ (ἀποτρόπαιον ὥσπερ θεραπείαν εἰσάγοντες τῷ Κρόνῳ) τοῖς ἑαυτῶν δούλοις ἐδούλευον, ὅπως μὴ ταῖς ἀληθείαις νεμεσητόν τι παθόντες εἰς δουλείαν πολεμίων καταπέσωσιν.]

16. ἐπινέμησιν δὲ αὐτὴν Ἕλληνες ἐκ τοῦ πράγματος ὠνόμασαν· ἐπεὶ γὰρ Ζυγῷ γενόμενος ὁ ἥλιος δείκνυσι τὴν τῶν καρπῶν ποιότητα, κατ' αὐτὴν δὲ φιλανθρώπως οἱ πάλαι τοὺς φόρους τοῖς ὑπηκόοις ἐπένεμον, ὡς μὴ παρὰ τὴν τούτων ἐπίδοσιν ἀσεβῶς δοκοῖεν βαρύνεσθαι, τυχὸν οὐ φορολογούμενοι, εἰκότως αὐτὴν ἐπινέμησιν, οἱονεὶ διανομήν τινα τῶν δασμῶν, ἐκάλεσαν. οὐ γὰρ ἦν οὕτως ἀδυσώπητος ἡ τῶν φόρων εἴσπραξις, οὐδ' ὡρισμένη τις ἢ μᾶλλον αὐξομένη κατὰ μικρόν, ἀλλὰ πρὸς τὸ χρειῶδες τῶν ἀνακυπτόντων τοῖς κρατοῦσιν ἐγίνετο. ταύτῃ καὶ ἐπιτάγματα

p. 44

3 μεγάλη Roetherus: vulgo μέση. 11 ὅπως Hasius, ὅπερ V.
14 ἐπεὶ] vulgo ἐπὶ. 17 οὐ] οἱ Hasius. 21 ἐγίνετο libri.

autem hic Romanis, ut dicunt, deus) quinto decimo quoque anno renovare orbem. perfecta enim restitutio Martis dupliciter observatur, minor quindecim, maior autem septuaginta novem (annorum). patrium autem anni initium Martium a Romanis acceptum fuisse inde quoque apparet, quod matronae, quae apud eos dicebantur (id est feminae ingenuae) servis victum praebebant, quemadmodum in Saturnalibus idem facere domini consueverant; ex quibus illae in Martis honorem maribus serviunt mancipiorum, ob naturam praestantiorem, hi cultum quasi ad mala averruncanda pertinentem instituentes Saturno, servis suis serviebant, ut ne re vera, postquam aliquid quod esset vituperandum accidisset, ab hostibus in servitutem redigerentur.

16. Ἐπινέμησιν autem eam Graeci ab eo quod res est vocabant. in libra enim cum sol est, frugum condicionem significat, secundum quam humaniter veteres tributa subiectis (civibus) ἐπένεμον (i. e. distribuebant), ut ne supra earum incrementum modo nefario viderentur eos premere, temere tributa exigentes. merito igitur eam ἐπινέμησιν, quasi distributionem aliquam vectigalium, vocabant: non enim erat adeo acerba vectigalium exactio, neque erat exactio aliqua stata, vel quae paulatim augeretur, sed ad necessarium usum emergentium ab imperantibus fiebat. quamobrem etiam ἐπιτάγματα (i. e. imperata) vectigalia nunc quoque

τοὺς φόρους ἔτι καὶ νῦν Ἀσιανοὶ καλοῦσιν. ὅθεν ἐπ' εἰρήνης ἐναπομενόντων ἐπὶ πλεῖστον καὶ τὸ λοιπὸν συγχωρουμένων τοῖς συντελέσι τῶν φόρων, τοιαῦτα ταῖς πόλεσι περιγέγονε θαυμαστά, λουτρὰ λέγω καὶ ἀγοραὶ καὶ ὑδάτων ὁλκοὶ ἄπειρον εὐδαιμονίαν τῶν οἰκητόρων κηρύττοντες.

17. [ὅτι ὁ δράκων πνευματικώτατον πάντων ἑρπετῶν καὶ πυρῶδες· παρ' ὃ καὶ τάχος ἀνυπέρβλητον διὰ τοῦ πνεύματος, χωρὶς ποδῶν καὶ χειρῶν ἢ ἄλλου τινὸς τῶν ἐκτός, δι' ὧν τὰ λοιπὰ ζῷα τὰς κινήσεις ποιεῖται καὶ ποικίλων σχημάτων τύπους ἀποτελεῖ. πολυχρονιώτατον δέ ἐστιν, οὐ μόνον τῷ ἐκδυόμενος τὸ γῆρας νεάζειν, ἀλλὰ καὶ αὔξησιν ἐπιδέχεσθαι μείζονα πέφυκε· καὶ ἐπειδὰν τὸ ὡρισμένον μέτρον πληρώσῃ, εἰς ἑαυτὸν ἀναλίσκεται. ὀξύτατα δὲ πάντων βλέπει, ὅθεν καὶ δράκων ὠνόμασται.]

18. [ὅτι οὐδαμοῦ τοῦ τῆς τύχης ὀνόματος Ὅμηρος μέμνηται, Ἡσίοδος μέντοι.]

19. ὅτι τὸν πλοῦτον Ἰσοκράτης μᾶλλον κακίας ἢ καλοκἀγαθίας εἶπεν ὑπηρέτην· Πλάτων δὲ εἶπε μηδένα γίνεσθαι μεγίστου πλούτου κύριον, εἰ μὴ τὸν προεζημιωμένον τὴν ψυχήν.] p. 45

20. [ὅτι οὐ μόνον ἡ μαγνῆτις ἕλκει τὸν σίδηρον, ἀλλὰ καὶ ὁ ἐξ αὐτῆς μεταλλευθεὶς σίδηρος τὸν ἄλλον σίδηρον.]

21. [ὅτι ποντίφικες οἱ ἀρχιερεῖς παρὰ Ῥωμαίοις ἐλέγοντο, καθάπερ ἐν Ἀθήναις τὸ πάλαι γεφυραῖοι πάντες οἱ περὶ τὰ πά-

16 Isocrat. ad Demon. 6.

Asiani vocant. unde, cum ut plurimum in pace permanerent ac posthac perpetuo condonarentur iis qui pendere debebant vectigalia, talia urbibus orta sunt admirabilia, balnea dico ac fora et aquarum ductus, infinitam incolarum felicitatem praedicantia.

17. Anguis omnium animalium repentium ventosissimum est et igneum; atque iccirco etiam celeritate insuperabile per spiritum, sine pedibus et manibus vel ullo alio eorum quibus reliqua animalia, movetur et variarum specierum modos efficit. diutissime autem vivit, non solum eo quod exuta senectute iuvenescit, sed etiam ita natura comparatus est ut maius incrementum capiat: et cum statum modum implevit, in se ipsum consumitur. omnium praeterea acerrime cernit; unde etiam δράκων (a verbo δέρκω i. e. cerno) nominatus est.

18. Nusquam Fortunae nomen Homerus memorat, verum Hesiodus.

19. Divitias Isocrates magis pravitatis quam virtutis ministras esse dixit. Plato autem ait neminem fieri maximarum divitiarum dominum, nisi qui ante damnum ceperit animo.

20. Non solum magnes attrahit ferrum, sed etiam ferrum ex eo effossum aliud ferrum.

21. Pontifices apud Romanos sacerdotes principes dicebantur, quemadmodum Athenis antiquitus γεφυραῖοι appellabantur omnes patriorum

τρια ἱερὰ ἐξηγηταὶ καὶ ἀρχιερεῖς (διοικηταὶ τῶν ὅλων) ὠνομάζοντο, διὰ τὸ ἐπὶ τῆς γεφύρας τοῦ Σπερχειοῦ ποταμοῦ ἱερατεύειν τῷ Παλλαδίῳ· πόντην γὰρ οἱ Ῥωμαῖοι τὴν γέφυραν καλοῦσι, καὶ ποντίλια τὰ γεφύρια ξύλα. ὅθεν καὶ πραξιεργίαι δῆθεν ἐκαλοῦντο, ὡσανεὶ τελεσταί· τοῦτο γὰρ σημαίνει τὸ ποντίφεξ, ἀπὸ τοῦ δυνατοῦ ἐν ἔργοις.]

22. [*ὅτι Διοσκούρους φασὶ τὸ ὑπὲρ γῆν καὶ ὑπὸ γῆν ἡμισφαίριον, ἀμοιβαδὸν μυθικῶς ζῶντας καὶ τελευτῶντας.*]

23. [*ὅτι Φάβιος ὁ βουλευτὴς κατεδικάσθη ὑπὸ τῆς βουλῆς, ὅτι παρὰ τὸν διορισμένον τῷ νόμῳ ἄργυρον ἐδείκνυτο κεκτημένος· οὐδὲ γὰρ ἐφεῖτο παρὰ τὴν ἀξίαν κεκτῆσθαί τινι, ἀλλ' οὐδὲ σηρικῇ χρῆσθαι ἐσθῆτι τοῖς τυχοῦσι, κἂν εὔποροι εἶεν, μόνοις δὲ τοῖς πατρικίοις τοῦτο κατ' ἐξαίρετον ἀνενήνεκτο.*]

24. [*ὅτι τὴν Ἀθηνᾶν εἰς τὴν ψυχὴν ἀνάγουσιν, ὡς ἀθάνατον καὶ παῖδα τοῦ Διὸς ἐκ τῆς αὐτοῦ κορυφῆς ἤτοι ἐκ τῆς ἀκρό-*
p. 46 *τητος τοῦ οὐρανοῦ κατιοῦσαν, καὶ ἀπλῆν δὲ οὖσαν. τριτογένειάν φασιν οὐκ ἀπὸ τρίτωνος ποταμοῦ, ἀλλ' ὅτι κατιοῦσα τὸ μὲν θυμικὸν ἐκ τοῦ αἰθέρος λαμβάνει, τὸ δ' ἐπιθυμητικὸν ἐκ τῆς σεληνιακῆς σειρᾶς· καὶ γὰρ ὑγρὰ τὴν φύσιν ἡ σελήνη, ὅθεν καὶ αἱ περὶ ἐρώτων μαγγανεῖαι πρὸς αὐτὴν γίνονται.*]

8 ἀμοιβαδὸν Hasius: legebatur ἀμοιβαδήν. 18 ἀέρος Hasius coll. 4 _17.

sacrorum interpretes et summi sacerdotes, qui praecerant rebus sacris omnibus), propterea quod in ponte Sperchii fluminis sacerdotio Palladii fungebantur. pontem enim Romani *τὴν γέφυραν* vocant, et pontilia ad pontem pertinentia ligna; unde et *πραξιεργίαι* fortasse vocabantur, quasi perfectores: hoc enim significat pontificis nomen, a potente operum (i. e. a verbis posse et facere).

22. Dioscuros dicunt terrae hemisphaerium superius atque inferius, per vices ex fabula viventes ac morientes.

23. Fabius senator condemnatus est a senatu, quod supra constitutam lege pecuniam possidere arguebatur. neque enim cuiquam permittebatur plus quam per legem habere licebat possidere, verum ne serica quidem veste uti cuivis, etiamsi opulentus esset, sed solis patriciis hoc per exceptionem permissum erat.

24. Minervam ad animum referunt, tanquam immortalem et Iovis filiam ex ipsius capite prognatam, id est de caeli vertice descendentem ac sinceram. Tritoniam eam dicunt non a Tritone fluvio, sed quoniam descendens naturam animosam (s. animositatem) ex aethere accipit, concupiscendi autem facultatem ex catena (serie) lunari: etenim humida natura luna est; unde etiam veneficia amatoria ad eam fiunt.

25. [ὅτι ἀγὼν καὶ ἀγωνία ὁ τόπος λέγεται διὰ τὸ κυκλοτερές, παρὰ τὸ μὴ ἔχειν γωνίαν, ἧς εἰς τύπον καὶ στέφανοι κυκλοτεριῶς τοῖς νικῶσιν ἐπετίθεντο. οἱ δὲ τρεῖς ὀβελοὶ τὴν τρίστοιχον φύσιν δηλοῦσιν, ὕδατος πυρὸς γῆς· ἐπ' αὐτῶν γὰρ καὶ μόνων ὁ θάνατος τὴν ἐνέργειαν ἔχει. ὅθεν καὶ τρικάρηνον ὁ μῦθος δίδωσι τῷ Πλούτωνι κύνα, ἀντὶ τοῦ τρίστοιχον· ὁ γὰρ ἀὴρ ζωοποιός ἐστι. διὰ τῶν ὀβελῶν οὖν δηλοῦται ὡς πρὸς τιμὴν τῶν ὑπὲρ πατρίδος ἀποθνησκόντων τὴν ἀγωνίαν ἐπετέλουν.]

26. [ὅτι οἱ μὲν ῥούσιοι Ἄρει ἀνέκειντο, οἱ δὲ λευκοὶ Διί, οἱ δὲ πράσινοι Ἀφροδίτῃ, οἱ δὲ βένετοι Κρόνῳ ἢ Ποσειδῶνι. βένετοι δὲ ἐκλήθησαν ἀπὸ τῶν περὶ τὸν Ἀδρίαν Ἐνετῶν τοιαύταις ἐσθῆσι χρωμένων· βένετον δὲ οἱ Ῥωμαῖοι τὸ παρ' ἡμῖν καλλάϊνον χρῶμα προσαγορεύουσιν. ἢ καὶ κατὰ τὰ τέσσαρα στοιχεῖα· ῥούσιοι μὲν ἀνέκειντο πυρὶ διὰ τὸ χρῶμα, ὁμοίως πράσινοι γῇ διὰ τὰ ἄνθη, βένετοι Ἥρᾳ, λευκοὶ δὲ ὕδατι. οἱ δέ φασι πράσινον μὲν τὸ ἔαρ, ῥούσιον δὲ τὸ θέρος, βένετον δὲ τὸ φθινόπωρον, λευκὸν δὲ τὸν χειμῶνα. κακοδαιμονίαν οὖν οἰωνίζοντο τὴν χείρονα ψῆφον τῶν ἀνθηρῶν ἀπενέγκασθαι, ὡς αὐτῆς Ῥώμης ἡττηθείσης· τοῦ γὰρ δυτικοῦ κέντρου εἰς τὸ τῆς γῆς στοιχεῖον ἀναφερομένου, εἰκὸς ἦν αὐτοῖς μέλειν αὐτῆς. ὅθεν καὶ Ἑστίαν πρὸ πάντων φαίνονται τιμήσαντες Ῥωμαῖοι, ὥσπερ τὸν πετρογενῆ Μίθραν οἱ Πέρσαι, διὰ τὸ τοῦ πυρὸς κέντρον, καὶ τὴν ὑγρὰν οὐσίαν οἱ ὑπὸ τὴν ἄρκτον

p. 47

ἀνθηροὶ
10 πράσινοι V. 11 τὴν vulgo. 13 τὰ add Hasius.

25. Agon et agonia locus appellatur propter formam rotundam, quoniam non habet γωνίαν (i. e. angulum), ad cuius speciem etiam coronae rotundae victoribus imponebantur. tres autem obelisci naturam tribus constantem elementis, aqua igni terra, significant: ad ea enim sola mors vim habet. quare etiam tricipitem fabula attribuit Plutoni canem, pro constantem tribus elementis: aër enim vitam excitandi vim habet. per obeliscos igitur significatur, in honorem eorum qui pro patria moriuntur, certamen ab iis institutum fuisse.

26. Russati Marti consecrati erant, albati Iovi, prasinati Veneri, veneti Saturno vel Neptuno. veneti autem dicti sunt a Venetis circa Adriam inhabitantibus, qui eiusmodi vestibus utuntur: venetum autem Romani eum colorem dicunt quem nos καλλάϊνον vocamus. sive etiam secundum quattuor elementa: russati consecrati erant igni propter colorem; similiter prasinati terrae propter flores; veneti Iunoni, albati autem aquae. alii autem prasino colore ver significari dicunt, russo aestatem, veneto auctumnum, albo hiemem. infelicitatem igitur augurabantur, cum deteriorem sortem floridus abstulerat, quasi ipsa Roma devicta esset. cum enim occidentale centrum ad terrae elementum referatur, merito iis illa curae erat. unde etiam Vestam prae omnibus, ut apparet, venerabantur Romani, ut Mithram ex rupe natum Persae, propter ignis centrum,

διὰ τὸ κέντρον τοῦ ὕδατος, καὶ Ἶσιν Αἰγύπτιοι ἀντὶ τοῦ τὴν σελήνην, τὴν τοῦ παντὸς ἀέρος ἔφορον.]

27. [*ὅτι τὰ τῶν νεκρῶν σώματα ἔκαιον οἱ παλαιοί, συνεξαιθεροῦντες αὐτὰ τῇ ψυχῇ.*]

28. [*ὅτι οὐκ εἰσὶν ἀστέρες κακοποιοί, ἀλλὰ πάντες ἀγαθοί. ἀλλ' ἐπεὶ καθ' ἁρμονίαν τὸ πᾶν συνίσταται, οἱ μὲν αὐτῶν εἰσὶ ξηροί, οἱ δὲ ὑγραίνουσιν, οἱ δὲ ἄλλο τι ἔχουσι· πρὸς τὰς κράσεις αὐτῶν τοίνυν δοκοῦσι βλάπτειν κατὰ τὴν ἐνέργειαν, οὐ κατὰ τὴν πρόθεσιν, καὶ ὅτι τὰς ἀκράτους αὐτῶν ἐνίοτε δυνάμεις οὐχ ὑπομένοντα τὰ ἐν τῇ γῇ βλάπτονται, ὡς καὶ ὀφθαλμοὶ ὑπὸ σφοδρότητος φωτός.*]

p. 48 29. [*ὅτι ἐν εἰδοῖς Μαρτίαις πομπῆς γινομένης ἤγετο καὶ ἄνθρωπος περιβεβλημένος δοραῖς, καὶ τοῦτον ἔπαιον ῥάβδοις λεπταῖς ἐπιμήκεσι, Μαμούριον αὐτὸν καλοῦντες. οὗτος δὲ τεχνίτης ἐν ὁπλοποιίᾳ γενόμενος, διὰ τὸ μὴ τὰ διοπετῆ ἀγκίλια συνεχῶς κινούμενα φθείρεσθαι, ὅμοια ἐκείνων κατεσκεύασε τῶν ἀρχετύπων. ὅθεν παροιμιάζοντες οἱ πολλοὶ ἐπὶ τοῖς τυπτομένοις διαγελῶντές φασιν ὡς τὸν Μαμούριον αὐτῷ παίζοιεν οἱ τύπτοντες· λόγος γὰρ καὶ αὐτὸν Μαμούριον, δυσχερῶν τινῶν προσπεσόντων ἐπὶ τῇ τῶν ἀρχετύπων ἀγκιλίων ἀποσχέσει τοῖς Ῥωμαίοις, παιόμενον ῥάβδοις ἐκβληθῆναι τῆς πόλεως.*]

30. [*ὅτι ἡ Ἀθηνᾶ εἰς ψυχὴν ἀλληγορουμένη καὶ γλαυκῶπις λέγεται διὰ τὸ πυρῶδες. καὶ γλαῦκα αὐτῇ ἀνατιθέασιν, ὅτι*

et humidam substantiam gentes boreales propter centrum aquae, et Isin Aegyptii (pro lunam), universi aëris praesidem.

27. Mortuorum corpora veteres comburebant, in aetherem ea convertentes una cum anima.

28. Stellae non sunt noxiae, sed omnes bonae. sed cum universum ad harmoniam constet, aliae earum sunt aridae, aliae madefaciunt, aliae aliud quippiam habent ad temperantiam earum; itaque nocere videntur effectu, non proposito, et intemperatas earum vires cum interdum non ferant res terrestres, damno afficiuntur, ut oculi quoque vehementia luminis.

29. Idibus Martiis, quo die pompa ducebatur, etiam homo coriis involutus agebatur, atque hunc verberabant virgis longis, Mamurium eum vocantes. Hic autem cum armorum faber esset, ne ancilia, quae caelitus deciderant, semper movendo conficerentur, similia illorum fecit exemplarium. unde multitudo eos qui verberantur deridens, proverbii loco dicit Mamurium ea re ludi ab iis qui plagas illis infligunt. fertur enim et ipse Mamurius, cum molestiae quaedam accidissent Romanis propterea quod primigeniis illis ancilibus abstinuissent, baculis percussus urbe eiectus esse.

30. Minerva, quae per ambages in animum accipitur, etiam oculos caesios habere dicitur propter naturam igneam; et noctua ei consecratur,

πιρ ἐγρήγορε διὰ πάσης νυκτὸς οἱονεὶ ἀεικίνητος· τὸ γὰρ παῦλαν ἔχον κινήσεως παῦλαν ἔχει ζωῆς, κατὰ Πλάτωνα.]

31. [ὅτι καὶ ἐν Ῥώμῃ τὰς τῶν πολιτῶν ἁμαρτάδας ἐπὶ ἁμαξῶν διέπαιζον καὶ λανθανούσας ἐξῆγον, κατὰ τὴν Ἀθηναίων συνήθειαν, οἳ τοῖς ἁμαρτάνουσιν ἠπείλουν λέγειν τὰ ἐξ ἁμάξης.]

32. [ὅτι τὴν ἐν Λυδίᾳ Φιλαδέλφειαν Αἰγύπτιοι ἐπόλισαν.] p. 49

33. [ὅτι ψαλίς ἐστιν οἰκοδομῆς εἶδος ἡμικύλινδρον τὸ σχῆμα ἐχούσης.]

34. [ὅτι ἡ Δημήτηρ πόλεώς ἐστι καταρκτική, οἱονεὶ ἡ Γῆ· ὅθεν καὶ πυργοφόρον αὐτὴν γράφουσι. λέγεται δὲ καὶ Κυβέλη ἀπὸ τοῦ κυβικοῦ σχήματος κατὰ γεωμετρίαν ἡ Γῆ, διὰ τὸ βάσιμόν τε καὶ στάσιμον, εἰ καὶ σφαιρικὴν οἱ Στωϊκοὶ ταύτην ὁρίζονται.]

35. [ὅτι Ἀστάρτην τὴν Συρίαν θεὸν τὴν Ἀφροδίτην φασί.]

36. [ὅτι Ἀριστοτέλης τὸν Καλλισθένην ἀπέσκωψε τὸν μὲν περιττὸν νοῦν ἔχειν, τὸν δὲ ἀνθρώπινον ἀποβεβληκέναι.]

37. [ὅτι Νουμήνιος ὁ Ῥωμαῖός φησιν ὡς οὐ πρότερον βρέφος φθέγξαιτο, πρὶν ἂν τῆς γῆς ἁφάψηται.]

38. [ὅτι τὰ πέρατα Πλάτων φησὶ κατὰ πρόσθεσιν ἢ ἀφαίρεσιν ἢ μετάθεσιν ἢ πνευμάτωσιν συμβαίνειν.]

39. [ὅτι Αὔγουστος τὸν τοῦ Σοφοκλέους Αἴαντα εἰς τὴν πάτριον φωνὴν μετήνεγκεν· εἶτα ἀκμαζούσης αὐτῷ μετὰ τὴν πρακτικὴν καὶ τῆς ἐκ λόγων ἀρετῆς, ὡς ἀναξίαν ἐκ παραβολῆς πρὸς p. 50

1 ἀεικίνητος Plato Phaedr. p. 245: ἀκίνητος V. 16 Νουμίνιος vulgo

quandoquidem per totam noctem vigilat, id est semper movetur: quod enim terminum habet motus, id terminum habet etiam vitae, ut Plato docet.

31. Romae quoque civium vitia in plaustris eludebant et delitescentia proferebant, ex Atheniensium consuetudine, qui peccantibus minabantur dicturos se quae de plaustro dici solerent.

32. Philadelphium Lydiam Aegyptii condiderunt.

33. ψαλίς aedificii species est hemicylindri formam habentis.

34. Ceres urbis principio praeest, tanquam terra; unde etiam turrigeram eam pingunt. dicitur autem etiam Cybele a cubica figura secundum geometriam terra, propter naturam solidam ac stabilem, etsi rotundam hanc Stoici definiunt.

35. Astarten (Syriacam deam) Venerem dicunt.

36. Aristoteles Callistheni illusit, dicens eum imparem quidem rationem habere, humanam autem perdidisse.

37. Numinius Romanus non prius infantem vocem edere ait quam terram attigerit.

38. Fines Plato dicit vel accessione vel demptione vel translatione vel inflatione existere.

39. Augustus Sophoclis Aiacem in patrium sermonem transtulit. deinde cum floreret ipsi post praestantiam agendo comparatam ea quo-

Σοφοκλέα τὴν ἑαυτοῦ διεγίνωσκε τραγῳδίαν, ταύτην ἐξήλειψεν. εἶτα ἐρωτηθεὶς πρὸς τοῦ Κικέρωνος, παρ' ᾧ μετὰ σπουδῆς ἐπαιδεύετο, ποῦ τυγχάνοι ὁ γραφόμενος Αἴας, αὐτὸν ἀστείοις ἅμα καὶ νουνεχῶς ἀποκρίνασθαι σπόγγῳ τὸν αὐτοῦ Αἴαντα, καθάπερ σιδήρῳ τὸν τοῦ Σοφοκλέους, περιπεσεῖν. καὶ τοσαύτη τις αὐτῷ φροντὶς οὖσα περὶ λόγους ἐτύγχανεν, ὡς ἄρχοντος ἀπαιδεύτου γράψαι πρὸς αὐτὸν δημοσίαν τολμήσαντος ἐπιστολὴν οὕτως ἀγανακτῆσαι, ὡς παραλῦσαι τῆς ἀρχῆς τὸν ἀπαίδευτον. καὶ μέτρον δὲ καὶ ὅρον ταῖς τε εὐωχίαις καὶ ταῖς προιξὶν ἔθηκε, πρῶτος ἐπὶ τῇ ἑαυτοῦ θυγατρὶ τοῦτο ποιήσας. τῆς δὲ τῶν ὑπηκόων ἐλευθερίας τοσοῦτον ἐφρόντιζεν ὥστε τινὸς τῶν κολάκων ἐπὶ τῆς βουλῆς δεσπότην αὐτὸν ὥσπερ ἐν ὑπεροχῆς τρόπῳ καλέσαντος, αὐτὸς ἐξαναστὰς "ἐγὼ δέ" ἔφη "ἐλευθέροις ἀλλ' οὐ δούλοις, ἔμαθον διαλέγεσθαι."]

40. *[ὅτι τῇ πρὸ τριῶν νωνῶν Αὐγούστων ἀνήρουν ἀκολύτως ἐν Ῥώμῃ τοὺς κύνας εἰς τιμὴν τῶν χηνῶν, ὅτι τὸ Καπετώλιον οἱ μὲν κύνες προέδοσαν ὑπνώσαντες, οἱ δὲ χῆνες ἐγρηγορότες διέσωσαν. οἱ δέ φασιν ὅτι τοῦτο ἐποίουν, ἵνα μὴ ὀχληροὶ τοῖς νοσοῦσι νυκτὸς γίνωνται. οἱ δέ, ἵνα μὴ λυττῶντες τοὺς ἀνθρώπους βλάπτωσι· τηνικαῦτα γὰρ ὁ Σείριος ἀνατέλλει, ὃς καὶ δοκεῖ τῆς λύττης αὐτοῖς αἴτιος εἶναι.]*

p. 51 41. *[ὅτι οἱ Κομῆται ἐν τοῖς ὑπὸ σελήνην κόλποις συνί-*

5 ἐπιπεσεῖν vulgo 15 τῇ add Hasius

que quam ex literis perceperat, atque ipse ex comparatione cum Sophocle indignam iudicasset suam tragoediam, hanc delevit. post interrogatus a Cicerone, apud quem cum diligentia erudiebatur, ubinam esset qui ab ipso scriberetur Aiax, ille urbane simul ac considerate respondisse fertur in spongiam suum Aiacem, quemadmodum in ferrum Sophocleum, incidisse. ac tantae ei curae literae erant ut, cum magistratus quidam imperitus ad eum publicas scribere literas ausus esset, adeo indignatus sit ut munere moveret imperitum. et vero modum et finem epulis ac donis constituit, postquam primus in sua ipsius filia hoc fecit. eorum autem qui ipsi subiecti erant libertatem tantopere curabat, ut cum adulatorum quidam in senatu dominum ipsum, tanquam excellentiae modo, vocasset, ipse exsurgeret et "ego vero" diceret "cum liberis, neque vero cum servis colloqui didici."

40. A. d. 3 Nonas Augustas libere Romae interficiebant canes, in honorem anserum, quod Capitolium canes prodiderant dormiendo, anseres vigilando servaverant. alii autem hoc eos facere solitos dicunt, ut ne molesti aegrotantibus noctu fierent; alii, ne in rabiem acti laederent homines: tunc enim Canicula exoritur, quae etiam rabiei illis causa esse videtur.

41. Cometae in sinubus sub luna existunt, stellarem aliquam natu-

σταντα, ἀστρώδη τινὰ φύσιν ἐπιδεικνύμενοι· οὐ γάρ εἰσιν ἀστέρες, ἀλλὰ θρομβώσεις τινὲς ἐξ ἀναθυμιάσεως τῆς γῆς ἀποτελούμεναι, ὧν ἡ γένεσις μὲν ἐξ ἀέρος τοῦ κατὰ συναφὴν ἐγκαταλαμβανομένου τῷ αἰθέρι· ὅθεν καὶ ἰσοταχεῖς αὐτῷ μέχρι διαπτώσεως συμπεριφέρονται. καὶ ἡνίκα μὲν τὴν ῥύσιν ἐπὶ τὸ κάτω φερομένην ἔχων ὁ αἰθὴρ περιληφθείη, πωγωνίαι τε καὶ πίθοι ἀποτελοῦνται, ἡνίκα δὲ πλαγίως, κομῆται. τάχιον δὲ αἱ πωγωνίαι, πολὺ δὲ καὶ τούτων τάχιον πίθοι τε καὶ δοκίδες ἐκπίπτουσιν.]

42. [ὅτι χυμῶν διαφοραὶ πλείους μέν, γενικαὶ δὲ ἐννέα, γλυκεῖα, πικρά, ὀξεῖα, δριμεῖα, βριγχή, στυφνή, βλεννώδης, αὐστηρά, ἁλμυρά.]

43. [ὅτι πλεονάσαντος μὲν πυρὸς πυρετὸς γίνεται, ἀμφημερινὸς δὲ ἀέρος, τριταῖος δὲ ὕδατος, τεταρταῖος δὲ γῆς. φιλεῖ δὲ τούτων προκατάρχειν τὸ ῥῖγος. ὁπόταν γὰρ ὑπὸ τοῦ ψυχροῦ, ἐπειδὴ τοῦτο ἴδιον ὕδατός τε καὶ γῆς, τὰ εἰρημένα ὑγρὰ παχυνθῇ, τηνικαῦτα φερόμενα διὰ τῶν ἀραιωμάτων ἔξωθεν μὲν οὐ δύναται τὰ πυκνότερα, ἐμπεσόντα δὲ ταῖς τούτων ἕδραις σύνωσιν καὶ θλῖψιν ἐργάζεται, μέχρις ἂν ὑπὸ τοῦ πυρὸς ἐπεγόμενα τμηθέντα διαχυθῇ, ὅπερ ἀναγκαίως κλόνον τινὰ καὶ σεισμὸν ἐμποιεῖ, ὃ δὴ πάθος τρόμος καὶ ψῦχος ὀνομάζεται.]

44. [ὅτι τὸν Φεβρουάριον ἐπίτηδές φασι τοὺς Θούσκους ἐλαττῶσαι, ἐπειδὴ ταῖς τῶν καταχθονίων ἑορταῖς φαίνεται πρὸς p. 52

10 βριγχή Roethenus coll. 4 81 et auctore Xantho quodam Siphnio: libri βιχχή. 12 ἀφημερινὸς vulgo. 17 ἐκπεσόντα apud S.

ram ostendentes. non enim sunt stellae, sed concretiones, quae ex terrae exhalatione efficiuntur, orientes ex eo aëre qui contagione excipitur in aetherem; unde etiam pari atque ille celeritate una circumferuntur, dum dilabuntur. et quando fluxum ad partes inferiores delabentem habens aether corripitur, pogoniae et pithi efficiuntur, quando autem oblique, cometae. atque celerius pogoniae, multo autem his celerius pithi ac docides excidunt.

42. Saporum varietates plures quidem sunt, generales autem novem, dulcis, amarus, acidus, acer, subdulcis, acerbus, mucosus, austerus, salsus.

43. Si increbuit ignis, febris existit; quotidiana autem, si aër, tertiana, si aqua, quartana, si terra. solet autem iis antecedere frigus. cum enim a frigore (quando hoc proprium est et aquae et terrae) ii qui dicti sunt humores crassi redditi sunt, tum intrantes per intervalla partes densiores extrudere nequeunt; in quarum sedes ubi inciderunt, coartationem et compressionem efficiunt, cum ab igne compellantur et dissolutae diffundantur, quo necessario perturbatio aliqua et motus efficitur, qui quidem affectus tremor et frigus appellatur.

44. Februarium consulto dicunt a Tuscis breviorem redditum fuisse,

τοὔνομα χωρηθείς, καὶ οὐ θεμιτὸν ἦν ἴσα τοῖς οὐρανίοις αὐτοὺς τιμᾶσθαι.]

45. [*ὅτι παρ' Ἰταλοῖς ὁ δυϊκὸς ἀριθμὸς ἀποφράζεται, σεκοῦνδον δὲ αὐτόν, οἱονεὶ εὐτυχῆ, πατρίως καλοῦσι κατὰ τὸν εὐφημισμόν, ὡς Εὐμενίδας καὶ Ἀδράστειαν καὶ Πάρκας κατ' αὐτοὺς τὰς μηδενὸς φειδομένας Μοίρας.*]

46. [*ὅτι Ῥωμαῖοι μετὰ τὸ νικῆσαι τοὺς Ἄφρους καὶ τὰ ἐκεῖθεν θηρία ἐπὶ τῆς Ῥώμης ἐκόμιζον καὶ ἐπὶ τῆς ἄμμου ἐφόνευον, ὡς μηδὲ τὰ ἐκ τῆς χώρας ἐκείνης θηρία ἀδούλωτα μεῖναι.*]

47. [*ὅτι τὴν ἱσταμένην ἐν τῷ Βυζαντίῳ στήλην τῆς Τύχης Πομπήϊος ὁ μέγας ἵστησεν, ἐνταῦθα τὸν Μιθριδάτην συγκλείσας μετὰ τῶν Γότθων, καὶ τούτους διασκεδάσας τὸ Βυζάντιον εἷλε. καὶ μαρτυρεῖ τὸ ἐπὶ τῆς σπείρας τοῦ κίονος ἐπίγραμμα Λατίνοις γράμμασιν, ὃ δηλοῖ τάδε· "τῇ Τύχῃ τῇ ἐπανασωστικῇ διὰ τοὺς νικηθέντας Γότθους." ὁ δὲ τόπος ὕστερον καπηλεῖον ἐγένετο.*]

p. 53 48. [*ὅτι Πορφύριός φησι "τοὺς φαινομένους οὐρανίους θεοὺς τῇ θυσίᾳ δεξιούμενοι, καὶ διὰ τοῦ πυρὸς αὐτοῖς ἀπαθανατίζοντες τὰς τιμάς, καὶ πῦρ ἐν τοῖς ἱεροῖς ἐφύλαττον αὐτοῖς ἀθάνατον ὡς ὂν μάλιστα αὐτοῖς ὁμοιότατον."*]

49. [*ὅτι Πλάτων φησὶ τοῖς τῆς Ἀφροδίτης γενεθλίοις τὴν Πενίαν προσαιτοῦσαν ἐλθεῖν, καὶ λάθρᾳ τῷ Πόρῳ μεθυσθέντι τοῦ νέκταρος ἐπιβουλεῦσαι, καὶ οὕτω κυηθῆναι τὸν Ἔρωτα.*]

1 παραχωρηθὶς Hasius
20 Plato Conviv. p. 203.
αὐτοὺς Roetherus: vulgo αὐτὸν
21 ἐλθεῖν Roetherus pro eo quod erat ἀνελθεῖν.

quandoquidem, ut ex nomine apparet, deorum inferorum feriis erat concessus, neque fas erat parem iis ac caelestibus honorem tribui.

45. Apud Italos dualis numerus nefastus habetur; secundum autem eum, tanquam faustum, patrio sermone dicunt ex euphemismo ut Eumenides et Adrasteam, et Parcas ipsorum lingua nemini parcentes Moeras.

46. Romani devictis Afris bestias quoque illinc Romam transportabant atque in arena interficiebant, ut ne bestiae quidem, quae ex illa regione venissent, liberae manserint.

47. Columnam Fortunae Byzantii stantem Pompeius Magnus posuit, postquam ibi Mithridatem circumvenit cum Gothis, quibus dissipatis Byzantium cepit. et testatur hoc inscriptio in basi columnae Latinis literis insculpta, qua significantur haec "Fortunae salvatrici ob devictos Gothos." caupona autem locus postea evasit.

48. Porphyrius ait "praesentes deos caelestes hoc sacrificio colentes, et per ignem iis immortales reddentes honores, etiam in templis iis ignem servabant aeternum, utpote qui iis est longe simillimus."

49. Plato refert Veneris natalicius Inopiam mendicantem ascendisse et Poro (i. e. affluentiae deo) nectare ebrio clam insidiatam ita concepisse Amorem.

50. [*ὅτι σχημάτων ὁ κύκλος τελειότατον. ὅθεν Αἰγύπτιοι τὸν κόσμον γράφοντες περιφερῆ κύκλον ἀεροειδῆ καὶ πυρωπὸν χαράττουσι, καὶ μέσον τεταμένον ὄφιν ἱερακόμορφον, οἱονεὶ συνεκτικὸν ἀγαθὸν δαίμονα. καὶ ἔστι τὸ πᾶν σχῆμα ὡς τὸ παρ' ἡμῖν Θ.*]

51. [*ὅτι ὁ τῆς ὀγδοάδος ἀριθμὸς θῆλυς καὶ ἄπειρος καὶ ἀτελής. ὅθεν καὶ παρὰ τῷ Νικομάχῳ ἠλιτόμηνος καλεῖται· ὁ γὰρ ὀκτάμηνος χρόνος πρὸς οὐδένα τῶν ἁρμονικῶν ἔχων φαίνεται λόγον. ὅθεν οὐ τελεσφορεῖται τὰ ὀκταμηνιαῖα· μέσος γὰρ ὢν τῶν τελεσφόρων ἀριθμῶν αὐτὸς ἀτελὴς εὑρίσκεται. πάσης γὰρ ὑλικῆς δυνάμεως μετέχων τὰς περὶ τὴν ὕλην εἴληχε δυνάμεις.*]

52. [*ὅτι τοὺς κεραυνούς φασι γίνεσθαι, ὅταν ῥῆξις νεφῶν γένηται. τῆς γὰρ παρακειμένης αὐτοῖς γεώδους οὐσίας ἐξαφθείσης,* p. 54 *τὸ ἐξαφθὲν ὑπὸ τῆς ῥιπῆς ἐπὶ τὴν γῆν μετὰ ῥοίζου φέρεται. καὶ ἐὰν μὲν ὑγρότερα τυγχάνῃ τὰ νέφη, ἅμα τῇ καταφορᾷ σβέννυται, εἰ δὲ γεωδέστερα, πυρώδεις ἐκθλίβονται. δύο δὲ εἴδη κεραυνῶν εἶναί φασιν, ὧν ὁ μὲν ὀξὺς καὶ μανὸς καὶ διάπυρος ἀργὴς ὀνομάζεται, ὁ δὲ βραδὺς καὶ καπνώδης ψολόεις· καὶ ὁ μὲν διὰ τὴν λεπτότητα καὶ πρὶν ἐκπυρῶσαι φερόμενος οἴχεται διὰ τάχους, ὡς μηδὲ ἐπιφλέξαι τι τῶν ἀραιοτέρων, ὁ δὲ βραδύτερος ἱκανὸς μὲν ἐπιχρῶσαι ὡς ἀπ' αἰθάλου, καὶ καῦσαι δέ τινα τῶν ὑποπεσόντων, βολβῶν καὶ συκῆς καὶ φώκης καὶ ἰνίης μενόντων ἀβλαβῶν, ὧν*

7 Nicomach. Theologum. arithm. 8 p. 55 Ast.

50. Figurarum perfectissima orbis est; unde Aegyptii mundum pingentes orbem aërium et rutilum insculpunt mediumque extensum serpentem accipitris formam repraesentantem, tanquam bonum daemonem (s. deum) continentem; et est universa figura similis nostro (i. e. Graeco) Θ.

51. Octonarius numerus femineus et infinitus atque imperfectus est; unde etiam apud Nicomachum ante iustos menses natus vocatur. octo enim mensium tempus ad nullum harmonicorum (s. consentientium) numerorum habere aliquam videtur rationem. unde non ad maturitatem perducuntur octo mensium partus: medius enim cum sit eorum numerorum qui finem afferendi vim habent, ipse imperfectus reperitur. omnis enim materialis potestatis cum particeps sit, materiales sortitus est vires.

52. Fulmina existere dicunt, cum disrumpuntur nubes: substantia enim terrena, quae iis admixta est, incensa, ea pars quae accensa est impetu suo in terram cum strepitu defertur. atque si humidiores nubes sunt, in ipso casu exstinguuntur, sin vero magis terrenae, igneae eliduntur. duo autem fulminum genera esse dicunt, quorum alterum, acre et rarum igneumque, candidum vocatur, alterum, lentum et fumosum, flammeum; et alterum propter raritatem iam priusquam incendatur cum celeritate defertur, ut nihil eorum quae rariora sunt adurat; lentius autem ita comparatum est ut contaminare possit, ut fit a fulligine, et incendere quaedam eorum quae ipsi subiecta sunt, bulbis et fico et vitulo marino

καὶ ταῖς δοραῖς περιδιφθεροῦσθαι τὰ ἱστία τῶν νηῶν διὰ τοὺς κεραυνούς. τῶν μέντοι κεραυνοβλήτων τὰ σώματα ἄταφα κατελίμπανον οἱ πάλαι, ἀδιάφθορα μένοντα· τῆς γὰρ ἐν αὐτοῖς ὑγρότητος ἁναρπαζομένης ὑπὸ τοῦ πυρός, ὥσπερ ἀποπτηθέντα διαμένειν πέφυκε.]

53. βροντὴ γίνεται εἰληθέντος πνεύματος ἐν νέφει παχεῖ τε καὶ νοτιωτέρῳ καὶ ἐξωσθέντος βιαίως δι' αὐτοῦ, ὅθεν ῥήγνυται τὰ συνεχῆ πιλήματα τοῦ νέφους, καὶ βρόμον ἤγουν ἦχον καὶ πάταγον μέγαν ἀπεργάζονται, ὅπερ βροντὴ λέγεται, ὥσπερ ἐν ὕδατι πνεῦμα σφοδρῶς ἐλαυνόμενον. κατὰ δὲ τὴν τοῦ νέφους ἔκρηξιν πυρωθὲν τὸ πνεῦμα λάμψαν ἀστραπὴ λέγεται.

Δ.

ΙΑΝΟΤΑΡΙΟΣ.

p. 55 1. Ἀποχρώντως ἡμῖν εἴρηται ἀρχὴν ἱερατικοῦ ἐνιαυτοῦ τὸν Ἰανουάριον μῆνα τοῖς Ῥωμαίοις παρὰ τοῦ βασιλέως Νουμᾶ ὁρισθῆναι. ῥητέον τοίνυν περὶ Ἰανοῦ, τίς τε ἄρα ἐστὶ καὶ τίς ἡ περὶ αὐτοῦ δόξα γέγονε τοῖς ἀρχαίοις. ὁ Λαβιὼν οὖν φησὶν αὐτὸν καλεῖσθαι Ἰανὸν κοσίβιον, τουτέστι βουλαῖον, Ἰανὸν κήνυλον οἷον

atque hyaena manentibus illaesis, quorum etiam pellibus induci vela navium propter fulmina. ideoque fulmine ictorum corpora insepulta relinquebantur a veteribus, utpote quae incorrupta manerent: cum enim humor qui in iis est ab igne abripiatur, velut extosta permanere solent.

53. Tonitru fit, cum spiritus in nube densa atque humidiore voluntatus et vehementer per eam explosus est, quo disrumpuntur cohaerentes inter se nubis partes constipatae, et fremitum sive sonitum magnumque strepitum edunt, quod tonitru dicitur, tanquam spiritus, qui in aqua vehementer agitatur. in eruptione autem nubis incensus spiritus si fulsit, fulgur nuncupatur.

IV.

DE MENSIBUS SPECIATIM.

IANUARIUS.

1. Satis a nobis dictum est initium anni sacerdotalis Ianuarium mensem Romanis a Numa rege constitutum esse: dicendum igitur de Iano, nempe et quis sit et quae de eo fuerit veteribus opinio. Labeo igitur eum ait vocari Ianum consivium, id est consiliarium; Ianum cenulum,

εὐοχιαστικόν, πατρίκιον ὡσεὶ αὐτόχθονα, κλουσίβιον ἀντὶ τοῦ ὁδιαῖον, Ἰουνώνιον, τουτέστιν ἀέριον, κυρῖνον ὡσανεὶ πρόμαχον, πατούλκιον καὶ κλούσιον οἱονεὶ θυρεόν, κουριάτιον οἱονεὶ ἔφορον εὐγενῶν· Κουριάτιοι γὰρ καὶ Ὁράτιοι ὀνόματα εὐπατριδῶν εἰσί. καὶ οἱ μὲν δίμορφον αὐτὸν μυθολογοῦσι, νῦν μὲν κλεῖς τῇ δεξιᾷ φέροντα ὡσανεὶ θυρεόν, νῦν δὲ τῇ μὲν δεξιᾷ τριακοσίας τῇ δὲ ἑτέρᾳ ἑξήκοντα πέντε ψήφους ἀριθμοῦντα, ὥσπερ τὸν ἐνιαυτόν· ἔνθεν καὶ τετράμορφον, ἀπὸ τῶν τεσσάρων τροπῶν. καὶ τοιοῦτον p. 56 αὐτοῦ ἄγαλμα ἐν τῷ φόρῳ τοῦ Νερβᾶ ἔτι καὶ νῦν λέγεται σεσωσμένον. ἄλλος δὲ Αἰωνιάριον αὐτὸν ἑρμηνεῦσαι βιάζεται, ὡσεὶ τοῦ αἰῶνος πατέρα, ἢ ὅτι ἔννον τὸν ἐνιαυτὸν Ἕλληνες εἶπον, ὡς Καλλίμαχος ἐν πρώτῳ Αἰτιῶν

"τετράετον Δαμάσου παῖδα Τελεστορίδην,"

ἢ ἀπὸ τῆς ἑνὸς, ἀντὶ τοῦ τῆς μιᾶς, κατὰ τοὺς Πυθαγορείους. ὅθεν ὁ Μεσσαλᾶς τοῦτον εἶναι τὸν αἰῶνα νομίζει· καὶ γὰρ ἐπὶ τῆς πέμπτης τοῦ μηνὸς τούτου ἑορτὴν αἰῶνος ἐπετέλουν οἱ πάλαι.

2. Δυοκαίδεκα πρυτάνεις πρὸς τοῦ Νουμᾶ τοὺς καλουμένους Σαλίους ὁρισθῆναί φασιν, ὑμνοῦντας τὸν Ἰανὸν κατὰ τὸν τῶν Ἰταλικῶν μηνῶν ἀριθμόν. ὁ δὲ Βάρρων ἐν τῇ τεσσαρεισκαιδεκάτῃ τῶν θείων πραγμάτων φησὶν αὐτὸν παρὰ Θούσκοις οὐρανὸν p. 57 λέγεσθαι καὶ ἔφορον πάσης πράξεως, καὶ Ποπάνωνα διὰ τὸ ἐν ταῖς καλάνδαις ἀναφέρεσθαι πόπανα. Φωντήϊος δὲ ἐν τῷ περὶ

βιάζεται
10 βούλεται V. 22 φροντήϊος libri.

velut epularem; Patricium, tanquam indigenum; Clusivium, pro viatorium; Iunonium, id est aëreum; Quirinum, velut propugnatorem; Patulcium et Clusium, tanquam ianitorem; Curiatium, tanquam praesidem nobilium: Curiatii enim et Horatii nomina patriciorum sunt. et alii eum bifrontem ex fabula fingunt, modo claves dextra ferentem, tanquam ianitorem, modo trecentos calculos dextra, altera autem sexaginta quinque dinumerantem, velut annum. inde etiam quadriformem (i. e. quattuor faciebus praeditum) fingunt, a quattuor solis conversionibus; et eiusmodi eius signum in foro Nervae etiam nunc dicitur exstare. alius autem quidam Aeoniarium eum violenter interpretari conatur, tanquam aeonis (i. e. aevi) patrem, vel quod ἔννον Graeci dicebant annum, ut Callimachus libro primo Caesarum "τετράετον (i. e. quadrimum) Damasi filium Telestoriden." vel ab ἑνί (pro, una, iuxta Pythagoreos); unde Messala eum esse aeonem (i. e. aevum) arbitratur: etenim quinto huius mensis die ferias Aeonis celebrabant veteres.

2. Duodecim prytanes (s. administratores), qui Salii vocabantur, a Numa constitutos dicunt, canentes Ianum secundum Italicorum mensium numerum. Varro autem quarto decimo Rerum divinarum eum apud Tuscos caelum dici auctor est et praesidem omnis actionis, et Popanonem, quod Kalendis offerantur popana. Fronteius autem in libro De signis

ἀγαλμάτων ἔφορον αὐτὸν οἴεται τοῦ παντὸς χρόνου τυγχάνειν, καὶ ταύτῃ δωδεκάβωμον εἶναι τὸν αὐτοῦ ναὸν κατὰ τὸν τῶν μηνῶν ἀριθμόν. ὁ δὲ Γάϊος Βάσσος ἐν τῷ περὶ θεῶν δαίμονα αὐτὸν εἶναι νομίζει τεταγμένον ἐπὶ τοῦ ἀέρος, καὶ δι' αὐτοῦ τὰς τῶν ἀνθρώπων εὐχὰς ἀναφέρεσθαι τοῖς κρείττοσι· ταύτῃ δίμορφος εἶναι λέγεται ἔκ τε τῆς πρὸς ἡμᾶς ἔκ τε τῆς πρὸς θεοὺς ὄψεως. ὅ γε μὴν Λουτάτιος ἥλιον, παρὰ τὸ ἐφ' ἑκατέρας πύλης ἄρχειν, ἀνατολῆς ἴσως καὶ δύσεως. φασὶ δὲ τὸν αὐτὸν καὶ ἔφορον τῶν ἐπὶ πόλεμον ὁρμώντων τυγχάνειν, καὶ διὰ μὲν τῆς μιᾶς ὄψεως ἀποπέμπειν διὰ δὲ τῆς ἑτέρας ἀνακαλεῖσθαι τὸ στράτευμα. ὁ δὲ Πραιτέξτατος ὁ ἱεροφάντης, ὁ Σωπάτρῳ τε τῷ τελειστῇ καὶ Κωνσταντίνῳ τῷ αὐτοκράτορι συλλαβὼν ἐπὶ τῷ πολισμῷ τῆς εὐδαίμονος ταύτης πόλεως, δύναμιν αὐτὸν εἶναί τινα βούλεται ἐφ' ἑκατέρας ἄρκτου τεταγμένην, καὶ τὰς θειοτέρας ψυχὰς ἐπὶ τὸν σεληνιακὸν χορὸν ἀποπέμπειν. καὶ ταῦτα μὲν οἱ Ῥωμαίων ἱεροφάνται, ἄλλος δέ φησι τὸν Ἰανὸν ἥρωα γενέσθαι, καὶ πρῶτον κατασκευάσαι τεμένη καὶ τιμὰς τοῖς θεοῖς ἐπιτελέσαι, καὶ διὰ τοῦτο μνήμην αὐτοῦ ἐν τοῖς ἱεροῖς γενέσθαι. ὅ γε μὴν Δημόφιλος πρῶτον αὐτὸν βούλεται οἴκους καὶ πυλεῶνας κατασκευάσαι, καὶ ἀπὸ τῆς ἰανούας (θύρας) Ἰανουάριον ὀνομασθῆναι, ἔχειν δὲ αὐτὸν καὶ ἀδελφὴν τοὔνομα Καμασήνην. Ὀβίδιος ὁ Ῥωμαῖος Ἰανὸν ἀλληγορεῖ τὸ χάος εἶναι.

p. 58 3. Ἡ δὲ πρώτη τῶν καλανδῶν ἑορτὴ Ῥωμαίοις σεβασμιω-

4 αὐτοῦ P: apud S αὐτὸν 13 ἐφ' om P. 16 καὶ τὸν πρῶτον apud S.

praesidem eum universi temporis esse arbitratur, ideoque duodecim aras habere eius templum secundum mensium numerum. Gaius Bassus autem in libro De diis daemonem (s. deum) eum esse putat constitutum in aëre, perque eum hominum preces perferri ad superos; quocirca biformis esse dicitur a facie et ad nos et ad deos conversa. Lutatius vero solem, inde quod in utraque porta imperet, orientis pariter atque occidentis. dicunt autem eundem praesidem esse eorum qui in bellum proficiscuntur, et altera facie dimittere altera revocare exercitum. Praetextatus autem pontifex, qui cum Sopatro consecratore et Constantino imperatore particeps fuit condendae fortunatae huius urbis, potestatem quandam eum esse vult in utraque Ursa collocatam, et diviniores animos in coetum lunarem ducere. et haec quidem Romanorum pontifices. alius autem Ianum heroëm fuisse dicit, et primum confecisse lucos atque honores diis obtulisse, ob idque mentionem eius in sacris fieri solitam. Demophilus vero primum eum vult domos ac vestibula confecisse et a ianua appellatum Ianuarium esse, habere autem etiam sororem, cui nomen Camasene. Ovidius Romanus Ianum allegorice Chaos esse dicit.

3. Primae Kalendarum feriae Romanis longe sanctissimae erant. et

τάτη. καὶ ὁ ὕπατος ἵππῳ λευκῷ ἐποχούμενος καὶ αὐτὸς λευχείμων, ἡγούμενος πομπῆς, ἀνέτρεχεν ἐν τῷ Καπετωλίῳ· τὸν δὲ τοιοῦτον τρόπον τῆς πομπῆς πατρίως ὀβατίωνα ἐκάλουν ἐκ τῆς τῶν προβάτων θυσίας. καὶ τὸν μὲν ἵππον προσέφερεν ὁ ὕπατος τῷ Διί (καὶ γὰρ ἥλιος αὐτὸς καιὰ Φερεκύδην), ἐκ' ἐκεῖθεν τὴν ὕπατον ἀναλαβὼν στολὴν προήρχετο. τοῦτο δὲ εἰς τιμὴν τοῦ Διός, ὡσεὶ καταγωνισθέντων ἐκείνῳ τῶν Γιγάντων, ἀντὶ τοῦ νικηθέντος τοῦ χείματος ὑπὸ τοῦ ἡλίου. οἱ δὲ μυθικοὶ Βριάρεω τὸν χειμῶνα καλοῦσι, πολύχειρά τινα διὰ τὸ πολυσχιδῶς τὸ ὑγρὸν ἐκχεῖσθαι καὶ' αὐτόν. καὶ νῦν μὲν μάχεται ὁ Βριάρεως τῷ Διί, οἱονεὶ τῷ ἡλίῳ, καὶ σύμμαχος αὖθις αὐτῷ γίνεται διὰ τὸ τὴν ὑγρὰν οὐσίαν σύμμαχον εἶναι τῇ θερμῇ.

4. ἡλίου τοίνυν ἐπεκτείνοντος τὴν ἡμέραν πρόεισιν ὁ ὕπατος, καὶ ἡ μὲν ἡμέρα ἑορτῆς καὶ ἐκεχειρίας, οἰωνοῦ δὲ χάριν οἱ ἄρχοντες ἐπὶ τῶν βημάτων ἐγίνοντο, καὶ πάντα τὰ στρατεύματα σὺν τοῖς ἐπισήμοις συνήγετο. καὶ πάλαι μὲν ἰσχάδας ἀλλήλοις ἐπεδίδοσαν, ἀπὸ γλυκείας τροφῆς δῆθεν ἀπαρχόμενοι. φύλλα δὲ p. 59
δάφνης ἐδίδοσαν, ἅπερ ἐκάλουν στρῆνα, εἰς τιμὴν δαίμονός τινος οὕτω προσαγορευομένης, ἥτις ἔφορός ἐστι τῶν νικῶν. τὸ δὲ στρῆνα καθ' Ἕλληνας τὸν εὐαρχισμὸν τὸν ἐπὶ ἐντριχείας στρατιωτικῆς σημαίνει· οὐ γὰρ ὡς τὸ πλῆθος ἀπάγεται παιγνίου καὶ ῥᾳστώνης χάριν. ὁ δὲ Ἐλπιδιανὸς ἐν τῷ περὶ ἑορτῶν στρῆναν τὴν

2 ἡγουμένης V. 12 τῆς θερμῆς V. 13 τὰς ἡμέρας P. 17 ἐπεδίδοσαν ἀλλήλοις P. 18 στρήνας Roetherus 20 εὐαρχισμὸν Roetherus: apud S εὐορχησμὸν.

consul equo albo vectus et ipse albis vestimentis indutus, ducens pompam ascendebat in Capitolium (eiusmodi autem pompam patrio sermone ovationem vocabant, ab ovium immolatione); et equum offerebat consul Iovi (etenim sol ille est, ut docet Pherecydes); tum, sumpta toga consulari inde progrediebatur. hoc autem in honorem Iovis fiebat, utpote devictis ab illo Gigantibus, pro devicta hieme a sole. mythici autem hiemem vocant Briareum, multis manibus praeditum quendam, ideo quod materia humida in multas partes fissa effunditur ista tempestate. et nunc quidem pugnat Briareus contra Iovem, velut contra solem, et socius ei rursus fit pugnae, propterea quod humida materia socia est calidae.

4. Sole igitur extendente diem munus suum auspicatur consul, et dies festus est ac feriatus. auspicii autem causa magistratus in tribunalibus erant et omnes exercitus cum signis cogebantur. atque antiquitus quidem caricis inter se donabant, a dulci videlicet victu incipientes. et folia laurea dabant, quas dicebant strenas, in honorem dese cuiusdam quae ita vocatur, quae praeses est victoriarum. strena autem Graece εὐαρχισμόν (i. e. strenuitatem) in solertia militari significat: non enim, ut vulgus opinatur, tribuitur ludibrii et levitatis gratia. Elpidianus autem

ὑγίειαν τῇ Σαβίνων φωνῇ λέγεσθαί φησι, δι' ἣν φύλλα δάφνης ἐπεδίδοτο. ὑγιαστικὸν δὲ τὸ φυτόν· οὐδὲ γὰρ ἱερὰ νόσος ἢ δαίμων βαρὺς ἐνοχλήσει τῷ τόπῳ ἐν ᾧ δάφνη ἐστίν, ὥσπερ οὐδὲ κεραυνὸς ὅπου συκῆ, ὅτι σκεδαστὴ φαρμάκων ἐστί. ταύτῃ οἱ δι' ὀνείρων θείας τυχεῖν ἐπιφανείας ὀρεγόμενοι ἰσχάδων καὶ μόνων μεταλαμβάνουσιν.

5. Ὅτι δὲ φύλλα δάφνης σὺν καὶ ταῖς ἰσχάσιν ἐπεδίδοτο, φανερὸν ἐκ τοῦ μέχρι καὶ νῦν ἐν τοῖς ἀγγείοις τῶν ἰσχάδων καὶ φύλλα δάφνης ἐκ συνηθείας ἐμβάλλεσθαι. διέμεινε δὲ ὅμως τὸ ἔθος, ἐκ μόνης εὐπορίας ἐναλλαγέν· ἀντὶ μὲν γὰρ ἰσχάδων ἐπιδι-
p. 60 δόασι πόπανα, ἀντὶ δὲ τῶν φύλλων χρυσίον. πλακοῦντας δὲ Ῥωμαῖοι τὰ ἐκ μέλιτος πόπανα καλοῦσι διὰ τὸ ἐν Πλακεντίᾳ τῇ πόλει τῆς Ἰταλίας πρῶτον ἐξ Ἑλλήνων, ἢ μᾶλλον ἐκ Σαμίων, τὴν τοιαύτην ἐδωδὴν παρελθεῖν, καὶ διὰ τοῦτο οὕτως λέγεσθαι ὡς Ταραντῖνα ἀπὸ Τάραντος καὶ Κανουβικὰ ἀπὸ Κανούβου καὶ Κοπτὰ ἀπὸ Κοπτοῦ. Σάμιος δέ τις πρῶτος μέλιτι φυράσας ἄρτον κατεσκεύασε, δι' ὧν καὶ τὴν λεγομένην σήσαμον ἐξεῦρεν ἐν τῇ Σάμῳ· ὅθεν καὶ συγγενὲς προσηγορίᾳ τῇ τοῦ καρποῦ τὸ χωρίον.

6. ἐδέχοντο δὲ ἐπὶ τῆς Ῥώμης οἱ αὐτοκράτορες φιλήματι τοὺς ἄρχοντας, πρὸς τιμὴν ἐλευθερίας, ἀπελαθέντων τῶν τυράννων διὰ Βρούτου τοῦ Ῥωμαίων ὑπάτου.

1 γλώσσῃ P. 4 σκεδαστικὴ? 7 nonne καὶ σὺν? 10 ἐπιδίδωσι libri: corr Roetherus 11 πλακίντας? 17 δι' ὧν] διὸ P. σίσαμον libri 18 συγγενὴς προσηγορία τούτου καρποῦ libri: corr Hasius.

in libro De ferils sirenam sanitatem Sabinorum lingua dici auctor est, propter quam folia laurea donabantur: sanitatis autem efficiens est haec arbor, neque enim morbus sacer nec daemon molestus infestabit eum locum ubi laurus erit, ut nec fulmen ubi ficus, quoniam venena depellendi vim habet. quare ii qui per somnia divini compotes fieri visus student, solas caricas sumunt.

5. Folia autem laurea una cum caricis dono dari solita fuisse inde apparet, quod adhuc in caricarum vasa etiam folia laurea ex consuetudine iniiciuntur. attamen permansit mos ex sola opulentia mutatus: pro caricis enim donant placentas, pro foliis autem aurum. placentas autem Romani popana ex melle confecta vocant, propterea quod Placentiam, urbem Italiae, primum ex Graecis vel potius Samiis eiusmodi cibus perlatus est, et hanc ob rem ita dicebantur ut placentae Tarentinae a Tarento et Canubicae a Canubo et Copticae a Copto. Samius autem quidam primus melle admixto panem confecit, — et sesamum quod dicitur invenit in Samo; unde etiam cognata fructus nomini regio.

6. Excipiebantur autem Romae ab imperatoribus osculo magistratus, in honorem libertatis, electis tyrannis per Brutum Romanorum consulem.

7. ἐν ταύτῃ τῇ ἡμέρᾳ Τραϊανὸς τῇ πάντων τύχῃ καθιέρωσε ναών, θεσπίσας κατὰ τὸν ἱερὸν νόμον μηδένα παρὰ τὸν θύσαντα γεύεσθαι τῆς θυσίας.

εἱμαρμένη, οἱονεὶ εἱρομένη, διὰ τὸ χρόνου δεῖσθαι καὶ διαστάσεως, ἵνα ὁ εἱρμὸς τῶν ὑποκειμένων σώζηται.

θεοῦ γὰρ οὐδεὶς ἐκτὸς εὐτυχεῖ βροτός.
φεῦ τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι!
οἱ μὲν γὰρ εὖ πράσσουσι, τοῖς δὲ συμφοραὶ
— πάρεισιν εὐσεβοῦσι πρὸς θεοῦ.

οἱ Ῥωμαῖοι μηδὲν ἕτερον παρὰ τὴν ἐν ἀνθρώποις εὐδαιμονίαν εἶναι p. 61
νομίζοντες αὐτὴν καὶ μόνην τῶν πάντων ἡγεῖσθαι νενομίκασιν, φορτοῦναν αὐτὴν ἀπὸ τῆς φορᾶς ἐμφερῶς ὀνομάσαντες. οἱ μὲν οὖν πρὸς ἀρετὴν ἔχοντες καὶ θεοῦ μεμνημένοι καὶ κρείττονας ἐπὶ τῶν ἀΰλων καὶ μακαρίων πραγμάτων ἐλπίδας σωλεύοντες καταφρονοῦσι τῶν τῇδε καλῶν. εἰ μὲν γὰρ τύχη ἐστίν, οὐδὲν δεῖ θεοῦ· εἰ δὲ θεὸς σθένει, οὐδὲν ἡ τύχη· εἰκαῖον γάρ τι καὶ ἀνούσιον τὸ τῆς τύχης ὄνομα. τὰ τῶν ἀνθρώπων πράγματα κλίμακι πέφυκεν ἐξομοιοῦσθαι διὰ τὴν ἀνώμαλον αὐτῶν φοράν· ἐν μιᾷ γάρ, ὡς ἔφη τις, ἡμέρᾳ τὸν μὲν καθεῖλεν ὑψόθεν, τὸν δ' ἦρ' ἄνω, μηδενὸς ἐν ὁμοίῳ πεφυκότος μένειν τῶν παρ' ἡμῖν, ἀλλὰ παντοίαις μεταβάλλοντος τροπαῖς. ἢ οὐκ ἄρχοντες μὲν ἐξ ἰδιωτῶν, ἰδιῶται

4 τὸ χρόνου P, τὸ τοῦ χρόνου V. 6 ἐκτὸς οὐδεὶς libri βροτῶν P. 12 οἱ μὲν οὖν S: εἰ μὲν οἱ V. an οἱ μὲν εὖ? 15 ἐστιν om P. 20 τῶν add P.

7. Hoc die Traianus communi Fortunae sacravit templum, postequam sanxit sacra lege, ne quis praeter eum qui sacrificasset gustaret victimam.

Εἱμαρμένη (i. e. necessitas) velut *εἱρομένη*, propterea quod tempore opus est ac distantia, ut *ὁ εἱρμός* (i. e. nexus) substantiarum servetur. extra deum enim nemo mortalium beatus est. eheu mortalium quam iniquae res sunt! alii enim prospere rem gerunt, aliis fata — contingunt, quamvis piis, a deo. Romani nihil aliud quam eam quae in hominibus est felicitatem esse putantes, eam solam in rerum universitate dominari censuerunt, Fortuna illa a ferendo, nomine consentaneo, appellata. ad virtutem igitur qui conversi et dei memores sunt melioresque in rebus materiae ac corporis expertibus et beatis vota agitant, ii parvi faciunt ea quae hic sunt (i. e. terrestria) bona. si enim Fortuna est, nihil opus est deo, si autem deus potest aliquid, nihil est Fortuna: temerarium enim quid et vanum Fortunae nomen est. res humanae gradatim solent exaequari propter inaequalem ipsarum motum: uno enim, ut dixit quidam, die alium abripuit deorsum, alium autem sustulit sursum, cum nihil eorum quae ad nos pertinent in eodem statu manere soleat, sed variis modis convertatur. an non prin-

δὲ ἐξ ἀρχόντων, πένητες δὲ ἐκ πλουσίων καὶ ἐκ πενήτων πολυχρήματοι, καὶ ἔνδοξοι μὲν ἐξ ἠμελημένων, ἐπιφανέστατοι δὲ ἐξ ἀδόξων γίνονται; χείρους οἱ τοῦ πλούτου παρὰ τὸ μέτρον ἐφιέμενοι· πλοῦτος γὰρ μᾶλλον κακίας ἢ καλοκἀγαθίας ὑπηρέτης ἐστί, φησὶν ὁ ῥήτωρ. καὶ οἶμαι τούτοις προσαχόντα τὸν Πλάτωνα φάναι μηδένα γίνεσθαι μεγίστου πλούτου κύριον, εἰ μὴ τὸν προεζημιωμένον τὴν ψυχήν.

8. τῇ πρώτῃ τοίνυν, ὡς ἔφημεν, τῶν καλανδῶν ἐθέσπιζον
p. 62 οἱ ἱερεῖς κατὰ τοὺς Σιβυλλείους χρησμούς, ὑπὲρ ὑγιείας χρῆναι πάντας ἀπὸ πρωΐ πρὸ πάσης ἑτέρας τροφῆς ἀπογεύεσθαι ἀκράτου οἴνου εἰς ἀποτρόπαιον ποδαλγίας. ἰστέον δὲ κατὰ τὴν ἡμέραν τῶν καλανδῶν τὸν ἥλιον ἐφ' ὕψους γίνεσθαι, τὸν δὲ στέφανον δύεσθαι ὄρθρου.

9. τῇ δὲ ἑξῆς, ἥτις ἐστὶ πρὸ τεσσάρων νωνῶν Ἰανουαρίων, ἐσχόλαζον διὰ τὰ ἱερὰ [διὰ] τὰ ἱπποδρόμια. οἱ δὲ πρὸ τῆς ἐπὶ τὴν ἱπποδρομίαν προόδου, συμπαρόντων αὐτοῖς τῶν ἀρχιερέων, ἐνήγιζον τοῖς δαίμοσιν, ἐπὶ δὲ τῶν ἀγνιῶν τὰ παρ' αὐτοῖς καλούμενα μιλιαρίσια τῷ πλήθει ἐπεδίδοσαν εἰς τιμὴν Σκιπίωνος· πρῶτος γὰρ αὐτὸς ἐπὶ τῆς ἑκατοστῆς ἐννάτης Ὀλυμπιάδος δι' ἔνδειαν χρυσίου τοῖς στρατιώταις τὰ μιλιαρίσια κατασκευάσας ἐπιδέδωκεν, Ἀννίβου τοῖς πράγμασιν ἐπικειμένου. καὶ μιλιαρίσια ἀπὸ τῆς μιλιτίας οἱονεὶ τῆς στρατιᾶς ὠνομάσθησαν. ὁ δὲ Δαρδάνιος ἐν τῷ

4 κακίας μᾶλλον P, sicut legitur apud Isocratem. 9 Σιβυλλίους vulgo 17 δαίμοσιν Roetherus, ubi libri δόγμασιν.

cipes ex privatis, privati ex principibus, pauperes ex ditibus atque ex pauperibus opulenti, et celebres ex neglectis, clarissimi autem ex obscuris evadunt? peiores evadunt qui divitias immodice appetunt: divitiae enim pravitatis magis quam probitatis ministrae sunt, ut ait orator; et opinor his animadversis Platonem dixisse neminem fieri maximarum divitiarum dominum, nisi qui antea damnum cepisset animo.

8. Primo igitur, ut diximus, Kalendarum die edicebant sacerdotes ex Sibyllinis oraculis, pro sanitate oportere omnes a primo mane ante omnem ceterum victum gustare merum (vinum) ad averruncandam podagram. sciendum autem Kalendarum die solem in summo statu esse, et Coronam occidere mane.

9. Die postero, qui est a. 4 Nonas Ianuarias, ferias agebant propter Equiriorum solennia. illi autem antequam ad certamen equestre prodirent, praesentibus una pontificibus, sacra faciebant Manibus, in viis autem miliarisia, quae apud ipsos dicebantur, plebi largiebantur, in honorem Scipionis: primus enim ille Olympiade centesima nona ob auri inopiam militibus miliarisia ab ipso confecta attribuit, Hannibale rebus imminente. et miliarisia a militia dicta sunt: Dardanius autem in libro De

περὶ σταθμῶν χιλίων ὀβολῶν λέγει πάλαι γενέσθαι τὸ μιλιαρίσιον, καὶ ἀπὸ τῆς χιλιάδος τῶν ὀβολῶν οὕτως ὀνομασθῆναι.

10. Μεθ' αὐτὴν βοτὰ ποιβλικὰ ὡσανεὶ δημόσια εὐχαί. καὶ ἀδεῶς τὸ πλῆθος ἀπέσκωπτεν εἰς τοὺς ἄρχοντας οὐ ῥήμασιν ἀλλὰ καὶ σχήμασιν ἐπὶ τὸ γελοιῶδες ἔχουσι. τοῦτο δὲ ἔπραττον εἰς τιμὴν ἐλευθερίας, καὶ οἱ ἄρχοντες ἐνεδίδοσαν ὡσανεὶ νόμῳ τῇ συνηθείᾳ παραχωροῦντες. καὶ ἀνέφερον τὴν οἰωνοσκοπίαν οἱ ὕπατοι p. 63 τοῖς αὐτοκράτορσι, δι' ἧς ἐγινώσκετο ποταπὸς ἄρα ἔσται ὁ ἐνιαυτός. εἰ μὲν γὰρ συνέβη ἡμέρᾳ ἡλίου συνδραμεῖν τὴν ἑορτὴν τῶν καλανδῶν, πολέμους καὶ ἀρχόντων διαφθορὰς καὶ τῶν ὑπηκόων δι' αὐτοὺς διχονοίας ἀνέμενον, τοὺς δὲ ξηροὺς καρποὺς ἀφθόνους καὶ φήμας παραδόξους· εἰ δὲ σελήνης, τοιαῦτα μὲν οὐκέτι, φθορὰν δὲ βρεφῶν καὶ σπάνιν τῶν ἐπιτηδείων ἔαρ τε ψυχρόν, τὰ δ' ἀκρόδρυα δαψιλῶς ἐπιδώσειν· εἰ δ' Ἄρεος, ἐμπρησμοὺς μὲν καὶ νόσους, οἶνον δὲ καὶ ἐλαίου καὶ ὀσπρίων ἀφθονίαν, καὶ στάσιν ἐμφύλιον· ὅταν δὲ Ἑρμοῦ, φθορὰν μὲν νηπίων καὶ νόσους ἐκ ῥύσεως γαστρός, καὶ ταῖς μέσαις ἐν ἡλικίᾳ γυναιξὶ φθοράν, καὶ λιμὸν ἀπευκταῖον καθόλου. ἐν γὰρ τῇ Διὸς ἡμέρᾳ ἐμπιπτούσης τῆς τῶν καλανδῶν ἑορτῆς πάντα μὲν ἀγαθὰ ἐδίδοτο προσδοκᾶν, χιονώδη δὲ καὶ ὑετώδη τὸν καιρόν, ὡς μηδὲ τοὺς ποταμοὺς ταῖς οἰκείαις ἀρκισθῆναι κοίταις. ἐπὶ δὲ τῆς ἕκτης, ἥτις Ἀφροδίτης εἶναι νομίζεται, τοῖς μὲν ἄρχουσι θόρυβον, τοῖς δὲ καρποῖς ἐπίδοσιν, καὶ τοῖς κοινοῖς πολέμους βαρεῖς φθοράν τε ἀνθρώπων

8 ἔσται] εἴη P. 17 γαστρῶν P.

ponderibus mille obolis olim constitisse dicit miliarisium et a mille obolorum numero ita nominatum fuisse.

10. Post eum diem vota publica. et impune plebs illudebat magistratibus non dictis, verum etiam gestibus ad risum movendum spectantibus. hoc autem faciebant in honorem libertatis, et magistratus permittebant, cedentes, tanquam legi, consuetudini. et referebant de auguriis consules ad imperatores, ex quibus cognoscebatur qualis fere annus esset futurus. si enim contigerat ut in diem solis inciderent Kalendarum feriae, bella et magistratuum caedes et civium propter eos dissensus exspectabant, largos autem fructus aridos et rumores insperatos; si in lunae, talia quidem non amplius, sed interitum infantium et inopiam victus verque frigidum, fructuum autem testaceorum largum proventum; si in Martis, incendia et morbos, vini autem et olei atque leguminum copiam et seditionem intestinam; si vero in Mercurii, interitum infantium et morbos ex ventris fluxu, et mediae aetatis mulieribus mortem et famem exsecrandam universe. in Iovis enim diem incidentibus Kalendarum feriis omnia fausta exspectare licebat, nivosam autem et pluviam tempestatem, ut neque fluvii suis arcerentur alveis; sexto autem, qui Veneris esse putatur, magistratibus tumultum, fructibus autem incrementum et rei publicae bella gravia interitumque hominum, et praecipue iuventutis, exspe-

καὶ διαφερόντως τῆς νεολαίας ἀνέμενον. κατὰ δὲ τὴν ἑβδόμην χειμῶνα πάντως (καὶ γὰρ ψυχρὸς ὁ Κρόνος) εὐετηρίαν τε ὅσην, ἐπεὶ ἔφορος τῶν καρπῶν αὐτὸς εἶναι ὑπείληπται, νόσους τε καὶ κινδύνους, καὶ ἀνέμους τῷ θέρει, καὶ χαλάζης ἐπιφορὰν περὶ τὸν καρκῖνον, καὶ φήμην τοῖς πράγμασιν ἀδόκητον οἰωνίζοντο.

p. 64 11. ὅτι δὲ ἐμφερὴς κατά τινα δύναμιν τῷ μαγνήτῃ ὁ σίδηρος, εὐμαρὲς ἰδεῖν· ὁ γὰρ ἐξ αὐτοῦ μεταλλευθεὶς σίδηρος οὐδὲν ἧττον τὸν ἐξ ἄλλης μεταλλευθέντα σίδηρον, εἰς ὃν μετακινεῖται, μεταφέρει· πλὴν εἰ μὴ χυλῷ κρομμύων ἀλιφῇ, ὡς τοῖς φυσικοῖς δοκεῖ. αὖθις δὲ τραγείῳ αἵματι χριόμενος ὁ μαγνήτης τὴν ἑλκτικὴν ἀναδέχεται δύναμιν.

12. περὶ τοῦ πεπέρεως ὁ Μάξιμός φησι "φυτόν ἐστι πρῶτον μὲν ἀνάκανθον, φυτουργούμενον δὲ ὡς ἄμπελος ἀναδενδρὰς ἢ ὑπὸ χάρακα, φέρον δὲ τὸν καρπὸν βοτρυώδη ὅμοιον τερεβίνθῳ, τὸ δὲ φύλλον κισσοειδές, ὑπόμακρον. φυτευόμενον δὲ τριετὲς ἄρχεται καρποφορεῖν, θνήσκει δὲ ὀκταετές. τρυγηθὲν δὲ οὐ φρυγόμενον μελαίνεται, ἀλλ' ἐκ τοῦ ἐν τῷ ἡλίῳ διατίθεσθαι, ὅθεν συμβαίνει τὸ σκιόψυκτον λευκὸν διαμένειν."

13. Τῇ πρὸ δεκαοκτὼ καλανδῶν Φεβρουαρίων ἀνεμομαp. 65 χίαν ὁ Βάρρων λέγει γίνεσθαι, Δημόκριτος δὲ τὸν λίβα μετὰ ὄμβρου φησὶ γίνεσθαι.

οἱ φιλόσοφοί φασι Διοσκόρους εἶναι τὸ ὑπὸ γῆν καὶ ὑπὲρ γῆν ἡμισφαίριον· τελευτῶσι δὲ ἀμοιβαδὸν μυθικῶς οἱονεὶ ὑπὸ

4 χαλάζῃ apud S. 8 ὃν Roetherus: apud S ὃ 9 εἰ μὴ — ἀλιφῇ] libri εἶκει — ἀλοιφῇ. 17 ὅθεν om P.

etabant; septimo autem hiemem omnino (frigidus enim Saturnus) fertilitatemque quam maximam, quandoquidem praeses frugum ille esse putatur, morbosque et pericula et ventos aestate, grandinisque impetum circa Cancrum, et rumorem rebus insperatum augurabantur.

11. Simile autem vi quadam ferrum esse magneti facile est ad intelligendum: effossum enim ex eo ferrum nihilo minus ex alio lapide effossum ferrum, ad quod transmovetur, alio transfert, at vero cedit unguento ex caeparum succo confecto, ut physicis videtur: rursus autem cruore hircino si ungitur magnes, attrahendi vim recipit.

12. De pipere Maximus dicit "Arbor est primum non aculeata, quae colitur ut vitis, ad alias arbores alligata vel sub palo, et fructum fert racemosum similiter ac terebinthus; folium est hederae simile, oblongum; si autem seritur, post triennium fructus ferre incipit, octavo autem anno moritur; decerptum autem piper non torrendo nigrum fit, sed ponendo in sole, unde fit ut illud, quod in umbra siccatum est, maneat album."

13. A. d. 18 kalendas Februarias ventorum pugnam Varro ait fieri, Democritus autem Africum cum pluvia ait exoriri.

Philosophi Dioscuros dicunt esse terrae hemisphaerium inferius atque

τοὺς ἀντίποδας ἐξ ἀμοιβῆς φερόμενοι. οἱ δὲ περὶ Ἐπιμενίδην ἄρρενα καὶ θήλειαν ἐμύθευσαν τοὺς Διοσκόρους, τὸν μὲν αἰῶνα ὥσπερ μονάδα, τὴν δὲ φύσιν ὡς δυάδα καλέσαντες· ἐκ γὰρ μονάδος καὶ δυάδος ὁ πᾶς ζωογονικὸς καὶ ψυχογονικὸς ἐξεβλάστησεν ἀριθμός.

ἱστέον δὲ κατὰ ταύτην τὴν ἡμέραν τοὺς ἐρίφους δύεσθαι καὶ τροπὴν γίνεσθαι κατὰ Φίλιππον.

14. Πρὸ δεκαπέντε καλανδῶν Φεβρουαρίων ὁ Δημόκριτος λέγει δύεσθαι τὸν δελφῖνα καὶ τροπὴν ὡς ἐπὶ πολὺ γίνεσθαι. πρὸ δεκατριῶν καλανδῶν Φεβρουαρίων ὁ μὲν Εὐκτήμων τὸν καρκῖνον δύεσθαι, ὁ δὲ Κάλλιππος τὸν ὑδροχόον ἀνίσχειν λέγει (ὃν Δευκαλίωνα Ἵππαρχος καλεῖ) βήσσαις καὶ χαράδραις τῶν ὀρῶν. πρὸ δεκαδύο καλανδῶν Φεβρουαρίων Εὔδοξος τὸν ὑδροχόον ἀνίσχειν λέγει. πρὸ δεκαμιᾶς καλανδῶν Φεβρουαρίων τὸν ἥλιον ἐν ὑδροχόῳ γενέσθαι ὁ Καῖσαρ λέγει, ὁ δὲ Εὔδοξος ἀνίσχειν αὐτὸν καὶ βροχὰς σημαίνειν. τῇ δὲ πρὸ δέκα καλανδῶν Φεβρουαρίων ὁ Δημόκριτος ἄνεμον λίβα πνεῦσαι λέγει.

15. τὸν Δομετιανὸν δεσπότην ἐκάλουν, ἀλλ' οὐ βασιλέα, διὰ τὸ τυραννικὸν αὐτοῦ.

16. τὴν Ἥραν ἔνιοι τῶν φυσικῶν τὸ ὕδωρ εἶναι ἀξιοῦσι, p. 66
τὸν δὲ Δία τὸ πῦρ, μίξει δὲ ὑγρότητος τίκτεσθαι τοὺς καρπούς. ἀλλὰ καὶ σελήνην αὐτὴν θεολογοῦσιν οἷα ἐπὶ τῆς ὑγρᾶς οὐσίας τεταγμένην. καὶ τὸν Ἄρεα ἐξ αὐτῆς τεχθῆναι λέγουσιν ἀντὶ τοῦ

2 ἐμυθεύσαντο P.

superius; moriuntur autem alternis ex fabula, velut sub antipodas per vices feruntur. Epimenides autem marem et feminam esse Dioscuros per fabulam docuit, vocato hoc aevo, tanquam monade, illa natura, velut dyade: ex monade enim ac dyade omnis animantium animarumque generationem efficiens numerus natus est.

sciendum autem hoc die Haedos occidere et conversionem fieri auctore Philippo.

14. A. d. 15 kalendas Februarias Democritus ait occidere Delphina et conversionem ut plurimum fieri. a. d. 13 kalendas Februarias Euctemon Cancrum occidere, Callippus autem Aquarium oriri ait (quem Deucalionem Hipparchus dicit) convallibus et faucibus montium. a. 12 kal. Febr. Eudoxus Aquarium oriri ait. a. 11 kal. Febr. solem in Aquario esse Caesar ait, Eudoxus autem oriri eum et pluvias significare. a. 10 autem kal. Febr. Democritus Africum ventum flare dicit.

15. Domitianum dominum vocabant (neque vero regem) propter ipsius ingenium tyrannicum.

16. Iunonem nonnulli physicorum aquam esse censent, Iovem ignem; mixtione autem humoris nasci fructus. verum etiam lunam illam esse iuxta theologium aiunt, utpote supra humidam substantiam constitutam.

ταῖς συνθλίψεσι τῶν νεφελῶν τὸ ἀέριον καὶ δραστικὸν πῦρ. καὶ ταῦνα τὸν ὄρνιθα τοῖς ἱεροῖς τῆς Ἥρας οἱ φυσικοὶ διδόασιν οἱονεί, τὸν ἀστερωπὸν ἀέρα ἤτοι οὐρανόν.

17. οἱ μὲν Ἀθηνᾶν τὴν ψυχὴν εἶπον, τριτογένειαν δὲ αὐτὴν διὰ τὸ τρεῖς εἶναι τὰς ἐνεργείας τῆς ψυχῆς· οἱ δὲ Ἀθηνᾶν τὸν ἀέρα, τριτογένειαν δὲ αὐτὴν διὰ τὸ τρισὶ μεταβολαῖς ἀλλοιοῦσθαι τὸν ἀέρα, εἰς ἔαρ δηλονότι θέρος τε καὶ χειμῶνα, γλαυκῶπιν δὲ διὰ τὸ τὴν τοῦ ἀέρος ὄψιν ἔγγλαυκον εἶναι. Περσέα δὲ τὸν ἥλιον καὶ Γοργόνα τὴν ἡμέραν ἐκ τοῦ τάχους οἷον εἰπεῖν, ὅτι διὰ τοῦ ἀέρος ὁ ἥλιος ἀποτρέχων ἀποτέμνει τὰς ἡμέρας, ὑπὸ τῆς Ἀθηνᾶς οἱονεὶ τῆς προνοίας τὴν ἅρπην (ἀντὶ τῆς ὀξύτητος) λαβών· καὶ διὰ τοῦτο ἐν τοῖς ὡρολογίοις ἔθος ἐγγλύφεσθαι Γοργόνα ἀντὶ τοῦ τὴν ἡμέραν.

ὑγεία ἐστὶν ἡ τῶν ἐναντίων ποιοτήτων κατὰ τὸν σωστικὸν λόγον ἐπικρατοῦσα δύναμις.

p. 67 18. Οὔλπιος ἐκαλεῖτο ὁ Τραϊανὸς κατὰ τὴν τοῦ πατρὸς προσηγορίαν, κρινῖτον δὲ αὐτὸν οἱονεὶ εὐπλόκαμον τοῖς Ῥωμαίοις ἐδόκει καλεῖν διὰ τὴν περὶ τὰς τῆς κεφαλῆς αὐτοῦ τρίχας σπουδήν. καὶ τὸ μὲν σῶμα ἦν βραχύς, τὰ δ' ἄλλα ἀγαθὸς τὸν τρόπον ἐν συνασκήσει ὅπλων τε καὶ γυμνασίᾳ σώματος, οὐκ εὐγενοῦς τυγχάνων φαμιλίας· τριβοῦνος γὰρ ἦν πρότερον ἤγουν φύλαρχος. συναισθανόμενος δὲ ὡς ἐραστής ἐστιν ὁ Νερβᾶς ὁ καλούμενος τοῦ ὄντος αὐτῷ προαστείου (καὶ γὰρ ὅμοροι μᾶλλον περὶ τὴν κτῆσιν

5 διὰ τὸ — vulgo om 6 αὐτὴν om P. 7 δῆλον vulgo. 8 τὸ 10 ἀπὸ? 22 νερούας τὸ κεφάλαιον τοῦ P.

et Martem ex ea natum dicunt, pro compressionibus nubium ignem aërium atque efficacem; et pavonem avem sacris Iunonis physici attribuunt, velut stellis distinctum aërem, id est caelum.

17. Alii Minervam animam dixere, Tritoniam autem ipsam propterea quod tres sunt animi facultates; alii Minervam aërem, Tritoniam autem ipsam, quod tribus mutationibus variatur aër, in ver videlicet atque aestatem hiememque; caesiis oculis praeditam propterea quod aëris facies caerulea est. Perseum autem solem et Gorgonem diem, ex velocitate, ut dicat aliquis, quoniam per aërem decurrens sol abscindit dies, postquam a Minerva (velut providentia) falcem (pro velocitate) accepit; quam ob causam in horologiis Gorgo insculpi solet, pro dies. —

Sanitas est contrariarum qualitatum secundum rationem servatricem praevalens vis.

18. Ulpius nominabatur Traianus ex patris nomine; Crinitum autem eum (tanquam pulchram comam habentem) Romanis videbatur nominare propter curam circa capitis ipsius crines. et corpore fuit brevi, ceterum bonis moribus in armorum usu atque exercitatione, cum non nobili ortus esset familia: tribunus enim ante fuerat. sentiens autem Nervam, qui nominabatur, suburbani, quod ipsi erat, esse amantem (etenim proximi

ἀλλήλων ἐτύγχανον), συγγράψας αὐτίκα δωρεᾶς γραμματεῖον ἐπὶ τῷ προαστείῳ τῷ Νερβᾷ προσεκόμισεν· ὁ δὲ ἀγασθεὶς τὸν Τραϊανὸν εἰς υἱοθεσίαν ἔλαβεν. ἔνθα γίνεται αὐτῷ πάροδος ἐπὶ τὴν βασιλείαν, ἐπεὶ θᾶττον ὁ Νερβᾶς ἐτελεύτα. αἰσθόμενος δὲ ὅτι διεβάλλετο ἐπὶ οἰνοφλυγίᾳ, παντελῶς οἰνοποσίας ἀπείχετο. τὸ Ἀδραμύττειον, πόλιν Ἀσίας, ὁ Τραϊανὸς ἔκτισεν, ἀπὸ Ἀδραμύττου τοῦ ἀδελφοῦ Κροίσου· ὄνομα δὲ αὐτῇ τὸ πάλαι Ὑποπλάκιοι Θῆβαι.

19. ὅτι μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει κύριος. πλήρης εἰμί· ὁλοκαυτώματα κριῶν καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι· τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε. ἐὰν φέρητε σεμίδαλιν, μάταιον θυμίαμα, βδέλυγμά μοί ἐστι. τὰς νουμηνίας ὑμῶν καὶ τὰ σάββατα καὶ ἡμέραν μεγάλην [κλητὴν] οὐκ ἀνέχομαι· νηστείαν καὶ ἀργίαν καὶ τὰς p. 68
νουμηνίας ὑμῶν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου. ἐγενήθητέ μοι εἰς πλησμονήν.

ΦΕΒΡΟΤΑΡΙΟΣ.

20. Τῷ Φιβρουαρίῳ μηνὶ ἀπὸ Φιβρούας, θεᾶς οὕτω προσαγορευομένης, τὸ ὄνομα γέγονεν· Φιβρούαν δὲ ἔφορον καθαρτικὴν τῶν πραγμάτων οἱ Ῥωμαῖοι παρέλαβον. Ἀνύσιος δὲ ἐν τῷ

5 παντελοῦς vulgo 6 Ἀδραμύττειον et mox Ἀδραμύττου Hasius: libri Ἀτραμύττειον et Ἀτραμύττου. 9 Ti Iesaias 1 11. 10 εἰμὶ ὁλοκαυτωμάτων P. 14 σάββατα μισεῖ ἡ ψυχή μου καὶ P.

inter se circa possessionem erant), scriptum statim donationis libellum pro suburbano ad Nervam attulit; qui admiratus Traianum filium adoptavit. inde fit ei aditus ad regnum, postquam brevi Nerva defunctus est vita. cum autem se argui sensisset vinolentiae, omni vini potione abstinuit. Adramytteum, urbem Asiae Traianus condidit, ab Adramytto Croesi fratre nuncupatum: nomen autem illi antiquitus Hypoplaciae Thebae.

19. Quo mihi multitudinem victimarum vestrarum, dicit dominus: plenus sum; holocausta arietum et adipem agnorum et sanguinem vitulorum et hircorum nolui, nec cum veneritis ante conspectum meum: quis enim quaesivit haec de manibus vestris? ambulare in atriis meis ne pergatis. si offeratis similam, sacrificium frustra incensum abominatio est mihi. neomenias vestras et sabbata et diem magnum [qui dictus est] non fero: ieiunium vestrum et cessationem ab operibus et neomenias vestras odit anima mea. facti mihi estis molesti.

FEBRUARIUS.

20. Februario mensi a Februa, dea quae ita vocatur, nomen factum est: Februam autem praesidem rerum purgandi vim habentem Romani acceperant. Anysius autem in libro De mensibus Februum inferum esse

περὶ μηνῶν Φεβρουὸν τὸν καταχθόνιον εἶναι τῇ Θούσκων φωνῇ λέγει, καὶ θεραπεύεσθαι πρὸς τῶν Λουπερκῶν ὑπὲρ ἐπιδόσεως τῶν καρπῶν. ὁ δὲ Λαβεὼν ἀπὸ τοῦ πένθους λέγει κληθῆναι τὸν Φεβρουάριον· φέβερ γὰρ παρὰ Ῥωμαίοις τὸ πένθος προσαγορεύεται, κατ' αὐτὸν δὲ τοὺς κατοιχομένους ἐτίμων. ἀλλὰ μὴν καὶ φεβρουᾶρε τὸ καθᾶραι τὰ ποντιφικάλια βιβλία καλεῖ, Φέβρον τὸν Πλούτωνα.

τὸν Φεβρουάριον μῆνα Ἥρᾳ ἀνατεθῆναι ἀξιοῦσι διὰ τὸ τὴν Ἥραν παρὰ τοῖς φυσικοῖς δοκεῖν εἶναι τὸν ὕπτιον ἀέρα· ὁ δὲ καθαρμὸς ἄντικρυς τῷ ἀέρι ἁρμόδιος. οὐ μόνον δὲ Φεβρουάριος ἀλλὰ καὶ Φεβρουάτος λέγεται, διὰ τὸ τὴν τούτου ἔφορον, καὶ Φεβρουάταν καὶ Φεβρουάλεμ, τοῖς ἱεροῖς ἀναφέρεσθαι.

p. 69 21. Οἱ τὴν φυσικὴν ἱστορίαν συγγράφοντές φασι σπέρμα τῇ μήτρᾳ καταβαλλόμενον ἐπὶ μὲν τῆς τρίτης ἡμέρας ἀλλοιοῦσθαι εἰς αἷμα καὶ πρώτην διαζωγραφεῖν τὴν καρδίαν, ἥτις πρώτη μὲν διαπλάττεσθαι τελευταία δὲ ἀποθνήσκειν λέγεται (εἰ γὰρ ἀρχὴ ἀριθμῶν ὁ τρεῖς, περιττὸς δέ ἐστιν ἀριθμός, ἄρα καὶ ἀρχὴ γενέσεως ἐξ αὐτοῦ), ἐπὶ δὲ τῆς τεσσαρακοστῆς εἰς ὄψιν τελείαν καὶ διατύπωσιν ἀποτελεῖσθαι καὶ ἁπλῶς εἰπεῖν τέλειον ἄνθρωπον. καὶ ἐπὶ τοῦ τρίτου μηνὸς ἐγκινεῖσθαι νηχόμενον τῇ μήτρᾳ, ἐπὶ δὲ τοῦ ἐννάτου μηνὸς παντελῶς ἀπαρτίζειν καὶ πρὸς ἔξοδον σπεύδειν. καὶ εἰ μέν ἐστι θῆλυ, κατὰ τὸν ἔννατον, εἰ δὲ κρεῖττον, κατὰ τὸν δέκατον ἀρχόμενον, διὰ τὸ τὸν μὲν ἐννέα ἀριθμόν, θῆλυν ὄντα καὶ σελήνης οἰκεῖον, πρὸς τὴν ὕλην ἀναφέρεσθαι, τὸν δὲ δέκα

11 τὸ add Roetherus. 23 ἐννέα — 24 δέκα] vulgo ἔννατον — δέκατον.

Thuscorum lingua ait, et coli a Lupercis pro fructuum incremento. Labeo autem a luctu ait nominatum Februarium: feber enim apud Romanos luctus dicitur, illo autem mense mortuos (i. e. Manes) colebant. verum etiam februare purgare libri pontificales vocant, Februum Plutonem.

Februarium mensem Iunoni consecratum putant, propterea quod Iuno physicis videtur esse aër supinus (i. e. inferior): purgatio autem plane aëri convenit. non solum autem Februarius, verum etiam Februatus dicitur, propterea quod huius mensis praeses, et Februata et Februalis, sacris celebratur.

21. Naturalis historiae scriptores aiunt semen, quod in matricem (s. uterum) iniicitur, tertio die mutari in sanguinem, et primum pingere (s. effingere) cor, quod primum quidem formari, postremum autem emori dicitur (si enim principium numerorum ternarius numerus est, impar autem est numerus, etiam principium generationis ex ipso fit); quadragesimo autem in speciem perfectam ac formam perfici, et ut paucis dicam, perfectum hominem. et tertio mense moveri natantem in utero, nono autem mense omnino absolvi atque ad exitum properare. atque si feminei sexus (partus) est, nono, si autem praestantior, ineunte decimo, propterea quod nonarius numerus, qui femineus est et Lunae proprius, ad materiam re-

παντέλειον εἶναι καὶ ἄρρενα. θῆλυ δὲ καὶ ἄρρεν γίνεται κατὰ τὴν τοῦ θερμοῦ ἐπικράτειαν· πλεονάζοντος μὲν τοῦ κατὰ τὸ σπέρμα θερμοῦ, ἅτε τῆς πήξεως ταχείας γινομένης, ἀρρενοῦταί τε, καὶ καταγωνιζομένου θηλύνεται, βράδιον δὲ πηγνύμενον βράδιον καὶ μορφοῦται. ὅτι δὲ ἀληθὴς ὁ λόγος, τὰ μὲν ἄρρενα καὶ τῶν τεσσαράκονθ' ἡμερῶν ἐντὸς ἐκτιτρωσκόμενα μεμορφωμένα προπίπτει, τὰ δὲ θήλεα καὶ μετὰ τὰς τεσσαράκοντα σαρκώδη τε p. 70 καὶ ἀδιατύπωτα. μετὰ δὲ τὴν κύησιν ἐπὶ τῆς τρίτης τεχθὲν ἀποσπαργανοῦσθαι τὸ βρέφος φασίν, ἐπὶ δὲ τῆς ἐννάτης ἰσχυροποιεῖσθαι καὶ ἀφὴν ὑπομένειν, ἐπὶ δὲ τῆς τεσσαρακοστῆς προσλαμβάνειν τὸ γελαστικὸν καὶ ἄρχεσθαι ἐπιγινώσκον τὴν μητέρα. ἐπὶ δὲ τῆς ἀναστοιχειώσεως τοὺς ἴσους ἀριθμοὺς αὖθις ἐξ ὑποστροφῆς παραφυλάττειν τὴν φύσιν, καὶ δι' ὧν συνέστη, δι' αὐτῶν αὖθις ἀναλύεσθαι. τελευτήσαντος γοῦν ἀνθρώπου ἐπὶ μὲν τῆς τρίτης ἀλλοιοῦται παντελῶς καὶ τὴν ἐπίγνωσιν τῆς ὄψεως διαπόλλυσι τὸ σῶμα, ἐπὶ δὲ τῆς ἐννάτης διαρρεῖ σύμπαν, ἔτι σωζομένης αὐτῷ τῆς καρδίας· ἐπὶ δὲ τῆς τεσσαρακοστῆς καὶ αὕτη συναπόλλυται τῷ παντί. διὰ τοῦτο τρίτην ἐννάτην καὶ τεσσαρακοστὴν ἐπὶ τῶν τεθνηκότων φυλάττουσιν οἱ ἐναγίζοντες αὐτοῖς, τῆς τέ ποτε συστάσεως τῆς τε μετ' ἐκείνην ἐπιδόσεως καὶ τὸ δὴ πέρας ἀναλύσεως ἐπιμιμνησκόμενοι.

1 ἄρρην apud S 4 καταγωνιζομένου Roetherus: apud S καταγωνιζόμενον. 6 τεσσαρακονθημέρων vulgo. ἐκτιτρωσκομένως libri: an ἐκτιτρωσκόμενα ὅμως? 11 ἐπιγινώσκειν P. 21 ἐπιμιμνησκόμενα apud S.

fertur, decimus autem perfectus est ac masculus. feminei autem et masculini generis fit, prout caloris maior minorve vis est: praevalente quidem eo calore qui in semine est, quippe cum coagulatio acceleretur, masculus redditur; qui ubi supprimitur, femineus fit. tardius autem quod coagulatur, tardius etiam formatur. verum autem a nobis dici (hoc indicio est), quod masculi partus etiam intra quadraginta dies, si per abortum expelluntur, formati excidunt, feminei autem etiam post quadraginta dies carnei et informes. post graviditatem autem tertio die prognatum infantem fasciis exsolvi dicunt, nono autem confirmari et tactum sustinere, quadragesimo autem assumere facultatem ridendi et incipere matrem agnoscere. in dissolutione autem eosdem rursus numeros retroversus sequi naturam, et quibus constet, iisdem rursus dissolvi. tertio igitur postquam mortuus homo est die corpus omnino commutatur, et facies eius agnosci amplius non potest; nono diffluit universum, cum ei adhuc servetur cor; quadragesimo autem hoc quoque una cum universo conficitur. propterea tertium nonum et quadragesimum in mortuis sequuntur diem qui iis parentant, et pristini ortus et eum secuti incrementi et vero postremo dissolutionis memores.

22. ὁ Κάμιλλος ὥρισεν ἀποκείρειν τοὺς πώγωνας ἐπ᾽ ἄκρου, ὡς μὴ δράττεσθαι αὐτῶν τοὺς ἐναντίους, διὰ τὴν συμβᾶσαν πρότερον μάχην, ἐν ᾗ εἶλκον ἀλλήλους ἔκ τε τῶν λοφίων τῶν περικεφαλαιῶν καὶ ἐξ αὐτῶν μέντοι τῶν τοῦ πώγωνος τριχῶν.

23. ἐν τῇ πρὸς τὸν δῆμον ὡρατίωνι, οἱονεὶ προσφωνήσει.

p. 71 24. εἰδοῖς Φεβρουαρίαις. ἀπὸ ταύτης τῆς ἡμέρας ἀπὸ ὥρας ἕκτης διὰ τὰς τῶν κατοιχομένων χοὰς τὰ ἱερὰ κατησφαλίζονιο, καὶ οἱ ἄρχοντες ἐν σχήματι ἰδιωτῶν προῆσαν ἄχρι τῆς πρὸ ὀκτὼ καλανδῶν Μαρτίων. αἱ δὲ σώφρονες γυναῖκες (ματρώνας δὲ αὐτὰς οἱ Ῥωμαῖοι καλοῦσιν, οἱ δὲ Ἕλληνες οἰκοδεσποίνας) τοσοῦτον τῆς αἰδοῦς ἐφρόντιζον ὡς μηδὲ ταῖς πολλαῖς τῶν γυναικῶν ὁμιλεῖν, ἀλλὰ καὶ τόπους τινὰς ἡσυχίους ἐν τοῖς βαλανείοις ἔξω τοῦ πλήθους ἑαυταῖς ἀφορίζειν, οὓς ἔτι καὶ νῦν ματρωνίκια καλοῦσιν. αὗται τοίνυν αἱ σώφρονες τοῖς Βρούτου δαίμοσιν ἐνήγιζον δι᾽ αἰτίαν τοιαύτην. Λουκρητία γυνή τις Ῥωμαία περιτῶς εὐπρεπής τε καὶ σώφρων λέγεται βιασθῆναί ποτε ὑπὸ Ταρκυνίου τοῦ τελευταίου τῶν ῥηγῶν ἢ τοῦ αὐτοῦ παιδός. σούπερβον δὲ αὐτὸν ἡ ἱστορία καλεῖ οἱονεὶ ἀλαζόνα· πρῶτος γὰρ αὐτὸς ὄργανα ποινῶν καὶ μέταλλα ἐξεῦρεν, ὅπως δὲ μὴ μαλάττοιτο τοῖς αἰκισμοῖς τῶν τιμωρουμένων, βοτάνην αὐτοῖς ἐπεδίδου ἡ γέλωτα ἐνεποίει παρὰ σκοπὸν τοῖς πάσχουσι· γίνεται δὲ καὶ νῦν ἐπὶ Σαρδοῦς τῆς νήσου ἡ τοιαύτη βοτάνη, ὅθεν καὶ Σαρδόνιον γέλωτά φασιν. ἔνθεν τὸν Ταρκύνιον σούπερβον ἀντὶ τοῦ ἀπηνῆ καὶ

17 cf. Suidas v. *Σούπερβος*.

22. Camillus instituit ut raderentur barbae summae, ne arriperent eas hostes, propter pugnam antea factam, in qua trahebant inter se ex cristis galearum et vero etiam ex ipsis barbae pilis.

23. In oratione ad populum, tanquam *προσφωνήσει*.

24. Idibus Februariis. ab hoc inde die, ab hora sexta, propter mortuorum libationes sacra instituebantur, et magistratus in plebeiorum habitu prodibant usque ad a. d. 8 kalendas Martias. feminae autem honestae (matronas eas Romani vocant, Graeci *οἰκοδεσποίνας*) usque adeo curae habebant pudicitiam, ut neque cum feminarum multitudine versarentur, verum etiam loca quaedam a turba vacua in balneis extra multitudinem sibi secernerent, quae etiam nunc matronicia vocant. hae igitur feminae honestae Bruti manibus parentabant hanc ob causam. Lucretiae feminae cuidam Romanae eximie formosae atque honestae vis olim illata esse dicitur a Tarquinio ultimo regum aut ab eius filio. Superbum autem eum historia vocat, velut *ἀλαζόνα:* primus enim ille instrumenta poenarum et metalla invenit; ut autem ne molliretur contumeliis eorum qui puniebantur, herbam iis dabat, quae risum movebat invitis iis qui afficiebantur poena (nascitur autem nunc quoque in Sardinia insula eiusmodi herba, unde et Sardonium risum dicunt). inde Superbum Tarqui-

Digitized by Google

ἐμὸν ἐκάλουν· οὐδὲν δὲ ἂν τέκοι μῖσος ὡς ταῦτα. ἐκείνη τοίνυν ἡ Λουκρητία κρείττονα τὴν σωφροσύνην τῆς βασιλικῆς ὁμιλίας ἡγησαμένη, καὶ οὐκ αὐτῆς μόνης ἀλλὰ καὶ ζωῆς αὐτῆς, μεταπεμψαμένη τοὺς ἑαυτῆς ἀρρησαμένη τε τήν, εἴγε ἄρα ἐβούλετο, λανθάνειν δυναμένην ἁμαρτίαν, ἑαυτὴν παρόντων τῶν τῆς σωφροσύνης μαρτύρων ἀπέσφαξε. κινεῖται οὖν ὁ δῆμος πρὸς τοῦτο, καὶ τὸ μῖσος τοῦ τυράννου προσεποιεῖτο — — ὡς ὀρωρὼς καιροῦ ἡγεῖται τοῦ Ῥωμαϊκοῦ δήμου καὶ παρωθεῖται τῆς βασιλείας τὸν Ταρκύνιον. ἐτιμήθη οὖν, ὡς ἔλεγομεν, παρὰ ταῖς Ῥωμαίων γυναιξὶν ὁ Βροῦτος μετὰ θάνατον δημοσίῳ πένθει οἷα ἔκδικος τῆς σωφροσύνης· καὶ Βρούτας ἑαυτὰς ἠξίουν ὀνομάζεσθαι πρὸς τιμὴν Βρούτου. p. 72

25. βέρναχλον τὸν δημόσιον οἰκέτην οἱ Ῥωμαῖοι καλοῦσιν. ἐπειδὴ εἰς τρεῖς μοίρας ὁ Ῥωμαϊκὸς διῄρητο δῆμος, τρίβους ἡ φυλὴ παρ' αὐτοῖς ὠνομάσθη καὶ τριβοῦνοι οἱ δήμαρχοι. φροντὶς δὲ ἦν αὐτοῖς τῆς ἱπποδρομίας, ὡς ἐπιτελοῖτο προσηκόντως· καὶ διὰ τοῦτο τριβοῦνος ἔτι καὶ νῦν ἡγεῖται τῶν βολουπτάτων (ἀντὶ τοῦ τῶν τέρψεων). τριῶν ἁρμάτων, καὶ οὐ τεττάρων, ἁμιλλωμένων ἐπὶ τῆς ἱπποδρομίας, οἱ μὲν ῥουσσάτοι, οἱονεὶ ἐρυθροί, οἱ δὲ ἀλβάτοι οἱονεὶ λευκοί, οἱ δὲ βίριδες οἱονεὶ ἀνθηροί· πρασίνους δὲ αὐτοὺς νῦν προσαγορεύουσι. καὶ οἱ μὲν ῥουσσάτοι ἠξίουν τοῦ Ἄρεως εἶναι, οἱ δὲ λευκοὶ τοῦ Διός, οἱ δὲ ἀνθηροὶ τῆς Ἀφροδίτης. ὕστερον δὲ καὶ τὸ βένετον· βενέτους δὲ αὐτοὺς p. 73

17 βουλουπάτων V.

nium, pro saevum et crudelem, vocabant. nihil autem par genuerit odium atque haec. illa igitur Lucretia honestatem regia familiaritate praestantiorem rata, nec illa sola verum etiam vita ipsa, arcessitis suis atque commemorato suo delicto, quod, si quidem volebat, delitescere poterat, se ipsa, praesentibus pudicitiae testibus, interfecit. itaque movetur populus hoc facto, et odium tyranni simulabat — — qui arrepta occasione populo Romano se ducem praebet, et regno expellit Tarquinium. colebatur igitur, ut diximus, a Romanorum feminis Brutus post mortem publico luctu, tanquam vindex pudicitiae; et Brutas sese volebant nominari in honorem Bruti.

25. Vernaculum servum publicum Romani vocant. cum in tres partes populus Romanus distributus esset, tribus (Graecorum) φυλή apud eos dicta est, et tribuni δήμαρχοι. curabant autem certamen equestre, ut rite perageretur; atque hanc ob causam tribunus etiam nunc praeest voluptatibus. tribus curribus, neque quattuor, certantibus in certamine equestri, pars erant russati, pars albati, alii virides; porraceos autem nunc appellant. et russati volebant Martis esse, albi Iovis, floridi autem Veneris. postea vero venetus quoque (currus accedebat): venetos autem eos patrio sermone vocant, (quasi) ferreo colore tinctos (s. ferrugineos):

ἐπιχωρίως καλοῦσι — σιδηροβάφους· τὸ γὰρ παρ' ἡμῖν λεγόμενον καλλάϊνον χρῶμα Ῥωμαῖοι βένετον προσαγορεύουσιν. οἱ Γάλλοι τοίνυν ἴδιόν τινα τόπον ἐν τῷ ἱππικῷ θεωροῦντες ἐπλήρουν· καὶ Βενέτους αὐτοὺς ἐκ τῶν ἐσθημάτων ὠνόμαζον, καὶ Βενετίαν τὴν χώραν, διὰ τὸ μηδένα ποτὲ κατ' ἐκείνην εὐπορῆσαι στολῆς. διὰ δὲ τὰ τέσσαρα στοιχεῖα ἐποίησαν τέσσαρας τοὺς ἀγῶνας· τὸ ἀνθηρὸν ἀντὶ πυρός, εἰς τὴν τῆς Ῥώμης τιμήν (Φλῶραν δὲ αὐτὴν ὠνόμαζον, ὥσπερ ἡμεῖς Ἄνθουσαν), δεύτερον τὸ λευκὸν διὰ τὸν ἀέρα, τρίτην τάξιν Ἄρεϊ, καὶ τετάρτην, ἄρτι προσληφθεῖσαν, Κρόνῳ ἢ Ποσειδῶνι· ἑκατέροις γὰρ τὸ κυανοῦν προσνενέμηται.

26. καθάπερ ἐν τῇ μήτρᾳ τεχθὲν τὸ βρέφος οὐ δεῖται ἑτέρας τροφῆς, ἀλλ' ἐξ αἵματος εἰλικρινοῦς τρέφεται, οὕτως οὐδὲ τοῖς τελευτήσασι κατὰ τὸν πρότερον, ὡς ἐλέγομεν, ἐνιαυτὸν ἐπεχόαζον, ὥσπερ ἐν μήτρᾳ παρὰ τῇ φύσει λανθάνουσιν. αἱ γὰρ
p. 74 χοαὶ παραψυχή τις εἰσεφέρετο τοῖς εἰδώλοις τῶν τετελευτηκότων, γάλα αἷμα καὶ οἶνος καὶ σεμίδαλις καὶ κόγχος καὶ ἕτερά τινα. χοὰς δὲ αὐτὰς ὠνόμαζον ἐκ τοῦ ἐπεκχεῖσθαι τοῖς τάφοις. σώζεται δὲ καὶ νῦν ἴχνος· ἐν γὰρ τοῖς ἱεροῖς ἄρτον καὶ οἶνον προσφέρομεν.

MARTIOS.

27. *Οἱ μυθικοί φασιν, ὁ Ζεὺς συνελθὼν τῇ ἀδελφῇ Ἥρᾳ ἔτεκεν Ἄρεα, οἱονεὶ ὁ αἰθὴρ συναπτόμενος τῷ ἀέρι ἀποθλίβει*

1 ἐπιχωρίους apud S.

qui enim apud nos καλλάϊνος dicitur color, eum Romani venetum appellant. Galli igitur proprium locum in certamine equestri spectantes complebant; et Venetos eos ex vestitu nominabant, et Venetiam regionem, propterea quod nemo unquam in illa copiam habet vestimenti. ob quattuor autem elementa quattuor fecerunt certamina, floridum pro igni, in honorem Romae (Floram autem eam vocabant, ut nos Ἄνθουσαν); secundum album, propter aërem; tertiam factionem Marti, et quartam, nuper additam, Saturno aut Neptuno: utrique enim caeruleus color dicatus est.

26. Quemadmodum in utero dum est infans non indiget alio nutrimento, sed ex sanguine puro nutritur, ita neque defunctis primo, ut diximus, anno inferias afferebant, quasi in utero Naturae latentibus. inferiae enim tanquam aliquod solatium afferebantur Manibus defunctorum, lac, sanguis et vinum atque similago et concha et alia quaedam. χοὰς autem eas vocabant ἐκ τοῦ ἐπικχεῖσθαι (i. e. ab insuper effundendo). exstat autem etiam nunc vestigium: in sacris enim panem et vinum sumimus.

MARTIUS.

27. Mythici tradunt: Iuppiter ex concubitu cum Iunone sorore genuit Martem, velut aether cum aëre coniunctus excutit aëreum ignem.

τὸ ἀέριον πῦρ. οἱ δὲ φυσικοὶ Ἄρεα μὲν οὐχ ὡς οἱ γραμματικῶν παῖδες ἐκ τῆς ἄρσεως καὶ ἀναιρέσεως αὐτὸν ὀνομασθῆναί φασιν, ἀλλ' ἐκ τοῦ ἀρήγειν καὶ συλλαμβάνειν τοῖς κατὰ βίαν καὶ μάχην συμπτώμασιν, ἢ ὡς ἀρχικὸν καὶ μεταβολῆς αἴτιον (διδόασι δὲ αὐτῷ ὕψωμα τὸν αἰγόκερων)· ἢ Ἄρεα τὸν παρ' ἀρρένων καὶ μόνων τιμώμενον, ἢ ἐκ τοῦ μάρνασθαι. ὁ Ἄρης χαλκοῦ καὶ σιδήρου εὑρετὴς ἐγένετο. τὴν δὲ Ἀφροδίτην οἱ φυσικοὶ ποτὲ μὲν αὐτῷ p. 75
ποτὲ δὲ Ἡφαίστῳ συνάπτουσιν, οἱονεὶ τῇ ὑγρᾷ οὐσίᾳ τὴν πυρώδη, ἐξ ὑγροῦ δήπουθεν καὶ θερμοῦ προϊέναι τὴν γένεσιν αἰνιττόμενοι· ἢ καὶ ἐπειδὴ κοινὸς αὐτοῖς ὁ σκορπίος, Ἄρεος μὲν τοῦ κέντρου, τῶν δὲ χηλῶν Ἀφροδίτης. ἀποστρέφεται δὲ ὥσπερ κατὰ τὸν μῦθον Ἀφροδίτη τὸν Ἄρην, ἐπειδὴ ὁ χειμὼν ἀκολουθεῖ τῷ τοῦ Ἄρεος ἰδίῳ καταστήματι, ἡ δὲ Ἀφροδίτη εὔκρατος. ὥστε ἐναντίως ἔχουσι πρὸς ἑαυτούς, ἀλλ' οὐ καθόλου· καὶ γὰρ ἀλλήλοις κατὰ τὸ τοῦ καιροῦ προσιχὲς συνάπτεσθαι δοκοῦσι· μετὰ γὰρ χειμῶνα τὸ ἔαρ ἀναφέρεται. θεραπεύεται δὲ ὁ Ἄρης ἤχοις ὅπλων καὶ σάλπιγξι, καὶ διὰ τοῦτο αὐτῷ τὴν πρώτην ἑορτὴν ἐπετέλουν οἱ Ῥωμαῖοι, καλοῦντες αὐτὴν ἁρμιλούστριον, οἱονεὶ καθαρμὸν ὅπλων, μὴ χείματος, μὴ ἑτέρας τινὸς περιστάσεως εἰργούσης τὴν κίνησιν τῶν ὅπλων ἐπὶ τῷ τοῦ Ἄρεος πεδίῳ. ὄνομα δὲ αὐτῷ κατ' Αἰγυπτίους Πυρόεις, ὅθεν καὶ Ξανθικὸς παρὰ Μακεδόσιν. Ἕλληνες δὲ αὐτόν, ὡς εἴρηται, Ἄρεα ἐκ τῶν πραγμάτων προσηγόρευ-

8 δὲ add Roetherus.

physici vero Martem, non ut Grammaticorum filii, ἐκ τῆς ἄρσεως (i. e. a sublatione) et ἀναιρέσεως (i. e. ab interfectione) eum nominatum dicunt, sed ἐκ τοῦ ἀρήγειν (i. e. a ferendo auxilium) et adiuvando casibus qui sunt in vi ac pugna, vel tanquam ἀρχικόν (i. e. initii efficientem) et mutationis auctorem (assignant autem ei summitatem s. summam stationem Capricornum): vel Ἄρεα eum qui a solis maribus colitur, vel ἐκ τοῦ μάρνασθαι (i. e. a pugnando). Mars aeris et ferri inventor fuit. Venerem autem physici modo cum illo modo cum Vulcano coniungunt, velut cum humida essentia igneam, ex humida videlicet et calida natura prodire generationem obscure significantes: vel etiam quoniam communis inter eos Scorpius est, cum Martis stimulus sit, forcipes autem Veneris. aversatur autem, ut est in fabula, Venus Martem, cum hyems comitetur Martis proprium statum, Venus autem sit bene temperata. itaque contrarii inter se sunt, nec tamen omnino: etenim ex tempestatis continuatione inter se cohaerere videntur; post hiemem enim ver oritur. colitur autem Mars armorum strepitu et tubis, et hanc ob causam ei primas ferias agebant Romani, vocantes eas armilustrium, velut purgationem s. lustrationem armorum, non hieme neque alio casu prohibente armorum tractationem in campo Martio. nomen autem ei apud Aegyptios Πυρόεις, unde et Ξανθικός apud Macedones; Graeci autem eum, ut dictum est, Ἄρεα a rebus appellant. neque enim quis invenerit generalem dei appel-

ον. οὐδὲ γὰρ ἂν τις εὕρῃ κυρίαν θεοῦ προσηγορίαν κατὰ τὸν Ἀπολλόδωρον, ἀλλ' οὐδὲ φύσεως γνώρισμα, ἐπεὶ νῦν μὲν ἄρρενας νῦν δὲ θηλείας τὰς ἰδίας εἰσάγουσιν οἱ φιλοσοφοῦντες· ἀλλ' ἐκ τῶν ἀποτελεσμάτων ὀνομασίας αὐτοῖς ἔθεντο, ἄρρενας μὲν θεοὺς δημιουργικὰς δυνάμεις, θηλείας δὲ τὰς ζωογόνους εἰσάγοντες.

28. ὅρος γάρ ἐστι κακοῦ οὐκ οὐσία ζῶσα καὶ ἔμψυχος, ἀλλὰ διάθεσις ἐν ψυχῇ ἐναντίως ἔχουσα πρὸς ἀρετὴν διὰ τὴν τοῦ καλοῦ ἀπόπτωσιν ταῖς ῥᾳθυμίαις ἐγγινομένην.

p. 76 29. κατὰ δὲ τὴν πρώτην τοῦ Μαρτίου μηνὸς Ἥραν ἐτίμων, οἱονεὶ τὴν σελήνην, διὰ τὴν νεομηνίαν· ἐκήρυττε δὲ ὁ ἱερεὺς χρῆναι γλυκέσι πόμασί τε καὶ σιτίοις χρῆσθαι ἅπαντας πρὸς φυλακὴν ὑγείας, ἐκίνουν δὲ τὰ ὅπλα Ῥωμαῖοι ἐπὶ τῷ τοῦ Ἄρεος πεδίῳ ἢ τεμένει. Ἄρεος δὲ ὁ κύαμος, παρὰ τὸ κύειν αἷμα, ἔχριόν τε τὰς ἀλλήλων ὄψεις ἀντὶ αἵματος τὸ χρῖσμα τοῦ κυάμου λαμβάνοντες, ταύτῃ γε τὸν Ἄρεα θεραπεύοντες. διαφερόντως δὲ παρὰ τοὺς ἄλλους καρποὺς διεγείρει τὰ σώματα πρὸς συνουσίαν ἐσθιόμενος, καὶ ταύτῃ καθέλκει τὰς ψυχὰς ἐπὶ τὴν γένεσιν. ὁ δὲ Ἡρακλείδης φησὶν ὡς εἴ τις τὸν κύαμον ἐν κενῇ θήκῃ ἐμβαλὼν ἀποκρύψει τῇ κόπρῳ ἐπὶ τεττεράκοντα πάσας ἡμέρας, εἰς ὄψιν ἀνθρώπου σεσαρκωμένου μεταβαλόντα τὸν κύαμον εὑρήσει, καὶ διὰ τοῦτο τὸν ποιητὴν φάναι "ἶσόν τοι κυάμους τε φαγεῖν κεφαλάς τε τοκήων." Διογένης δέ φησιν ἀπὸ τῆς αὐτῆς σηπεδόνος

23 αὐτῆς add Roetherus e Porphyr. de vita Pythagorae 44.

lationem, ut docet Apollodorus, verum neque naturae significationem, cum modo masculinas modo femininas notiones introducant philosophi: sed ex effectibus nomina iis indiderunt, tanquam masculos deos vires creatrices s. opifices, femineas autem genitrices introducentes.

28. Finis enim est mali non essentia viva atque animalis, sed constitutio in animo contraria virtuti propter boni deminutionem quae fit in voluptatibus.

29. Primo autem Martii mensis die Iunonem colebant, tanquam Lunam, propter interlunium. edicebat autem sacerdos oportere dulcibus potibus ac cibis uti omnes ad tuendam sanitatem. movebant praeterea arma Romani in campo vel luco Martis. Martis autem faba est, propterea quod sanguine praegnans est; et ungebant inter se facies, pro sanguine unguentum fabae sumentes, colentes equidem hoc modo Martem. eximie autem prae ceteris fructibus, cum estur, corpora ad concubitum incitat atque ita animas ad generationem allicit. Heraclides autem ait, si quis fabam in vacuam cistam iniectam obtexisset stercore quadraginta totos dies, in faciem hominis carne oppleti immutatam eum reperturum fabam, atque hanc ob causam poëtam dicere "perinde sane fabis vesci et capitibus parentum." Diogenes autem ait ex eadem putredine et hominem ex-

ἀνθρώπους συστῆναι καὶ κύαμον βλαστῆσαι. τούτου δὲ φανερὰ ἐπῆγε τεκμήρια· εἰ γάρ τις διατραγὼν κύαμον καὶ τοῖς ὀδοῦσι p. 77
λειώνας ἐν ἀλίῳ τῆς τοῦ ἡλίου βολῆς καταθείη πρὸς ὀλίγον, εἶτα ἀποστὰς ἐπανέλθοι μετ' οὐ πολύ, εὕροι ἂν ὀδωδότα ἀνθρωπείου φόνου· εἰ δὲ καὶ ἀνθοῦντος τοῦ ἄνθους βραχὺ ἐνθείη ἀγγείῳ κεραμείῳ καὶ ἐπίθημα ἐνθεὶς ἐν τῇ γῇ τε κατορύξειε καὶ ἐνενήκοντα παραφυλάξειεν ἡμέρας μετὰ τὸ κατορυχθῆναι, εἶτα μετὰ ταῦτα ὀρύξειε καὶ λάβοι καὶ ἀφέλοι τὸ πῶμα, εὕροι ἂν ἀντὶ τοῦ κυάμου ἢ παιδὸς κεφαλὴν συνεστιῶσαν ἢ γυναικὸς αἰδοῖον. ὥστε ἀφεκτέον κατὰ Πυθαγόραν κυάμου, ὡς καὶ τῶν λεγομένων χρυσολαχάνων, ἐπεὶ καὶ αὐτῶν ἡ γένεσις ἐξ ἐμμήνων γυναικῶν ἐστί. τούτου χάριν εἰς τοὺς τάφους κύαμοι ῥίπτονται ὑπὲρ σωτηρίας ἀνθρώπων. ὅτι δὲ κύαμος ἀπὸ τοῦ αἵματος εἴρηται, δυνατὸν τῇ πείρᾳ παραλαβεῖν· εἴ τις γὰρ αὐτὸν ἀποβρέξει ἐπὶ νυχθήμερον, τὸ ἐν αὐτῷ ὕδωρ λύθρον εὑρήσει.

30. οἱ δὲ μάγγιπες, οἱονεὶ τεχνῖται τοῦ ἀνδραποδώδους ἄρτου, ἔπεμπον τοῖς ἐν λόγῳ Ῥωμύλιας ἀννώνας· οὕτω δὲ ταύτας ἐκάλουν διὰ τὸ κατὰ τὴν ἐννάτην ὥραν ἐπιδίδοσθαι πρὸς τοῦ Ῥωμύλου τὴν τροφὴν τοῖς στρατιώταις.

καὶ γὰρ Οὐαλεντινιανὸς ἀπαίδευτος ἦν καὶ μόνον βαρύμηνις.

1 ἀνθρώπου apud S 2 διατραγὼν P, διατρώγων V cum Porphyrio. 4 ἀποστὰς apud Porphyrium: ἀναστὰς V. 5 γόνου apud Origenem. καὶ add Roetherus e Porphyrio. 6 κατορύξοι — 7 παραφυλάξοι — 8 ὀρύξοι V. ἂν om V. 17 ἄρτους V: corr Hasius coll. de Magistrat. 3 7. Ῥωμύλιας idem pro Ῥωμυλίοις. praestat delere.

stitisse et fabam effloruisse. cuius rei manifesta afferebat argumenta: si quis enim fabam arrodat dentibusque comminutam ferventibus solis radiis paululum exponat, tum post exiguum temporis intervallum redeat, humani cruoris odorem in ea percipiet; praeterea si florem emittente faba paululum aliquid floris in vas fictile immissum et operculo obtectum humi defodiat, atque ita defossum dies nonaginta conservet, tumque effodiat et promat atque operculum tollat, loco fabae aut pueruli caput aut pudendum muliebre enatum reperiet. itaque abstinendum faba ex Pythagorae praecepto, ut et aureis oleribus, quae dicuntur (i. e. atriplice), cum ea quoque ex mulierum menstruationibus generentur. huius rei gratia in sepulcra fabae coniiciuntur pro salute hominum. fabam autem a sanguine dictum esse, experiendo percipi potest: si quis enim eam madefecerit per noctis ac diei spatium, aquam quae in ea est cruorem factam reperiet.

30. Mancipes autem, velut opifices plebeii ac servilis panis, mittebant principibus civitatis Romuleas annonas: ita autem has vocabant propterea quod nona hora a Romulo distribuebatur militibus victus. —

Etenim Valentinianus stupidus fuit et solum iracundus.

31. *τῇ πρὸ τεσσάρων νωνῶν Μαρτίων ἄνεμον βιαιότερον ὡς ἐπίπαν πνεῖν προλέγει ὁ Εὔδοξος.*

p. 78 32. *τῇ πρὸ τριῶν νωνῶν Μαρτίων ὁ πλοῦς τῆς Ἴσιδος ἐπετελεῖτο, ὃν ἔτι καὶ νῦν τελοῦντες καλοῦσι πλοιαφέσια. ἡ δὲ Ἶσις τῇ Αἰγυπτίων φωνῇ παλαιὰ σημαίνεται, τουτέστιν ἡ σελήνη· καὶ προσηκόντως αὐτὴν τιμῶσιν ἐναρχόμενοι τῶν θαλαττίων ὁδῶν διὰ τὸ αὐτήν, ὡς ἐλέγομεν, τῇ φύσει τῶν ὑδάτων ἐφεστάναι. φασὶ δὲ ταύτην καὶ ὑγείας εἶναι δότειραν, καθάπερ ἡμεῖς τὸν Ἀσκληπιόν. ταὐτὸν δ' ἂν εἴη· ὥσπερ γὰρ ἡμεῖς τὸν ἥλιον εἰς τὸν Ἀσκληπιὸν λαμβάνοντες μετὰ τὰς ἐκείνου δυσμὰς τῆς νυκτὸς ἐπιγινομένης, αἴτιον αὐτὸν τοῦ ὕπνου καὶ νυκτὸς καὶ ἀναπαύσεως, αἴτιον καὶ δοτῆρα τῆς ὑγείας μυθεύουσιν. ὁ δὲ Χαιρωνεὺς Ἶσιν μὲν τὴν γῆν εἶναι βούλεται καὶ Ὄσιριν τὸν Νεῖλον, Τυφῶνα δὲ τὴν θάλατταν, εἰς ἣν ὁ Νεῖλος ἐμπίπτων ἀφανίζεται.*

33. *τὴν Τύχην οἱ Ἕλληνες γράφουσι βουπρόσωπον· ἐγὼ δ' οἶμαι τὴν ὑγρὰν εἶναι οὐσίαν, ὅθεν καὶ ἀκουὰν αὐτὴν Ῥωμαίοις ἔθος καλεῖν ἀπὸ τῆς ἰσότητος (τὸ δ' ὕδωρ ὁμοιομερὲς καὶ ἴσον*
p. 79 *τὴν φύσιν)· καὶ καλῶς ἀκουὰ πρὸς αὐτῶν ὠνόμασται, ἐπειδὴ τὴν ἰσότητα ἤτοι ὁμοιομέρειαν ἀπὸ τοῦ ἀκουὰ κατὰ παραγωγὴν ἐπικαλοῦσιν.*

34. *ἐπὶ Ταρκυνίου Πρίσκου τοῦ ῥηγὸς Ἀμάλθεια τοὔνομά τις γυνὴ ἦκεν ὡς αὐτόν, ἐπιφερομένη τρεῖς βίβλους (χρησ-*

10 μετὰ] ἢ μετὰ P. 12 post ὑγείας fere haec excidisse videntur Roethero: οὕτως ἐκεῖνοι τὴν Ἶσιν, οἱονεὶ τὴν σελήνην, αἰτίαν καὶ δότειραν τῆς ὑγείας. 15 βοοπρόσωπον V.

31. A. d. 4 Nonas Martias ventum vehementiorem ut plurimum flare praedicit Eudoxus.

32. A. d. 3 Nonas Martias Isidis navigium agebatur, quod etiam nunc agentes πλοιαφέσια vocant. Isis autem Aegyptiorum lingua idem quod antiqua valet, id est luna; et merito eam colunt ingredientes itinera marina, propterea quod illa, ut diximus, aquarum naturae praeest. dicunt autem hanc etiam sanitatis esse auctorem, quemadmodum nos Aesculapium. idem autem hoc fere fuerit: ut enim nos solem in Aesculapium accipientes post illius occasum, cum nox oboritur, auctorem eum somni et noctis et quietis, auctorem atque effectorem sanitatis, [sic illi —] fabulantur. scriptor autem Chaeronensis (Plutarchus) Isidem terram esse vult et Osirin, Nilum, Typhonem autem mare, in quod incidens Nilus evanescit.

33. Fortunam Graeci pingunt bovina facie: ego vero existimo humidam esse substantiam, unde etiam aquam eam Romani vocare solent, ab aequitate (aqua autem aequalibus partibus constat et aequa est natura), et bene aqua ab iis nominata est, cum aequitatem vel aequalitatem partium ab aqua ex derivatione vocent.

34. Regnante Tarquinio Prisco mulier quaedam Amalthea nomine

μοὶ δὲ Σιβύλλης τῆς Κυμαίας ἐτύγχανον), ἐπεζήτει δὲ [τὸν κατὰ] τριάκοντα τούτους ἀποδόσθαι χρυσῶν. τοῦ δὲ καταφρονήσαντος ἀγανακτήσασα ἡ γυνὴ τὸ ἓν τῶν βιβλίων ἔκαυσεν. εἶτα αὖθις ὡς αὐτὸν γινομένη ἡξίου καὶ ὑπὲρ τῶν ἀπολειπομένων δύο τοὺς αὐτοὺς τριάκοντα λαβεῖν χρυσοῦς. τοῦ δὲ ἔτι μᾶλλον αὐτὴν παριδόντος καὶ τὸ ἕτερον ἔκαυσε. πάλιν δὲ ὑπὲρ τοῦ λειπομένου ἑνὸς τὴν αὐτὴν ἐπιζητούσης τοῦ χρυσίου ποσότητα, στοχασάμενον εἰκὸς τὸν βασιλέα ὡς ἀναγκαῖα μᾶλλον ἐτύγχανε τὰ βιβλία, πρίασθαι παρ' αὐτῆς τὸ λειπόμενον, εἶτα, εὑρόντα ἐν αὐτῷ τὰς Ῥωμαίων τύχας κατ' ἐξαίρετον καὶ μόνας ἐγγεγραμμένας, ἑξήκοντα πατρικίων συστήματι τὴν τούτων παραδοῦναι φυλακήν.

35. νώναις Μαρτίαις ὁ Βάρρων ὄρθρου τὸν στέφανον δύεσθαι λέγει καὶ πνεῖν τὸν βορρᾶν.

36. εἰδοῖς Μαρτίαις ἑορτὴ Διὸς διὰ τὴν μεσομηνίαν, καὶ p. 80 εὐχαὶ δημόσιαι ὑπὲρ τοῦ ὑγιεινὸν γενέσθαι τὸν ἐνιαυτόν. ἱεράτινον δὲ καὶ ταῦρον ἐξέτη ὑπὲρ τῶν ἐν τοῖς ὄρεσιν ἀγρῶν, ἡγουμένου τοῦ ἀρχιερέως καὶ τῶν κανηφόρων τῆς μητρόχου. ἤγετο δὲ καὶ ἄνθρωπος περιβεβλημένος δοραῖς, καὶ τοῦτον ἔπαιον ῥάβδοις λευκαῖς ἐπιμήκεσι, Μαμούριον αὐτὸν καλοῦντες. οὗτος δὲ τεχνίτης ἐν ὁπλοποιίᾳ γενόμενος, διὰ τὸ μὴ τὰ διοπετῆ ἀγκύλια συνεχῶς κινούμενα φθείρεσθαι, ὅμοια ἐκείνων κατεσκεύασε τῶν ἀρχετύπων· ὅθεν παροιμιάζοντες οἱ πολλοί, ἐπὶ τοῖς τυπτομένοις διαγελῶντες, φασὶν ὡς τὸν Μαμούριον αὐτῷ παίζοιεν οἱ τύπτον-

4 ὑπολειπομένων?

venit ad eum, offerens tres libros: oracula autem Sibyllae Cumanae erant. cupiebat autem triginta eos vendere nummis aureis. ille vero cum eam contempsisset, irata mulier unum librorum combussit. post cum rursus eum adiisset, etiam pro duobus reliquis eosdem triginta numos aureos poscebat. ille autem cum etiam magis eam neglexisset, alterum quoque combussit. rursus deinde pro reliquo uno eandem illa poscente auri summam, regem, ratum videlicet valde necessarios fuisse libellos, emisse ab ea eum qui reliquus erat; post, inventis in eo Romanorum fatis prae ceteris solis conscriptis, sexaginta patriciorum collegio eos custodiendos tradidisse.

35. Nonis Martiis Varro mane Coronam occidere ait, et flare Boream.

36. Idibus Martiis feriae Iovis, propterea quod medius mensis est, et preces publicae pro salubritate anni. sacrificabant autem etiam taurum sex annorum pro agris montanis, ducente (pompam) pontifice maximo et canephorarum ea quae ferebat vittas. agebatur autem et homo coriis involutus, atque hunc verberabant baculis albis longis, Mamurium eum vocantes. hic autem cum armorum faber esset, ne ancilia, quae caelitus deciderant, semper movendo conficerentur, similia illorum fecit exemplaria. unde multitudo eos qui verberantur deridens, proverbii loco dicit, Mamurium ea re ludi ab iis qui plagas illis infligunt: fertur enim et ipse

τις· λόγος γὰρ καὶ αὐτὸν ἐκεῖνον Μαμούριον, δυσχερῶν τινῶν προσπεσόντων ἐπὶ τῇ τῶν ἀρχετύπων ἀγκιλίων ἀποσχέσει τοῖς Ῥωμαίοις, παισὶ μενον ῥάβδοις ἐκβληθῆναι τῆς πόλεως. ταύτην τὴν ἡμέραν ὁ Μητρόδωρος κακὴν παραδίδωσι.

37. ἡ πρὸ δεκαεπτὰ καλανδῶν Ἀπριλίων ἄπρακτος. ἐν ταύτῃ τῇ ἡμέρᾳ Εὔδοξος τοὺς ἰχθύας ἀνίσχειν καὶ βορρᾶν πνεῖν παραδίδωσι.

p. 81 38. Λίβερ παρὰ Ῥωμαίοις ὁ Διόνυσος, οἱονεὶ ἐλεύθερος, τοντέστιν ἥλιος. μυστήρια ἀπὸ τῆς στερήσεως τοῦ μύσους, ἀντὶ τοῦ ἁγιωσύνης. Διόνυσος, δι' ὃν ἡ νύσσα (ὁ καμπτήρ) καὶ ἡ
82 περικύκλησις τοῦ χρόνου. Τέρπανδρός γε μὴν ὁ Λέσβιος Νύσσαν λέγει τετιθηνηκέναι τὸν Διόνυσον, τὸν ὑπό τινων Σαβάζιον ὀνομαζόμενον, ἐκ Διὸς καὶ Περσεφόνης γενόμενον, εἶτα ὑπὸ τῶν Τιτάνων σπαραχθέντα. φέρεται δὲ καί τις μῦθος περὶ αὐτοῦ κατὰ τὸν Ἀπολλόδωρον, ὡς εἴη γεγονὼς ἐκ Διὸς καὶ Γῆς, τῆς δὲ Γῆς Θεμέλης προσαγορευομένης διὰ τὸ εἰς αὐτὴν πάντα καταθεμελιοῦσθαι, ἣν κατὰ συναλλαγὴν ἑνὸς στοιχείου, τοῦ σ, Σεμέλην οἱ ποιηταὶ προσηγορεύκασι. κατὰ δὲ τοὺς ποιητὰς Διόνυσοι πέντε, πρῶτος Διὸς καὶ Λυσιθέας, δεύτερος ὁ Νείλου, ὃ καὶ βασιλεύσας Λιβύης καὶ Αἰθιοπίας καὶ Ἀραβίας, τρίτος Καβίρου παῖς, ὅστις τῆς Ἀσίας ἐβασίλευσεν, ἀφ' οὗ ἡ Καβιρικὴ τελετή· τέταρτος ὁ Διὸς καὶ Σεμέλης, ᾧ τὰ Ὀρφέως μυστήρια ἐτελεῖτο καὶ ὑφ' οὗ οἶνος ἐκεράσθη· πέμπτος ὁ Νίσου καὶ Θυώνης, ὃς

12 τιθῆναι PV: corr S. 19 ὀνείλαου V. 21 an ὅς? Ἀσίας add Creuzerus ad Cic. de N. D. 3 23. 22 ᾧ Creuzerus: libri ὧν Σελήνης Cicero.

ille Mamurius, cum molestiae quaedam accidissent Romanis, propterea quod primigeniis ancilibus abstinuissent, baculis percussus urbe eiectus esse. hunc diem Metrodorus infaustum prodit.

37. Dies 17 ante kalendas Apriles feriatus. hoc die Eudoxus Pisces oriri et Boream flare prodit.

38. Liber apud Romanos vocatur Dionysus, velut ἐλεύθερος (liber), id est Sol. mysteria a privatione sceleris, pro sanctitate. Dionysus, per quem meta et rotatio s. conversio temporis. Terpander vero Lesbius a Nyssa dicit nutritum esse Dionysum eum qui a nonnullis Sabazius nominatur, Iove et Proserpina natum, post a Titanibus dilaniatum. fertur autem et fabula quaedam de eo, auctore Apollodoro, quasi natus sit Iove et Tellure, cum videlicet Tellus Themele appelletur, propterea quod in ea omnia fundantur; quam commutata una litera S Semelen poëtae appellarunt. ex poëtarum autem sententia Dionysi quinque sunt, primus e Iove et Lysithea natus; secundus Nilo, qui et Libyae et Aethiopiae atque Arabiae rex fuit; tertius Cabiro patre, qui in Asia regnavit, a quo initia Cabirica sunt instituta; quartus Iove et Semele, cui sacra Orphica conficiuntur, a quo et vinum mixtum est; quintus Niso natus et Thyone,

κατέδειξε τριετηρίδα. καὶ ταῦτα μὲν οἱ Ἕλληνες. οἱ δέ γε Ῥωμαῖοι τὸν Διόνυσον βακχευτὴν τοῦ Κιθαιρῶνός φασιν, οἱονεὶ βακχευτὴν καὶ ἀνατρέχοντα ἀνὰ τὸν οὐρανόν, ὃν ἐκ τῆς τῶν ἑπτὰ συμφωνίας ἀστέρων Κιθάρωνα ὠνόμασαν· ὅθεν Ἑρμῆς κιθάραν δίδωσι μυθικῶς τῷ Ἀπόλλωνι, οἷον ὁ λόγος τῷ ἡλίῳ τὴν τοῦ παντὸς ἁρμονίαν. ἐν ἀπορρήτῳ δὲ τῷ Διονύσῳ τὰ μυστήρια ἐτελεῖτο διὰ τὸ πᾶσιν ἀπόκρυφον εἶναι τὴν τοῦ ἡλίου πρὸς τὴν τοῦ παντὸς φύσιν κοινωνίαν. καὶ φαλλοὺς ἐν τοῖς ἱεροῖς αὐτοῦ παρελάμβανον οἱονεὶ τὰ γεννητικὰ ὄργανα, καὶ ἔσοπτρον οἱονεὶ τὸν διαυγῆ οὐρανόν, σφαῖραν δὲ οἱονεὶ τὴν γῆν· ὁ γὰρ Πλάτων ἐν τῷ Τιμαίῳ p. 83
φησὶν "Γῇ μὲν τὸ σφαιρικὸν εἶδος." διὸ δὴ καὶ ὁ Πυθαγόρας ἐν ταῖς δέκα σφαίραις οὕτως καὶ αὐτῆς ψυχὰς ἐνεσπάρθαι φησί. πυριγενέα δὲ αὐτὸν καὶ παγκρατῆ ἐν τοῖς ἱεροῖς ἐκάλουν, ὅτι τὴν μὲν φύσιν πυρώδης ἐστὶν ὁ ἥλιος, τοῦ δὲ παντὸς ἐπάρχει καὶ κρατεῖ. καὶ πάνθηρα δὲ παρ' αὐτοῦ τοὔνομα ποιοῦσιν ἀποδεχόμενον, οἱονεὶ τὴν πάνθηρον γῆν ἐξ αὐτοῦ λαμβάνουσαν τὴν ζωοποιὸν καὶ εὐφραντικὴν τροφήν. καὶ Βάκχας αὐτῷ καὶ Νύμφας, οἱονεὶ τὰ ὕδατα, ποιοῦσι πειθαρχοῦντα, τῇ δὲ τοῦ ἡλίου κινήσει ἡ τῶν ὑδάτων φύσις ζωογονεῖται· κύμβαλα δὲ καὶ θύρσους αὐταῖς διδόασι, τὸν τῶν ὑδάτων ἦχον· καὶ ὑπὸ Σατύρων ἐλαυνομένας τὰς Μαινάδας, οἷον ὑπὸ τῶν ἀνέμων ὠθουμένης τῆς τῶν ὑδάτων φύσεως βροντὰς καὶ κτύπους ἀποτελεῖσθαι. Διόνυσον δὲ ὡσανεὶ τὸν τοῦ Διὸς

3 ὃν add Roetherus. 10 Τιμαίῳ] p. 55? 15 πάνθηρον apud S: corr Roetherus. 20 ἐλαννόμενος PV.

a quo Trieterides constitutae sunt. et haec quidem Graeci. Romani autem Dionysum Bacchantem Cithaeronis dicunt, velut bacchantem et sallentem per caelum, quod ex septem concentu stellarum Citharonem nominaverunt; unde Mercurius citharam dat ex fabula Apollini, tanquam ratio soli universi harmoniam. in occulto autem Bacchi mysteria celebrabantur, propterea quod omnibus occulta est solis cum universi natura communio. et phallos in sacris eius assumebant, velut membra genitalia, et speculum, tanquam pellucidum caelum, globum autem tanquam tellurem: Plato enim in Timaeo ait "terrae globosam speciem (assignemus)." unde videlicet et Pythagoras in decem sphaeris ita etiam eius animas [sic] insitas dicit. ex igne autem progenitum et omnipotentem in sacris vocabant, quod igneus natura sol est, et universum regit ac comprehendit. et panthera ab eo nomen trahere faciunt, quasi terram, quae omnes feras capit, ab eo accipientem nutrimentum recreandi et laetificandi vim habens. et Bacchas ei Nymphasque, tanquam aquas, faciunt servire; solis autem motu aquarum natura fecundatur. cymbala autem et thyrsos ei dant, (tanquam) aquarum fremitum; et Maenades s. Bacchas, quae a Satyris agitantur, velut, cum a ventis aquarum natura impellatur, tonitrua et strepitus effici. Dionysum autem (cum vocabant), velut Iovis

νοῦν, οἱονεὶ τὴν τοῦ κόσμου ψυχήν· πολλαχοῦ γὰρ εὑρίσκομεν ὡς ὁ σύμπας κόσμος Ζεὺς ὀνομάζεται διὰ τὸ ἀείζωον καὶ ἀτελεύτητον. Σεμέλης δὲ αὐτὸν ποιοῦσιν υἱὸν ὡς ὑπὸ γῆν κρυπτόμενον καὶ διὰ τοῦ Ἑρμοῦ, τουτέστι τοῦ λόγου, προϊόντα, καὶ τῷ μηρῷ τοῦ Διὸς ἐντρεφόμενον οἱονεὶ ἐν τοῖς ἀπορρήτοις τοῦ κόσμου λανθάνοντα, καὶ διθύραμβον καὶ διμήτορα τὸν δύο προόδους λαχόντα, τὴν μὲν ἀνατολικὴν πρὸς νότον ἐν χειμῶνι, τὴν δὲ βορείαν πρὸς δυσμὰς ἐν τῷ θέρει. καὶ ταῦτα μὲν περὶ Διονύσου. ἐν δὲ τῇ ἡμέρᾳ τῶν Βακχαναλίων Δημόκριτος δύεσθαι τοὺς ἰχθύας λέγει, ὁ δὲ Βάρρων ἀνεμομαχίαν ἔσεσθαι παραδίδωσιν. οὕτως μὲν ἡ παλαιότης περὶ τὰ Διονύσια. οἱ Χαλδαῖοι τὸν
p. 84 θεὸν Ἰαὼ λέγουσιν (ἀντὶ τοῦ φῶς νοητόν) τῇ Φοινίκων γλώσσῃ. καὶ Σαβαὼθ δὲ πολλαχοῦ λέγεται, οἷον ὁ ὑπὲρ τοὺς ἑπτὰ πόλους, τουτέστιν ὁ δημιουργός.

39. πρὸ δεκαπέντε καλανδῶν Ἀπριλίων ὁ Εὐκτήμων ποικίλους ἀνέμους πνέειν λέγει. κεφαλαίαν δὲ Ἀθηνᾶν τὴν φρόνησιν ἄν τις εἴποι· καὶ γὰρ ἐπὶ τοῦ βρέγματος, κατὰ τὸ ἀντικέφαλον, ἐναποκεῖσθαι λέγεται [πρὸς ταῖς ῥίζαις τοῦ ἐγκεφάλου] τοῖς ἀνθρώποις ἡ φρόνησις. ὅθεν ὀργιζόμενον Ἀχιλλέα Ὅμηρος ἐκ τοῦ βρέγματος πιεζόμενον ὑπὸ τῆς Ἀθηνᾶς ἐποίησε, λέγων "ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα." καὶ γλαυκῶπιν αὐτὴν διὰ τὸ πυρῶδες γράφουσι, καὶ γλαῦκα αὐτῇ τὸ ὄρνεον προσνέμουσιν, ὅπερ ἐγρή-

7 ἀνατολὴν P. 22 γλαῦκαν V.

mentem, quasi mundi animam: saepe enim reperimus universum mundum Iovem nominari, propterea quod semper viget et infinitus est. Semeles autem eum faciunt filium, ut eum qui sub terra abditur et per Mercurium, id est orationem, prodit; et in femore Iovis nutriri, velut in secretis locis mundi latentem; et Dithyrambum et duabus matribus natum, tanquam eum qui duos exitus sortitus est, orientalem, meridiem versus, hieme, septentrionalem, occidentem versus, aestate. haec hactenus de Dionyso. Bacchanaliorum autem die Democritus occidere Pisces dicit, Varro ventorum pugnam futuram docet. ita antiquitas circa Bacchanalia. Chaldaei deum Iao dicunt (pro lumen quod mente percipitur) Phoenicum lingua, et Sabaoth vero saepe dicitur, velut is qui est super septem polos, id est deus opifex s. procreator mundi.

39. A. d. 15 kalendas Apriles Euctemon varios ventos flare dicit. Minervam capitalem mentem aliquis dicat: etenim in sincipite, ad occipitium, sita esse dicitur [prope radices cerebri] hominibus mens. unde irascentem Achillem Homerus sincipite premi s. apprehendi a Minerva fecit, dicens "et flava coma prehendit Pelidem." et oculis caesiis eam propter naturam igneam pingunt, et noctuam ei avem attribuunt, ut quae

γορε διὰ πάσης τῆς νυκτὸς ὡς ἂν τις καὶ ἀκίνητος τὴν φύσιν· τὸ γὰρ παῦλαν ἔχον κινήσεως παῦλαν ἔχει ζωῆς, κατὰ Πλάτωνα.

40. πρὸ δεκατεσσάρων καλανδῶν Ἀπριλίων ἑορτὴ παρὰ Ῥωμαίοις τιμωμένη, οὐχ ὡς Ῥωμαϊκὴ ἀλλ' ὡς μεγίστην παρ' Αἰγυπτίοις ἔχουσα τιμὴν δι' αἰτίαν τοιαύτην. τοῦ Νείλου τὴν ἐτήσιον ἐπίδοσιν τῶν ὑδάτων ἀρνουμένου ποτέ, καὶ ταύτῃ τῶν Αἰγυπτίων ἀπολλυμένων, δαίμων τις ἀγαθὸς εἰς ἄνθρωπον φανείς, ὅλον τὸ σῶμα πεπηλωμένος, ἐξεβόα τοῖς Αἰγυπτίοις ἀναβλύσαι τὸν Νεῖλον καὶ αὐτὸς ἐμπεσεῖν τοῖς ὕδασι· τῶν δὲ ἀπι- p. 85
στησάντων, ἔργῳ δὲ ταλη θὲς εὑρόντων, ἑορτὴ παρ' αὐτοῖς τε καὶ παρὰ τοῖς Ἕλλησιν ὡρίσθη, λεγομένη Πηλούσιος.

μικρὰς Ἀθήνας ἐκάλουν τὴν Φιλαδέλφειαν διὰ τὰς ἑορτὰς καὶ τὰ ἱερὰ τῶν εἰδώλων.

41. τῇ πρὸ δεκαμιᾶς καλανδῶν Ἀπριλίων δένδρον πίτυς παρὰ τῶν δενδροφόρων ἠρέρετο ἐν τῷ παλατίῳ. τὴν δὲ ἑορτὴν Κλαύδιος ὁ βασιλεὺς κατεστήσατο, ἀνὴρ οὕτω δίκαιος περὶ τὰς κρίσεις ὡς μητέρα τὸν ἑαυτῆς παῖδα ἀρνουμένην κελεῦσαι ὡσανεὶ ξένην γαμηθῆναι αὐτῷ, τὴν δὲ ἀποπτύσασαν εἶναι μητέρα.

42. τῇ πρὸ δέκα καλανδῶν Ἀπριλίων καθαρμὸς σάλπιγγος καὶ κίνησις τῶν ὅπλων καὶ τιμαὶ Ἄρεος καὶ Νερίνης, θεᾶς οὕτω τῇ Σαβίνων γλώσσῃ προσαγορευομένης, ἣν ἐξίουν εἶναι τὴν Ἀθηνᾶν ἢ καὶ Ἀφροδίτην· νερίνη γὰρ ἡ ἀνδρία ἐστί, καὶ νέρω-

1 ἀκίνητος P. 9 αὐτὸν vulgo. 18 ἀποπίπτουσαν libri: corr Hasius.

vigilat per totam noctem, sicut ipsa semper movetur natura: quod enim terminum habet motus, idem terminum habet vitae, ut Plato docet.

40. A. d. 14 kalendas Apriles feriae sunt, quae apud Romanos celebrantur, non tanquam Romanae, sed quod maximo honore apud Aegyptios afficiuntur, hanc fere ob causam. Nilus cum annuum incrementum aquarum recusaret aliquando ideoque Aegyptii interirent, bonus quidam daemon, specie humana assumpta, toto corpore luto obductus praedicabat Aegyptiis exundasse Nilum seque ipsum incidisse in aquas. illi vero cum fidem non habuissent, re autem verum esse comperissent, feriae apud ipsos et Graecos institutae sunt, quae dicebantur Pelusius (fort. Pelusium).

Parvas Athenas vocabant Philadelphiam propter ferias et templa idolorum.

41. A. d. 11 kalendas Apriles pinus arbor a dendrophoris in Palatium ferebatur. has autem ferias Claudius imperator instituit, vir tanta iustitia in iudiciis, ut matrem filium suum recusantem iuberet tanquam alienam ei nubere, illa autem respuens hoc esset mater (s. sese confiteretur matrem).

42. A. d. 10 kalendas Apriles tubilustrium et armorum motus, et honores Martis ac Nerinae deae, quae Sabinorum lingua ita appellatur, quam volebant esse Minervam vel etiam Venerem: nerine enim fortis est,

νας τοὺς ἀνδρείους οἱ Σαβῖνοι καλοῦσιν. αὐτὴν δὲ μετὰ Ἄρεος ἡγεῖσθαι τῶν πολέμων καὶ Ὅμηρος δείκνυσι, λέγων "ταῦτα δ' Ἄρηϊ θοῷ καὶ Ἀθηνᾷ πάντα μελήσει." οἱ γὰρ Ἀφροδίτην εἶναι νομίζοντες τὴν Νερίνην πλανῶνται, καὶ μάρτυς κἀνταῦθα Ὅμηρος· "οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήϊα ἔργα."

p. 86 43. ὁ Φίλιππος δύεσθαι τῇ πρὸ ἐννέα καλανδῶν Ἀπριλίων τὰς ὑάδας μετὰ νότου, ἀνίσχειν λέγει ὁ Μητρόδωρος.

τῇ πρὸ ὀκτὼ καλανδῶν ἰσημερία ἐαρινή.

ΑΠΡΙΛΙΟΣ.

44. Τοῦ πρώτου μηνός, ὡς ἐλέγομεν, κατὰ τὴν τῆς μονάδος ἐξοχὴν ταῖς τιμαῖς τῶν νοητῶν ἀνατεθέντος, εἰκότως ὁ μετ' αὐτόν, τουτέστιν ὁ δεύτερος, ὃν πατρίως Ῥωμαῖοι Φεβρουάριον καλοῦσι, κατὰ τὸ ἄπειρον τοῦ ἀριθμοῦ Πλούτωνι καὶ τοῖς καταχθονίοις ἀφωρίσθη. Ἅΐδην δὲ αὐτὸν καλοῦσιν· ἡ γὰρ δυὰς ὡς ἀνείδεος καὶ ἀόριστός ἐστιν, ὅθεν αὐτὸς τῶν ἀειδῶν καὶ ἀπόντων ἀπὸ τῶν θείων ἐσχηκότων βασιλεὺς εἶναι λέγεται. ὀρθῶς οὖν ὁ Φιλόλαος τὴν δυάδα Κρόνου σύνευνον εἶναι λέγει, ὃν κατὰ τὸ προφανὲς χρόνον ἄν τις εἴποι· συνάπτεται δὲ τῷ χρόνῳ ἡ δυὰς ὡς τῆς φθορᾶς αἰτίᾳ. μήτηρ δὲ αὐτῷ τυγχάνει τῆς ῥευστῆς οὐσίας.

p. 87 τὸν δὲ τρίτον, τουτέστι τὸν Μάρτιον, εἴτε κατὰ τὸν πρῶτον περιττόν, εἴτε ὡς πάτριον θεόν, εἰς τοῦτο τάξεως ἀριθμοῦ ἀνέθεντο·

15 ἀπὸ] ἐκ P.

et nerones a Sabinis fortes vocantur. ipsam autem cum Marte praeesse bellis Homerus quoque significat, dicens "haec autem Marti celeri et Minervae omnia cordi erunt." qui enim Venerem esse putant Nerinem, ii errant, et testis hac quoque in causa Homerus est: "non tibi, mea nata, concessa sunt opera bellica."

43. Philippus occidere a. d. 9 kalendas Apriles Hyades cum Noto, oriri ait Metrodorus.

A. d. 8 kalendas aequinoctium vernum.

APRILIS.

44. Primo mense, ut diximus, ob monadis praestantiam honoribus eorum quae mente percipiuntur dicato, merito is qui eum sequitur, id est secundus, quem patrio sermone Romani Februarium vocant, ob imparem numeri naturam Plutoni et inferis consecratus est. Ἅΐδην autem eum vocant: dyas enim quasi figura carens et infinita est, unde ipse eorum quae cerni non possunt et distant a divinis rex esse dicitur. recte igitur Philolaus dyadem Saturni coniugem esse ait, quem cum veri specie tempus aliquis dixerit. coniungitur autem cum tempore dyas tanquam corruptionis causa. mater autem ei est fluidae essentiae [sic]. tertium autem, id est Martium, sive ob primum imparem sive tanquam patrium deum, in hoc ordine numeri posuerunt: trias enim principium numeri;

ἡ γὰρ τριὰς ἀρχὴ ἀριθμοῦ. ὥστε οὐκ ἔξω φιλοσοφίας τὸν Ἄρεα ξευγνύουσι τῇ Ἀφροδίτῃ· τῇ γὰρ δυάδι συνελθούσης μονάδος πρῶτος ἀριθμὸς ἐτέχθη, ὃς καλεῖται ὑπ' ἐνίων τέλειος, ὅτι πρῶτος τὰ πάντα σημαίνει καὶ πρῶτος ἔδειξεν ἀρχὴν μέσα τέλος. τὸν δὲ τέταρτον (Ἀπρίλιον ὀνομάζουσι) κατὰ τὴν τῶν στοιχείων φύσιν τῷ τετάρτῳ ἀριθμῷ ἀνέθεντο, τουτέστιν Ἀφροδίτῃ· ἡ γὰρ τοῦ παντὸς αἰσθητοῦ φύσις ἐκ τεσσάρων ἐστὶ στοιχείων, αὐτὴ δ' ἂν εἴη κατὰ τοὺς φυσιολόγους Ἀφροδίτη. πρῶτος οὖν τετράγωνος ἀριθμὸς οὗτος καὶ τετρακτύς. ἀλλὰ μὴν καὶ πρῶτος ἔδειξε τὴν στερεὰν φύσιν· σημεῖον γάρ, εἶτα γραμμή, εἶτα ἐπιφάνεια, εἶτα στερεόν, ὅ ἐστι σῶμα. ἐκ τεσσάρων δὲ ἡ τοῦ τετάρτου ἀριθμοῦ — — Ἀφροδίτῃ, τουτέστι τῇ φύσει τῶν πραγμάτων, ἀνέθεντο. διὸ δ' ὅτου δὲ οὕτως ἔδοξε Ῥωμαίοις τὸν τέταρτον ὀνομάσαι μῆνα, διὰ βραχέων ἐρῶ· τέως δὲ κατὰ τὸ πρόσθεν ἐπηγγελμένον ἀλίγα ἄττα περὶ τῆς κατὰ Ἀφροδίτην θεωρίας διαλήψομαι.

οἱ φυσικοὶ τοιγαροῦν τὸν ἔαρινὸν εἶναι καιρὸν τὴν Ἀφροδίτην βούλονται. οὗτος δ' ἂν εἴη ὁ ἐν ταύρῳ ἥλιος. καὶ ἀποστρεφομένην αὐτὴν τὸν Ἄρεα ποιοῦσιν, ὡς λέγομεν, τὸν Ἄρειος μῆνα (οὗτος δ' ἂν εἴη ὁ Μάρτιος), προστιθεμένην δὲ τῷ Ἀδώνιδι, τουτέστι τῷ Μαΐῳ, καθ' ὃν ἤδη καὶ ἔαρίζει τὰ ὄρνεα. τοῦτον δὲ ἀναιρεθῆναι ὑπὸ τοῦ Ἄρεος μεταβληθέντος εἰς ὗν, ὑπονοεῖ τὸ ἔαρ ὑπὸ τοῦ θέρους ἀναιρεῖσθαι· θερμὴ γὰρ ἡ φύσις τοῦ ὑός, καὶ ἀντὶ τοῦ θέρους αὐτὸν οἱ μυθικοὶ λαμβάνουσιν. ἢ ὡς ἄλλοις δοκεῖ,

p. 88

14 τὸν apud S. 18 *δίρα* apud S: corr Roetherus coll. §. 27.
λέγομεν] *ἐλέγομεν, ὥσπερ* Roetherus.

ut non extra philosophiam Martem iungant Veneri: cum dyade enim postquam coiit monas, primus numerus genitus est, qui vocatur a nonnullis perfectus, quod primus universa significat et primus monstravit initium, medium, finem. quartum autem (Aprilem nominant) secundum elementorum naturam quaternario numero dicarunt, id est Veneri: universi enim sensilibus subiecti natura quattuor constat elementis, ipsa autem forte sit ex physiologorum sententia Venus. primus igitur quadratus numerus hic est et quaternio, verum et primus monstravit solidam naturam: signum enim, deinde linea, tum superficies, post solidum, quod est corpus. ex quattuor autem quaternarii numeri — — Veneri, id est rerum naturae, dicarunt. quare autem ita visum sit Romanis quartum nominare mensem, paucis dicam: ante autem, ut prius significatum est, pauca quaedam de ea quae ad Venerem pertinet doctrina disseram. physici igitur vernum tempus Venerem esse volunt, id autem fere fuerit sol in Tauro; et aversari eam Martem faciunt, ut diximus, velut Martis mensem (hic autem sit Martius), coniungi autem cum Adonide, id est Maio, quo et iam vernant aves; hunc autem interfectum a Marte converso in suem, quasi ver ab aestate interfici: calida enim natura suis, et in aestatem eum mythici

Ἄδωνις μέν ἐστιν ὁ καρπός, Ἄρης δὲ ὁ σῦς· πολέμιον δὲ τὸ ζῶον τοῖς καρποῖς ὥσπερ σωτήριος βοῦς· καὶ διὰ τοῦτο Αἰγύπτιοι ἔτι καὶ νῦν βοῶν μὲν ὡς ἐπίπαν ἀπέχονται, τοῖς δὲ ὑείοις ὡς μάλιστα πρὸς ἐδωδὴν κατακέχρηνται. Εὐριπίδης δὲ Ἀφροδίτην αὐτὴν ἀξιοῖ
p. 89 ὀνομασθῆναι ἐκ τοῦ ἄφρονας τοὺς ἐρῶντας ἀποτελεῖν. ὁ δὲ Χρύσιππος οὐ Διώνην ἀλλὰ Διδώνην αὐτὴν ὀνομάζεσθαι ἀξιοῖ παρὰ τὸ ἐπιδιδόναι τὰς τῆς γενέσεως ἡδονάς. Κύπριν δὲ ὀνομασθῆναι παρὰ τὸ κύειν παρέχειν, καὶ Κυθερείην ὁμοίως παρὰ τὸ μὴ μόνον ἀνθρώποις ἀλλὰ καὶ θηρίοις τὸ κύειν ἐπιδιδόναι. ἔνθεν Ἑρμῆς ἐν τῇ κοσμοποιίᾳ τὰ μὲν ὑπὲρ ὀσφὺν ἄρρενα τῆς Ἀφροδίτης, τὰ δὲ μετ' αὐτὴν θήλεα παραδίδωσιν· ὅθεν Πάμφυλοι καὶ πώγωνα ἔχουσαν ἐτίμησαν Ἀφροδίτην ποτέ. τεχθῆναι δ' αὐτὴν ἀξιοῦσιν ἀπὸ τῶν Κρόνου μηδέων, τουτέστιν ἀπὸ τοῦ αἰῶνος· ἡ δὲ φύσις τῶν πραγμάτων ἀΐδιος καὶ ἄφθαρτος. βενίσαι τὸ ἀφροδισιάσαι παρὰ τῷ πλήθει λέγεται. ὁ δὲ Πλάτων δύο παραδίδωσιν Ἀφροδίτας, οὐρανίαν καὶ πάνδημον, καὶ τὴν μὲν τοῖς θεοῖς τὴν δὲ τοῖς ἀνθρώποις παρέπεσθαι. οἱ δὲ ἄλλοι τῶν ποιητῶν τέσσαρας παραδιδόασι, μίαν μὲν ἐξ Οὐρανοῦ καὶ Ἡμέρας τεχθεῖσαν, ἑτέραν δὲ ἐξ Ἀφροῦ, ἐξ ἧς καὶ Ἑρμοῦ Ἔρως ἐτέχθη, τρίτην Διὸς καὶ Διώνης, ἐξ ἧς καὶ Ἄρεος τεχθῆναί φασιν Ἀντέρωτα, τετάρτην τῆς Συρίας καὶ Κύπρου, τὴν λεγομένην Ἀστάρτην. ἄλλοι δέ φασι

6 διδόνην vulgo. 8 Κυθερείην Roetherus: libri κυθηρίην
11 παμφύλιοι P.

accipiunt. vel ut aliis videtur, Adonis fructus est, Mars sus: infestum autem animal fructibus, ut salutaris bos; quamobrem Aegyptii etiam nunc bovibus ut plurimum abstinent, suillis autem carnibus quam maxime ad vescendum utuntur. Euripides autem Aphroditen eam vult nominatam inde quod insanos amantes reddat. Chrysippus autem non Dionen, verum Didonen eam nominari vult propterea quod dat generationis voluptates, Cyprin autem nominatam eo quod conceptum efficit, et Cytheream pariter eo quod non solum hominibus verum etiam bestiis concipiendi facultatem praebet. inde Hermes in libro super mundi creatione eas quae super coxam sunt masculas Veneris partes, quae autem post eam, femineas esse docet; unde Pamphyli et barbatam olim colebant Venerem. natam autem eam volunt ex Saturni virilibus, id est ex aevo s. aeternitate; rerum autem natura aeterna et corruptioni non obnoxia. βενίσαι (fort. venizare) rebus venereis deditum esse vulgo dicitur. Plato autem duas memorat Veneres, Uraniam, i. e. Caelestem et Pandemon, i. e. popularem; et illam cum diis, hanc cum hominibus coniunctam esse. reliqui vero poëtae quattuor tradunt, unam Caelo et Die natam; alteram Spuma procreatam, ex qua et Mercurio Cupido natus est; tertiam Iove natam et Diona, ex qua et Marte natum dicunt Anterota; quartam Syria Cyproque conceptam, quae Astarte vocatur. alii vero dicunt primam

πρώτην μὲν τοῦ Οὐρανοῦ καὶ Ἡμέρας Οὐρανίαν καλουμένην, δευτέραν δὲ Ἀφροῦ καὶ Εὐρυνόμης τῆς Ὠκεανοῦ, καὶ τρίτην τὴν συναφθεῖσαν Ἑρμῇ τοῦ Νείλου, ἐξ ἧς καὶ ὁ δεύτερος Ἔρως ὁ ὑπόπτερος, τετάρτην Διὸς καὶ Διώνης, ἣν ἔγημεν Ἥφαιστος, λάθρᾳ δὲ αὐτῇ συνελθὼν Ἄρης ἔτικε τὸν Ἀντέρωτα. καλεῖται δὲ πολλαχοῦ καὶ Πασιφάη, ἡ πᾶσιν ἐπαφιεῖσα τὴν ἡδονήν, καὶ Ἐρυκίνη παρὰ τὸ τοὺς ἔρωτας κινεῖν. ἀπ' αὐτῆς δὲ καὶ Ἑρμοῦ τὸν Ἑρμαφρόδιτον τεχθῆναι λόγος, οἷον τὸν εὐφραδῆ καὶ ἀστεῖον λόγον, τὸν ἐξ ἡδονῆς τὸ τραχὺ θηλύνοντα. τὸν δὲ ταύτης ἀστέρα τῇ σελήνῃ p. 90
παρέπεσθαί φασι διὰ τὰς νυκτερινὰς συναφείας, ὅθεν καὶ σκιὰν αὐτὸν ἀποτελεῖν διὰ τὸ σωμάτων εἶναι παρεκτικόν. ἱερούργουν δὲ αὐτῇ χῆνας καὶ πέρδικας, ὅτι αἱ μὲν τοῖς ὕδασι χαίρουσι (πελαγία δὲ ἡ Ἀφροδίτη), οἱ δὲ ταῖς φωναῖς τῶν θηλειῶν ἀγόμενοι ἁλίσκονται. τοσαῦται μὲν τοῖς παλαιοῖς αἱ περὶ Ἀφροδίτης κατὰ μυθικὴν καὶ φυσικὴν θεωρίαν δόξαι. οἱ δὲ φιλόσοφοι Διώνην τὴν Ἀφροδίτην εἶναί φασι τὴν διὰ πάντων οὖσαν τῶν ὄντων φύσιν· τεχθῆναι δὲ αὐτὴν ἐκ τῶν Οὐρανοῦ μηδέων καὶ τῆς Θαλάσσης, τουτέστιν ἐξ ἀρτίου ἀριθμοῦ καὶ περιττοῦ, καὶ περιττοῦ μὲν ἐκ τοῦ εἴδους, ἀρτίου δὲ ἐκ τῆς θαλάσσης, τουτέστι τῆς ἀπείρου ὕλης. Κίγκιος δὲ ὁ Ῥωμαῖος σοφιστής φησι τὴν Ἀφροδίτην ἐξ ἀφροῦ τεχθῆναι, οἱονεὶ ἐκ τοῦ χιονώδους ἀέρος καὶ τῆς ψυχρᾶς οὐσίας τὸ ἔαρ ἀποτεχθῆναι. τοσαῦτα περὶ Ἀφροδίτης ἀνατεθῆναι. οὕτως μὲν οὖν p. 91

11 παρεκτικόν P, ταρακτικόν V. 15 φυσικὴν Boissonadus, φασὶν V, φασὶ P. 16 τεθῆναι V. 22 ἀνατεθῆναι] ἢ ἀνατεθῆναι τὸν Ἀπρίλιον ἐλέγομεν. Roetherus.

esse Caelo et Die natam, quae Urania vocatur; secundam Spuma et Eurynome Oceani filia procreatam; et tertiam adiunctam Mercurio Nili filio, ex qua et Cupido secundus natus dicitur, is qui alis praeditus est; quartam Iove natam et Diona, quae nupsit Vulcano, cum qua postquam clam coiit Mars, procreavit Anterota. vocatur autem saepe et Pasiphaë, i. e. quae in omnes immittit voluptatem; et Erycine ab excitando amores. illa autem et Mercurio Hermaphroditum procreatum docent, quasi disertam et urbanam orationem, quae voluptate ea quae dura sunt emollit. huius autem stellam lunam comitari dicunt propter nocturnas consuetudines; unde et umbram illum efficere, propterea quod corpora conciliandi vim habet. sacrificabant autem ei anseres ac perdices, quod illi aquis gaudent (marina autem Venus), hi vocibus feminarum allecti capiuntur. hae fere veterum sunt de Venere ex mythica et physica doctrina sententiae. philosophi vero Dionen Venerem esse dicunt tanquam eam quae per omnia est eorum quae sunt naturam; procreatam autem eam ex Caeli virilibus et Mari, id est ex pari numero atque impari, et impari quidem ex specie, pari autem ex mari, id est infinita materia. Cincius autem sophista Romanus Venerem ex spuma natam dicit, velut ex aëre nivoso et frigida essentia ver procreatum. haec hactenus de Venere —

Ἕλληνες. οἱ δὲ Ῥωμαῖοι Ἀπρίλιον αὐτὸν ὥσανεὶ ἀπερίλιον (οἱονεὶ ἀνοικτικὸν τοῦ καιροῦ) φασίν· ἐγκεκλεισμένον γὰρ ὥσπερ ἡδονήν — ἐν δὲ τοῖς ὕμνοις ἐγγὺς τριακοσίοις ὀνόμασιν εὑρίσκομεν καλουμένην τὴν Ἀφροδίτην. οἱ δὲ Φοίνικες Ἀστάρτην τὴν σφῶν πολιοῦχον, οἱονεὶ τὴν ἀστεριαν ἢ τὴν τοῦ ἄστεος ἀρετήν, εἶναι τὴν Ἀφροδίτην βούλονται. ἐκ γὰρ τοῦ Λιβάνου (ὄρος δέ ἐστιν ἐκεῖ ἔκ του πρὸς Λίβανον ἄστεος οὕτω καλούμενον) δύο ποταμοὶ ἐκπίπτουσιν ἐπὶ τὴν θάλασσαν ὧν ὁ μὲν μείζων καὶ διειδέστερος Ἄδωνις, ὁ δὲ ἐλάσσων καὶ γεωδέστερος Ἄρης προσαγορεύεται. ἐπεὶ οὖν Ἄδωνις ὅλος ἐμμίγνυται τῷ πελάγει, δοκεῖ μᾶλλον αὐτὸς ἀγαπᾶσθαι πρὸς τῆς Ἀφροδίτης, ἀντὶ τοῦ τῆς θαλάσσης.

45. ταῖς τοίνυν καλάνδαις Ἀπριλίαις αἱ σεμναὶ γυναικῶν ὑπὲρ ὁμονοίας καὶ βίου σώφρονος ἐτίμων τὴν Ἀφροδίτην· αἱ δὲ τοῦ πλήθους γυναῖκες ἐν τοῖς τῶν ἀνδρῶν βαλανείοις ἐλούοντο, πρὸς θεραπείαν αὐτῆς μυρσίνῃ ἐστεμμέναι, ἢ ὅτι μυρσίνη ἐπιτηδεία τοῖς βρέφεσίν ἐστι (ῥώννυσι γὰρ τὰ σώματα τῶν ἀρτιγενῶν, καὶ παρὰ τὰ ἄλλα δὴ τῶν ἀειθαλῶν φυτῶν εὐωδεστάτη τυγχάνει ἡ μυρσίνη), ἢ ὅτι μόνη ἐν φυτοῖς χαίρει τῇ θαλάσσῃ. ἐτιμᾶτο δὲ ἡ Ἀφροδίτη τοῖς αὐτοῖς οἷς καὶ ἡ Ἥρα. ἐν δὲ τῇ Κύπρῳ πρόβατον κωδίῳ ἐσκεπασμένον συνέθυον τῇ Ἀφροδίτῃ· ὁ δὲ τρόπος τῆς ἱερατείας ἐν τῇ Κύπρῳ ἀπὸ τῆς Κορίνθου παρῆλθέ ποτε. εἶτα δὲ καὶ σύας ἀγρίους ἔθυον αὐτῇ διὰ τὴν κατὰ Ἀδώνιδος ἐπιβουλήν, τῇ πρὸ τεσσάρων νωνῶν ἤγουν τῇ δευτέρᾳ ἡμέρᾳ τοῦ Ἀπριλίου.

p. 92

4 πολιτῆχον V. 7 ἔκ του Hasius pro ἐκ τοῦ 8 διειδίστατος libri.

dicatum esse — — ita igitur Graeci. Romani autem Aprilem eum quasi aperilem (velut qui aperit tempus) dicunt: inclusi enim ut voluptatem — in hymnis autem prope trecentis nominibus reperimus vocari Venerem. Phoenices autem Astarten, suarum urbium praesidem, quasi stellatam vel urbis virtutem, esse Venerem volunt. ex Libano enim (mons autem ibi est qui ex oppido quodam ad Libanum sito ita nominatur) duo fluvii in mare effunduntur, quorum maior et magis perspicuus Adonis, minor et magis terrosus Mars appellatur. cum igitur Adonis totus immisceatur mari, videtur magis ille amari a Venere, pro mari.

45. Kalendis igitur Aprilibus nobiles feminae pro concordia et vita honesta colebant Venerem: plebeiae autem mulieres in virorum balneis lavabant, in honorem illius myrto coronatae, vel quod myrtus accommodata infantibus est (corroborat enim corpora infantium recens natorum et prae ceteris perpetuo virentibus plantis optime olet myrtus), vel quod sola inter plantas gaudet mari. colebatur autem Venus iisdem victimis quibus et Iuno: in Cypro autem ovem pelle ovilla involutam una immolabant Veneri (disciplina autem sacerdotii in Cyprum a Corintho olim perlata est); postea vero et apros ei immolabant propter insidias ab hac bestia in Adonidem factas, a. d. 4 Nonas, i. e. die secundo Aprilis.

46. Τῇ πρὸ τριῶν νωνῶν Ἀπριλίων Ἡρακλῆς ἐπινίκιος ἐτιμᾶτο, οἷα ὑγείας δοτήρ. καὶ ῥαφάνων νόμος κατὰ τὸν μῆνα τοῦτον ἀπέχεσθαι Ῥωμαίοις. Ἡρακλῆς δὲ ὁ χρόνος παρὰ τῷ Νικομάχῳ εἴρηται, ἀλλὰ μὴν καὶ ἥλιος, λέγοντι οὕτως "Ἡρακλῆς p. 93
μὲν οὖν ὁ τὴν περὶ τὸν ἀέρα κλάσιν τῇ τῶν ὡρῶν περιτροπῇ ποιούμενος, τουτέστιν ἥλιος." διὸ δὴ καὶ ἐν τοῖς τούτου μυστηρίοις τοὺς ἄρρενας γυναικείαις στολαῖς κοσμοῦσιν, ἅτε δὴ ἐξ ἀγριότητος καὶ ἀγονίας τῆς κατὰ τὸν χειμῶνα ἀρχομένου τοῦ σπερματικοῦ τόκου θηλύνεσθαι. καὶ ταῦτα μὲν τῷ ἔαρι ἐτέλουν. τρία δὲ αὐτῷ μῆλα ἐν τῇ λαιᾷ ταῖν χεροῖν τῆς χρόνου δι' αὐτοῦ ἀναμερίσεως σύμβολον· μῆλον μὲν γὰρ διὰ τὴν πρὸς τὸν καιρὸν αὐτοῦ συμπάθειαν, ἀρχὴ δὲ χρόνου ἐαρινὴ τροπή. καὶ ἄλλως δὲ τρία, ὅτι τριμερὴς ὁ χρόνος. ἀνάγειν δὲ λέγεται τὸν κύνα τὸν τρικέφαλον ἐκ τοῦ Ἅιδου, ὅτι φρουρητικὸς καὶ λυμαντικὸς ὁ χρόνος ὥσπερ δὴ καὶ ὁ κύων. τριῖς δὲ αὐτῷ κεφαλαί, ὅ τε παρελθὼν καὶ ὁ ἐνεστὼς καὶ ὁ μέλλων καιρός. καὶ ἄλλως δὲ τὰ τρία μῆλα ληπτέον ἐπὶ Ἡρακλέους κατὰ φιλόσοφον δόγμα, ὅτι τὰς τρεῖς περιόδους ὁ ἥρως ἀνύσας τοῦ πρακτικοῦ βίου τέλειος εἶναι δοκεῖ. ταύτῃ καὶ τριέσπερος λέγεται κατὰ Λυκόφρονα· φησὶ γάρ" τριεσπέρου λέοντος, ὃν ποτε γνάθοις Τρίτωνος ἡμάλαψε κάρχαρος κύων." τὸ γὰρ τρισὶ νυξὶν ἐσπάρθαι τὸν Ἡρακλέα μυθικόν ἐστιν. Ἥβην δὲ καλλίσφυρον

1 Ἀπριλίων om P. ἐπίνικος P. 4 λέγων PV: corr S. 5 κράσιν Hasius. 8 ἀγονίας Creuzerus: ἀγορίας V. 16 μῆλα add P. 19 Lycophron 33.

46. A. d. 3 Nonas Apriles Hercules Victor colebatur, tanquam sanitatis dator. et raphanis hoc mense abstinere Romanis mos erat. Hercules autem tempus a Nicomacho dictus est, verum et sol, ita dicente: "Hercules igitur is est, qui fractionem quae in aëre fit tempestatum conversione efficit, id est sol." hanc nimirum ob causam et in eius mysteriis mares femineis vestibus ornant, quippe cum post feritatem et infecunditatem quae hieme obtinet incipiat germen seminale emolliri. et haec veri tribuebant. tria autem ei mala in manu sinistra, temporis quae per eum fit partitionis signum: malum enim ob eius cum tempestate consensum, initium autem temporis solstitium vernum. et praeterea tria, quoniam tripartitum tempus. educere autem dicitur canem tricipitem ex Tartaro, quod proprium est temporis ut custodiat et corrumpat, quemadmodum nimirum et canis: tria autem ei capita sunt, praeteritum praesens et futurum tempus. et praeterea tria mala accipienda in Hercule ex placito philosophico, quod tribus periodis vitae operosae peractis heros perfectus esse videtur. quare et trinoctius vocatur, auctore Lycophrone; dicit enim "trinoctii leonis, quem olim maxillis Tritonis perdidit asper canis." tribus enim noctibus generatum esse Herculem fabulosum est. Heben autem pulchros talos (s. pedes)

αὐτῷ δίδωσιν οἱονεὶ τὴν δημιουργικὴν δύναμιν καὶ τὸ καλὸν τὸ ἐγκόσμιον. ὁ δὲ στέφανος τελειότητος δεῖγμά ἐστι· διὸ δὴ θεοῖς
p. 94 καὶ βασιλεῦσι καὶ ἱερεῦσιν ἐδίδοτο πρώτως· τῆς δὲ τύχης ἀφελομένης παρὰ τῆς ἀρετῆς τὸν στέφανον, οἱ ἱερεῖς τὸ λοιπὸν ἀποκειρόμενοι τὴν κόμην κύκλον τινὰ τριχῶν ἀντὶ στεφάνου τῇ κεφαλῇ περιποιοῦσι. δωδεκάμοχθόν γε μὴν αὐτὸν φασι διὰ τὸ τὰ δώδεκα ζώδια ἐκτρέχειν. καὶ τὴν Ἄλκηστιν δὲ τῷ Ἀδμήτῳ ἀναψυχώσας ἀποδίδωσιν, οἷον τῷ κόσμῳ τὴν ζωογόνον φύσιν ἐν τῷ χειμῶνι κατανεκρωθεῖσαν ὁ ἥλιος ἀποκαθιστῶν· Ἄδμητος γὰρ ὁ κόσμος παρὰ τὸ ἀκάμαντα εἶναι καὶ ἀεῖζωον. Αὐγέαν δὲ διαφθεῖραι λέγεται· καὶ γὰρ ἀνίσχων ὁ ἥλιος τὸν ὄρθριον διασκορπίζει καιρόν, ὃν οἱ πολλοὶ αὐγὴν ὀνομάζουσιν. ὑπὸ δὲ Εὐρυσθέως προστάττεται ὁ Ἡρακλῆς τοὺς δυσκαίδεκα ἄθλους ἐκτελεῖν, ἀντὶ τοῦ ὁ ἥλιος κελεύσει τοῦ μεγάλου θεοῦ, ἀντιβαινούσης τῆς Ἥρας (οἱονεὶ τῆς σφαίρας), ἀντίρροπος αὐτῇ τὸν δωδεκαζώδιον διαφεύγει οὐρανόν. οὕτως μὲν οἱ φιλόσοφοι. ἀπὸ δὲ τῶν ἱστοριῶν εὑρίσκομεν ἑπτὰ Ἡρακλεῖς γενέσθαι, πρῶτον Διὸς τοῦ Αἰθέρος καὶ Ἀνσιθόης τῆς Ὠκεανοῦ, δεύτερον Νείλου παῖδα, τρίτον Ἕλληνος τοῦ Διὸς καὶ Νύμφης Ἀγχιάλης, τέταρτον Διὸς καὶ Θήβης τῆς Αἰγυπτίας, πέμπτον Λιβάνου καὶ Νύσης τὸν ἐν Ἰνδοῖς γενόμενον, ἕκτον Διὸς καὶ Ἀλκμήνης, ἕβδομον Διὸς καὶ Μαίας τῆς Ἀτλαντος.

1 fort. διδόασιν. Roetherus. 4 ἀποκειράμενοι P. 7 ἀναψυχώσας P: apud S ἀναψυχώσαν. 20 λιβάνου] τὸν λιβάνου V, τοῦ λιβάνου P. νύσης τὸν ἐν ἰουλοῖς P.

habentem ei attribuit (*fort.* attribuunt), tanquam vim creatricem, et pulchrum quod in mundo est. corona autem perfectionis signum est; quare diis ac regibus et sacerdotibus tribuebatur primum: fortuna autem postquam abripuit a virtute coronam, sacerdotes in posterum tondentes capillum orbem crinium pro corona circum caput faciunt. duodecim autem eum exantlasse labores dicunt, quod duodecim signa caelestia percurrit. et vero Alcestin in vitam revocatam Admeto reddit, velut mundo naturam generandi vi praeditam per hiemem exstinctam sol restituit: Admetus enim mundus, eo quod indefessus est et semper viget. Augiam autem perdere dicitur: etenim oriens sol matutinum dissipat tempus, quod vulgus *αὐγήν* vocat. ab Eurystheo autem iubetur Hercules duodecim labores exantlare, pro sol iussu magni dei, refragante Iunone (quasi sphaera), in contrariam partem vergens, per caelum duodecim signis distinctum fugit. ita fere philosophi. ex historiis autem invenimus septem Hercules fuisse, primum Iove Aetheris filio et Lysithoa Oceani filia natum; alterum Nilo; tertium Hellene Iovis filio et Nympha Anchiale; quartum Iovis et Thebes Aegyptiae filium; quintum Libani et Nyssae, eum qui in Indis natus est; sextum Iove et Alcumena procreatum; septimum Iovis et Maiae Atlantis filiae.

47. ἡ δὲ Μίλητος τὸ πρὶν ἐκαλεῖτο Ἀνακτορία.

48. Ἀμάλθειαν δὲ τροφὸν Διός, τὴν [τοῦ] ἅμα καὶ ἅθρόως p. 95
καὶ ἑνὶ χρόνῳ τὰ ὄντα τῷ Διὶ αὔξουσαν· ἄλθειν γὰρ τὸ αὔξειν. Κράτης δὲ ἀπὸ τοῦ διαίνειν, τουτέστι πιαίνειν, τὴν γῆν βούλεται ὀνομασθῆναι τὸν Δία τὸν εἰς πάντα διήκοντα· Ποσειδώνιος τὸν Δία τὸν πάντα διοικοῦντα, Χρύσιππος δὲ διὰ τὸ δι' αὐτὸν εἶναι τὰ πάντα. ἄλλοι τὸν Δία βούλονται ὀνομασθῆναι ἀπὸ τοῦ δεῖν, τουτέστι δεσμεύειν καὶ συνέχειν, τὸ σύμπαν αἰσθητόν· ἄλλοι ἀπὸ τοῦ ζῆν. τινὲς δὲ κατὰ τὸν ἡρωϊκὸν καὶ μεριστὸν λόγον τρεῖς Δίας εἶναι βούλονται, ἕνα μὲν Αἰθέρος, τὸν δὲ ἕτερον ἐν Ἀρκαδίᾳ τεχθῆναι, ἐξ οὗ φασὶν Ἀθηνᾶν, τρίτον δὲ τὸν Κρῆτα. οἱ δὲ Φοίνικες βασιλέα φασὶν αὐτὸν γενέσθαι δικαιότατον, ὥστε τὴν περὶ αὐτοῦ δόξαν κρείττονα γενέσθαι τοῦ χρόνου. ταύτῃ Κρόνον ἐκβα- p. 96
λεῖν τῆς βασιλείας λέγεται, οἱονεὶ τὸν χρόνον, καὶ τὴν ἐξ αὐτοῦ λήθην ὑπερβαλεῖν. ὁ δὲ Μηλίας ὑπὸ Ἀμαλθείας αὐτὸν τραφῆναι, οἷον ἐκ τῆς δυνάμεως, τουτέστιν ἐκ τῆς ἀμαλακίας. ὁ δὲ Κράτης τὸν Κρόνον φησὶ Σικελίας καὶ Ἰταλίας καὶ τοῦ πλείστου μέρους τῆς Λιβύης βασιλεῦσαι ἀπηνῶς, τὸν δὲ τούτου υἱὸν ἐπιθέσθαι τῷ πατρί, καὶ αὐτὸν μὲν εἰς ἔσχατον ἐλάσαι τῆς δύσεως, ἡμερώτατα δὲ τῆς βασιλείας ἀντιλαβέσθαι καὶ διὰ τοῦτο τιμηθῆναι ὡς θεόν. Ἐρατοσθένης γε μὴν τὸν Δία ἐν τῇ Κρήτῃ τεχθῆναι λέγει, κἀκεῖθεν διὰ τὸν Κρόνου φόβον μετενεχθῆναι εἰς Νάξον. Εὔμηλος

5 διοικοῦντα P. 9 ξεῖν V. 14 τοῦ χρόνου vulgo. 16 ἀμαλακιστίας Roetherus. 18 ἐπιθέσθαι Roetherus: libri πείθεσθαι. 20 καὶ αὐτὸν διὰ P.

47. Miletus antea vocabatur Anactoria.

48. Amaltheam nutricem Iovis vocabant tanquam eam, quae simul et semel et uno eodemque tempore ea quae sunt Iovi auget: ἄλθειν enim *augere* est. Crates autem a pinguefaciendo terram vult nominatum Iovem, eum qui per omnia pertinet: Posidonius *Δία* tanquam eum qui universa administrat; Chrysippus vero propterea quod δι' per eum sunt universa. alii *Δία* volunt nominatum a coniungendo et continendo omnia quae sensibus subiecta sunt; alii a vivendo. nonnulli autem ex heroica et separabili doctrina tres Ioves esse volunt, unum Aetheris filium, alterum in Arcadia natum, ex quo Minervam dicunt procreatam, tertium Cretensem. Phoenices autem regem dicunt eum fuisse iustissimum, ut eius fama superaverit tempus. ideoque Saturnum eiecisse ex regno dicitur, quasi ex tempore, et eam quae inde oritur oblivionem superasse. Melias ab Amaltheа eum nutritum ait, tanquam a vi, id est a duritie. Crates autem Saturnum dicit in Sicilia et Italia et maiore Libyae parte regnasse crudeliter, eius autem filium invasisse patrem eumque in extremas occidentis partes expulisse, lenissime autem capessivisse regnum ideoque cultum esse ut deum. Eratosthenes vero Iovem in Creta natum ait, indeque ob Saturni metum translatum in Naxum.

δὲ ὁ Κορίνθιος τὸν Δία ἐν τῇ καθ' ἡμᾶς Λυδίᾳ τεχθῆναι βούλεται, καὶ μᾶλλον ἀληθεύει ὅσον ἐν ἱστορίᾳ· ἔτι γὰρ καὶ νῦν πρὸς τῷ δυτικῷ τῆς Σαρδιανῶν πόλεως μέρει ἐπ' ἀκρωρείας τοῦ Τμώλου τόπος ἐστίν, ὃς πάλαι μὲν Γοναὶ Διὸς ὑετίου, νῦν δὲ παρατραπείσης τῷ χρόνῳ τῆς λέξεως Δευσίου προσαγορεύεται. — — φύλακες ἦσαν οἱ Κούρητες. ἄλλοι Προμηθέως φασὶν εἶναι υἱόν, οἱονεὶ τῆς προνοίας. οἱ δὲ πλεῖστοι τῶν φυσικῶν τὸν Δία Ἰδαῖον εἶναι βούλονται, καὶ τεχθῆναι ἐν τῇ Ἴδῃ, τουτέστιν ἐν τῷ παρὰ Ἴδῃ ὁρωμένῳ οὐρανῷ. τῆς δὲ Κόρης πατέρα αὐτόν φασιν, τουτέστι τοῦ κόρου καὶ τῆς εὐωχίας αἴτιον αὐτὸν γενέσθαι· πρῶτος γὰρ βασιλεύσας λέγεται τοὺς ἀνθρώπους διδάξαι γεωργεῖν. πολλοὶ δὲ ἐκ τοῦ ὅλου Διὸς Δῖοι, ὥσπερ Ἀπόλλωνες ἢ Διόνυσοι.

p. 97

49. τῇ πρὸ δεκαεπτὰ καλανδῶν Μαΐων οἱ ἀρχιερεῖς ἐπὶ τὸ θέατρον γενόμενοι ἄνθη ἐπὶ τὸν δῆμον ἐρρίπτουν, καὶ περὶ τὰ σπόριμα δὲ ὑπὲρ εὐετηρίας ἱεράτευον, καὶ ἔξωθεν τῆς πόλεως ἐπὶ ὡρισμένους σταθμοὺς ἠύχοντο ἱερατεύοντες Δήμητρι· ὄνομα δὲ τῇ θυσίᾳ Φορδικάλια. τοὺς γε μὴν σταθμοὺς μιλιάρια πατρίως ἐκάλουν ἀπὸ τῆς χιλιάδος τῶν βημάτων. ὅθεν καὶ μίλιτες οἱ στρατιῶται παρ' αὐτοῖς· χιλίους γὰρ ὑπασπιστὰς ὁ Ῥωμύλος μόνους ἔταξε, καὶ μίλιτας αὐτοὺς ἀπὸ τοῦ ἀριθμοῦ ἐκάλεσεν οἱονεὶ χιλίους, τὸ πρὶν σαβέλλιτας προσαγορευομένους. καὶ γὰρ ἐν χιλιάσι τὸ πλῆθος, οὐ μυριάσιν ἡ παλαιότης ἠρίθμησεν, ὡς αὐτὸς Ὅμηρος

3 μέρει Iacobs: libri μένει. 5 τῆς add P. δεύσιον margo V.
7 Ἰδαῖον] ἤδιον V. 8 παρὰ ἤδιον V. 17 φορκιδάλια V.
21 σαβέλιτας P, σατέλλιτας Roetherus.

Eumelus autem Corinthius Iovem in nostra Lydia natum vult, et propius a veritate abest, quoad in historia (positum est): etiam enim nunc in Sardianorum urbis parte occidentali in vertice Tmoli locus est, qui olim i. e. locus natalis Iovis Pluvii, nunc autem, immutato per temporis decursum nomine, Deusium appellatur. — — custodes erant Curetes. alii Promethei dicunt eum esse filium, quasi providentiae. plurimi autem physicorum Iovem Idaeum esse volunt, et natum in Ida, hoc est in ea caeli parte quae ex Ida cernitur. Proserpinae autem patrem eum dicunt, id est satietatis et epuli auctorem eum fuisse: primus enim, cum rex esset, dicitur homines docuisse agriculturam. multi autem ex toto (solo?) Iove (fiunt) Iovei, quemadmodum Apollines vel Bacchi.

49. A. d. 17 Kalendas Maias pontifices theatrum ingressi flores populo spargebant, et circa sementem vero pro fertilitate sacra faciebant, atque extra urbem ad certas stationes precabantur sacra facientes Cereri: nomen autem huic sacrificio Fordicalia. stationes vero miliaria patrio sermone vocabant, a mille passibus; unde et milites apud eos (nomen traxerunt): mille enim stipatores Romulus solos instituit, et milites eos a numero vocavit (velut mille), cum antea satellites appellarentur: etenim millenario numero multitudinem, non decies millenario,

"ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι." ὁ γὰρ μύρια ἀριθμὸς ἀοριστίας ἐστὶ δεκτικός.

50. τῇ πρὸ δεκαμιᾶς καλανδῶν Μαΐων ὁ Ῥωμύλος τὴν Ῥώμην ἐπόλισε, πάντας τοὺς πλησιοχώρους συγκαλεσάμενος, ἐν- p. 98
στειλάμενός τε αὐτοῖς ἐκ τῆς ἑαυτῶν χώρας βῶλον ἐπικομίσασθαι, ταύτῃ πάσης χώρας δεσπόσαι τὴν Ῥώμην οἰωνιζόμενος. αὐτός τε ἱερατικὴν σάλπιγγα ἀναλαβὼν (λίτουον δ' αὐτὴν πατρίως Ῥωμαίοις ἔθος καλεῖν, ἀπὸ τῆς λιτῆς) ἐξεφώνησε τὸ τῆς πόλεως ὄνομα, πάσης ἱερατικῆς τελετῆς ἡγησάμενος. ὀνόματα δὲ τῇ πόλει τρία, τελεστικὸν ἱερατικὸν πολιτικόν, τελεστικὸν μὲν οἱονεὶ Ἔρως, ὥστε πάντας ἔρωτι θείῳ περὶ τὴν πόλιν κατέχεσθαι, (διὸ καὶ Ἀμαρυλλίδα τὴν πόλιν ὁ ποιητὴς αἰνιγματωδῶς βουκολιάζων καλεῖ), ἱερατικὸν δὲ Φλῶρα, οἱονεὶ ἄνθουσα, ὅθεν κατὰ ταύτην ἡ τῶν ἀνθεστηρίων ἑορτή, πολιτικὸν δὲ Ῥῶμα. καὶ τὸ μὲν ἱερατικὸν πᾶσιν ἦν δῆλον καὶ ἀδεῶς ἐξεφέρετο, τὸ δὲ τελεστικὸν μόνοις τοῖς ἀρχιερεῦσιν ἐξάγειν ἐπὶ τῶν ἱερῶν ἐπετέτραπτο· καὶ λόγος ποινὰς ὑποσχεῖν τινὰ τῶν ἐν τέλει ποτὲ ἀνθ' ὧν ἐπὶ τοῦ πλήθους τὸ τελεστικὸν ὄνομα τῆς πόλεως ἀναφανδὸν ἐθάρρησεν ἐξειπεῖν. μετὰ δὲ τὴν ἐπὶ τῇ ἀναγορεύσει τῆς πόλεως τελετὴν ζεύξας ταῦρον μετὰ δαμάλεως περιῆλθε τὸ τεῖχος, τὸν μὲν ἄρρενα ἐπὶ τὴν τοῦ πεδίου πλευρὰν ζεύξας, τὴν δὲ θήλειαν ἐπὶ τὸ τῆς πόλεως μέρος, ὥστε τοὺς μὲν ἄρρενας τοῖς ἔξω γίνεσθαι φοβερούς, τὰς δὲ θηλείας τοῖς ἔνδον γονίμους. καὶ λαβὼν βῶλον ἐκ τῶν ἔξω τῆς πόλεως μερῶν

1 ἐννεαχίλιοι — δεκαχίλιοι V. 17 ποτὲ] τούτου P.

antiquitas numerabat, ut ipse Homerus "quantum novies mille clamabant vel decies mille." decies enim mille numerus infinitatem admittit.

50. A. d. 11 Kalendas Maias Romulus Romam condidit, postquam omnes accolas convocavit inssitque eos ex ipsorum terra glebam afferre, hac re omnibus terris imperaturam Romam augurans: et ipse sumpta tuba sacerdotali (lituum autem eam patrio sermone Romani vocare solent, a voce λιτή i. e. precatio) pronuntiavit urbis nomen, omnem sacerdotalem initiationem auspicatus. nomina autem urbi tria erant, arcanum, sacerdotale, politicum: arcanum, velut Amor, ut omnes amore divino circa urbem tenerentur, unde et Amaryllida urbem poëta per ambages in carmine bucolico vocat; sacerdotale, Flora, velut florens, unde hoc die Floralium feriae; politicum autem Roma. et sacerdotale omnibus erat notum et libere efferebatur, arcanum vero solis pontificibus proferre in sacris permissum erat; et fama est poenas quondam luisse quendam magistratuum propterea quod coram populo nomen arcanum urbis palam conatus esset eloqui. post initiationem autem quae fiebat in nomine urbi indendo, iuncto tauro cum iuvenca circumiit murum, mare adversus agri partem iuncto, femina adversus urbis partem, ut mares exteris fierent timendi, feminae domesticis fecundae; et sumptam

σὺν καὶ τοῖς πρὸς τῶν ἄλλων ἐπικομιζομένοις ἐπὶ τὴν πόλιν ἠκόν-
p. 99 τιζε, ταύτῃ οἰωνισάμενος διὰ παντὸς αὐτὴν ἐκ τῆς τῶν ἔξωθεν ἐπαυξηθῆναι συνδόσεως, καὶ μετ' ὀλίγα. πολλῶν δὲ ξένων συνελθόντων ἐν αὐτῇ, οἱ τοῦ Ῥωμύλου λογάδες τὴν ἡμίσειαν τῆς ἑαυτῶν κτήσεως τοῖς ἐπήλυσι παρεχώρησαν, οἰκῆσαι τὴν Ῥώμην αὐτοὺς πείσαντες· οὓς ὁ Ῥωμύλος πατρικίους πρώτους ἀνηγόρευσε διὰ τὸ εὐπατρίδας γενέσθαι καὶ τὴν ἑαυτῶν περιουσίαν τοῖς ξένοις ὑπὲρ τῆς πατρίδος ἐπιδοῦναι.

Ἰλία ἡ τοῦ Ῥωμύλου μήτηρ.

51. Ἐκ μὲν τῆς ὁποιασοῦν πρὸς ἔνια τῶν ξύλων παρατρίψεως κόρεις γίνονται, ἐκ δὲ παντὸς οὔρου ψύλλαι, μυῖαι δὲ ἐξ ἀποπάτου ἢ καὶ ἄλλης θερμασίας. Ῥώμη Φλῶρα καὶ ἡ Κωνσταντινούπολις ἤγουν, ἀνθοῦσα.

ΜΑΙΟΣ.

52. Οὐ μικρὰν ἐν ἀριθμοῖς ἐδείκνυμεν τὴν τῆς τετράδος δύναμιν, ἣν ἄν τις καὶ τετρακτὺν καὶ πυραμίδα καλέσοι, τετρακτὺν μὲν κατὰ τὸν τῶν στοιχείων ὅρον, πυραμίδα δὲ κατὰ τὸν ἐν θεωρίᾳ λόγον· ἡ γὰρ πυραμὶς ὑπὸ τεσσάρων βάσεων καὶ τεσσάρων γωνιῶν μόνη περιεχομένη, καὶ πρώτη τριχῇ διαστάτη κατὰ τὸ στοιχειωδέστατον τοῦ τριγώνου ἐπίπεδον, ὡς ὁ Πλάτων ἐν Τι-

10 τῆς ἀνοῦν V, τῆς ἀνθρώπων Hasius. 15 τριάδος P.
19 τριχηλιαστάτη V, τριχιλιαστάτη P: corr Nokkius.

glebam ab exteris urbis partibus una cum iis quae a reliquis afferebantur adversus urbem coniiciebat, hac re auguratus perpetuo eam extraneorum confluxu auctum iri, idque non multo post. multi autem hospites ubi convenerunt in eam, Romuli milites electi partem dimidiam suae possessionis adventiciis concesserunt, posteaquam iis persuaserunt ut incolerent Romam; quos Romulus patricios primos nuncupavit, propterea quod nobiles fuerunt et suas facultates exteris pro patria concesserunt.

Ilia, Romuli mater.

51. Ex quovis ad nonnulla ligna affricta cimices fiunt, ex omni urina pulices, muscae vero ex alvo aliove tepore. Roma Flora (vocatur) et Cpolis, id est florens.

MAIUS.

52. Haud parvam in numeris demonstravimus tetradis esse vim, quam quis et quaternionem et pyramidem vocaverit, quaternionem ex elementorum termino, pyramidem ex ratione, quae in doctrina obtinet: pyramis enim, quae quattuor basibus et quattuor angulis sola continetur, et prima triplici modo distat iuxta simplicissimam trianguli planitiem,

μαίῳ φησίν, ἐμφερῆ τὴν συνεκτικὴν τοῦ παντὸς ἐνδείκνυται τάξιν. λείπεται ὁ πέμπτος· Μάϊον δὲ αὐτὸν οἱ Ῥωμαῖοι καλοῦσιν.

Ἐπειδὴ δέ, ὡς πολλάκις εἰρήκαμεν, ὁ τῆς πεντάδος ἀρι- p. 100
θμὸς τῶν θειοτέρων κατὰ τὸν Ἡσίοδον κεχώρισται, εἰκὸς ἦν αὐτὸν τοῖς κατοιχομένοις ἀπονεμηθῆναι. ἡ γὰρ πεντὰς τῇ αἰσθητῇ φύσει ἀνάκειται, σφαῖρα γάρ ἐστιν· ὁσάκις γὰρ ἂν τὸν πέντε πολυπλασιάσῃ τις ἀριθμόν, εἰς ἑαυτὸν ἀποκαταστήσεται· καὶ γὰρ ὁ πέντε παρεπόμενος τοῖς ἐν πλήθει ἀριθμοῖς εἰς τὴν αὐτὴν καὶ πολυπλασιαζόμενος καταλήγει ποσότητα. καὶ ἄλλως δὲ φαίνεται φυσικήν τινα δύναμιν ἐν ἑαυτῷ ὁ πέντε περιλαβὼν ἀριθμούς· τῶν γὰρ ἐν γενέσει ἐξ ἀρτίου καὶ περιττοῦ συνιστώντων, αὐτὸς εἶναι τοιοῦτος πέφυκεν ἐκ τριάδος καὶ δυάδος συναγόμενος. ταύτῃ γοῦν ταῖς τῶν προγόνων τιμαῖς οἱ Ῥωμαῖοι τὸν πέμπτον ἀνέφερον μῆνα, τῷ μὲν ἀρτίῳ τοὺς κατοιχομένους τιμῶντες, τῷ δὲ περιττῷ τοὺς ἔτι σωζομένους· μετὰ γὰρ θεοὺς οὐχ ἥττονα τιμὴν τοῖς ἑαυτῶν προγόνοις εἰσέφερον οἱ πάλαι. Μάϊον δὲ μῆνα ἐκ τῆς ἐκείνων τιμῆς ὠνόμασαν, πατρίῳ καλοῦντες τὴν τιμήν. οἱ δὲ ἀπὸ τῆς Μαίας τῆς Ἄτλαντος τῆς Ἑρμοῦ ἀξιοῦντες ὀνομασθῆναι τὸν Μάϊον πρὸς ἕτερον βλέποντες οὕτω φασίν, ἀλλὰ μὴν καὶ διὰ τὸ ἱερὸν αὐτῆς, ὅτι κατὰ τοῦτον τὸν μῆνα ἱεροῦσθαι λέγεται. περὶ δὲ ὁ Πρόκλος p. 101
φησὶν οὕτως· "ἡ Μαΐα ἐστιν ἡ τὰ ἐν ἀφανεῖ κεκρυμμένα εἰς τὸ ἐμφανὲς προάγουσα παραπλησίως ταῖς τῇδε μαίαις, Ἑρμῆς δὲ

20 δὲ] δὲ τῆς *Maiας* S, δὲ αὐτῆς Roetherus. possis ἧς. 21 ἡ ante *Maῖα* om P.

ut ait Plato in Timaeo, similem continentem universi indicat ordinem. restat quintus mensis: Maium eum Romani vocant.

Cum autem, ut saepe diximus, quinarius numerus a divinioribus, teste Hesiodo, remotus sit, consentaneum erat ut defunctis attribueretur. pentas enim naturae sensibus subiectae consecrata est; sphaera enim est: quoties enim cunque aliquis quinarium multiplicaverit numerum, in se ipsum recurret: etenim quinarius numerus, consequens numeros eos qui ad multitudinem pertinent, in eandem, etiam si multiplicetur, desinit quantitatem. et praeterea videtur naturalem quandam vim in se quinarius continere nnmerus: res enim generatae cum ex pari et impari constent, ipse talis natura est, qui ex triade et dyade componatur. hanc igitur ob causam maiorum honoribus Romani quintum dicarunt mensem, pari numero defunctos colentes, impari superstites: post deos enim non minorem maioribus suis veteres tribuebant honorem; Maium autem mensem ex illorum honore nominarunt, patrio sermone vocantes honorem. qui vero a Maia Atlantis filia, Mercurii matre, volunt nominatum Maium, ad aliud quippiam respicientes ita dicunt, verum etiam propter illius fanum, quod hoc mense sacratum dicitur. de hac autem Proclus loquitur ita: "Maia ea est quae abdita in occulto in lucem profert, similiter atque eae quae hic sunt (i. e. terrestres) *maiai* (i. e.

ἐκείνης παῖς ὁ λόγος ἦκων διὰ πάντων, ὃς τὴν ἐν τῷ ἀφανεῖ τῶν ὄντων περιοχὴν ἐν διαστάσει καὶ προνοίᾳ λόγων ἀϊδίως πρώτως ἐξέφηνεν, εἰρμὸν καὶ συνέχειαν καὶ ἀλληλουχίαν ποιήσας ὡς ἐκφαντικὸς τῶν παρ' ἡμῖν τῆς ψυχῆς ἀδήλων παθημάτων." ὁ δὲ Ἀκυλῖνος ἐν τῷ ὑπομνήματι τῶν ἀριθμῶν οὕτω φησίν· "ἡ Μαῖα ἀντὶ αὐτῆς ἐς τοὐμφανὲς προδοῦσά ἐστι, κυρίου μὲν τοῦ λόγου τοῦ διὰ πάντων πεφυκότος διατακτικοῦ τῶν ὄντων, διὸ δὴ καὶ Ἑρμοῦ μητέρα φασί. τοιαύτη δὲ ἡ νοητὴ ὕλη τὸ κατακοσμεῖν τὴν εἰς τὸ ἐμφανὲς πρόοδον καὶ γένεσιν ἀπεργάζεσθαι τῶν ὄντων· ἐκ γὰρ ὕλης καὶ εἴδους τὰ ὄντα." οὕτως μὲν κατὰ θεολογίαν, κατὰ δὲ τὸν τῆς φυσιολογίας τρόπον τὴν Μαῖαν οἱ πολλοὶ τὸ ὕδωρ εἶναι βούλονται· καὶ γὰρ παρὰ τοῖς Σύροις βαρβαρίζουσιν οὕτως ἔτι καὶ νῦν τὸ ὕδωρ προσαγορεύεται, ὡς καὶ μῆουρι τὰ ὑδροφόρα καλεῖσθαι. καὶ οὐκ ἔξω λόγου ὁ Βάρρων φαίνεται ὡς καὶ μῆνα ἀναθέμενος αὐτῇ· κινήσει γὰρ τοῦ ὑποβρυχίου ὕδατος γίνεσθαι σάλον τοῖς φιλοσόφοις δοκεῖ, πρώτη δὲ ἑορτὴ τοῦ Μαΐου παρὰ Ῥωμαίοις αἱ περὶ σεισμῶν ἱκεσίαι. ταύτῃ γὰρ Ἄτλαντος παῖδα τὴν Μαῖαν οἱ μυθικοὶ ποιοῦσι, καὶ ἔφορον δὲ τῶν ὑδάτων τὸν Ἑρμῆν εἶναι παραλαμβάνομεν, καὶ διὰ ταύτην τὴν αἰτίαν ἐν τοῖς αὐτοῦ πηγαὶ ἀνατίθενται ἢ φρέατα ὀρύττεται.

p. 102 Εἰσὶ δὲ οἳ φασι Διὸς καὶ Μαίας τὸν Ἑρμῆν εἶναι ἀλληγορι-

3 ἐκφαντικὸν V. 4 ἀκυλλίνος P. 5 ἀντὶ αὐτῆς] τὸ ἀφανὲς Creuzerus. 13 προσαγορεύεται om P. καὶ om P. 19 πάλαι λαμβάνομεν margo V.

obstetrices); Mercurius autem illius filius ratio per universa pertinens, qui eum qui est in occulto rerum complexum in distantia et providentia verborum ab aeterno primum patefecit, nexu et coniunctione mutuaque cohaerentia facta, et quae enuntiat occultas nostras animi affectiones." Aquilinus autem in Commentario numerorum ita dicit: "Maia ea est quae — — in apertum prodidit, cum dominetur ratio extensa natura per omnia quae sunt, unde nimirum et Mercurii matrem dicunt. talis autem materia est ea quae mente percipitur, ut componat exitum in lucem et generationem afficiat rerum: ex materia enim et forma res constant." ita quidem iuxta theologiam. ex physiologiae autem ratione Maiam multi aquam esse volunt: etenim apud Syros barbare loquentes ita etiam nunc aqua appellatur, ut et *meiuri* aquae ductus vocentur. nec absque ratione Varro egisse videtur, ut qui et mensem illi attribuit: motu enim eius quae in profundo est aquae existere agitatio philosophis videtur; primae autem Maii feriae apud Romanos preces pro avertendis terrae motibus. ideo enim Atlantis filiam Maiam mythici faciunt, et praesidem vero aquarum Mercurium esse accipimus, et hanc ob causam in eius fanis fontes consecrantur aut putei fodiuntur.

Sunt autem qui dicant Iovis et Maiae Mercurium esse ex allegoria

κῶς υἱόν, νοῦν μὲν εἶναι τὸν Δία, Μαῖαν δὲ τὴν φρόνησιν, παῖδα δὲ ἐξ ἀμφοῖν Ἑρμῆν λόγιον αἰνιττόμενοι. πάντων δὲ νεώτατον εἰργάσαντο ἅτε δὴ μὴ γηράσκοντος τοῦ λόγου. ἔτι μὴν ὠκύτατον πεποίηνται τοῦτον ταρσώσαντες πτεροῖς, νοῦ ὀξύτητα καὶ τάχος λόγου διὰ τῆς τοιᾶσδε τέχνης αἰνιττόμενοι· ὁ γοῦν ποιητὴς φησιν "ἔπεα πτερόεντα." εἶτα δὲ τετράγωνον σχήματι Ἕλληνες ἀναπλάττουσι τοῦτον, τεκμήριον μέγιστον παρεχόμενοι λόγον εἶναι τοῦτον, καὶ λόγον ἀληθῆ· ἔστι γὰρ καὶ λόγου σχήματα, ὁ μὲν ψευδὴς λόγος, ὃ δὲ ἀπατηλὸς πολυγωνότερος, ὁ δὲ ἀληθὴς αὐτὸς ἑαυτῷ ἐκ πάντων μερῶν ἴσος, ὅπου δὲ στρέφοιτο πάσαις βάσεσιν ἀορίστως στηρίζεται, ὃ δὴ τετραγωνικὸν σχῆμα τυγχάνει. εἰ τοίνυν νοῦς καὶ λόγος εἶναι δέδεικται, τούτῳ τὸν κέρκωπα εἰδωλοποιοῦσιν Αἰγύπτιοι, ἐπεὶ παρὰ πάντα τὰ ζῷα νοήμων τυγχάνει, συνέσεως δὲ καὶ ἐπιστήμης ἐστὶ δεκτικός. ἀλλὰ μὴν καὶ τὴν Αἰγυπτίαν ἶβιν τὸ ὄρνεον ἴσμεν ἀνακειμένην αὐτῷ· καρδίᾳ γὰρ ἔοικε λευκαινόμενον μὲν τὸ σῶμα, ἐξ ἀμφοῖν δὲ τῶν μερῶν μελαινομένη, ὅπερ ἐστὶ τοῦ κατὰ διάνοιαν λόγου σχῆμα· πρὶν μὲν γὰρ λεχθῆναι σκότιος, λεγόμενος δὲ φωτίζεται, καὶ ῥηθεὶς εἰς ἀφανὲς οἴχεται. τρέφεται δὲ τὸ ζῷον παρὰ τοῖς ὕδασι, καθάπερ ἐν ἡμῖν ἡ καρδία ἐξ ὑγρᾶς οὐσίας τὴν δύναμιν λαμβάνει. μόνη δὲ πτηνῶν πάντων νεῖν ἡ ἶβις οὐκ ἐπίσταται, ἀδρανεστάτη δὲ εἰς μεῖζον βάθος καθελκομένη. τὸ δ' αὐτὸ καὶ ἐπὶ τῆς καρ- p. 103

5 λόγων P. 11 *ἀορίστως* Hasius: apud S *ἀορίστου*. 14 *δὲ* om V: Hasius *τε*.

filium; rationem esse Iovem, Maiam mentem s. intelligentiam, filium autem ex utroque Mercurium facundum per ambages significantes. omnium autem natu minimum finxerunt, quippe cum non senescat oratio. praeterea celerrimum fecerunt eum instructum alis, rationis celeritatem et velocitatem orationis per eiusmodi artem significantes. itaque poëta dicit "verba alata." deinde quadratum forma Graeci hunc fingunt, maximum argumentum praebentes orationem esse eum, et orationem veram. sunt enim et orationis species, et mendax oratio et fallax plures habens angulos; vera autem sibi ipsa ex omnibus partibus par, ubicunque autem versatur, omnibus basibus infinite stabilitur, quae videlicet quadrata figura est. quodsi rationem et orationem eum esse demonstratum est, huic cercopem simulacrum (idolum) faciunt Aegyptii, quandoquidem praeter omnia animalia prudens est et peritiam artemque admittit. verum et Aegyptiam ibim, avem, scimus illi esse consecratam: cordi enim simile est corpus eius album, ex utraque autem parte nigrum, quae quidem est orationis, uti cogitatur, figura: antequam enim proferatur, obscura est, cum autem profertur, collustratur, et prolata evanescit. vivit autem animal illud prope aquas, quemadmodum in nobis cor ex humida essentia vim suam accipit: sola autem avium omnium natare ibis nescit, et imbecillima quaeque in maiorem profunditatem detrahitur.

δίας παρατηρητέον· τῆς γὰρ ὑγρᾶς πόσεως συμμέτρως προσαχθείσης ῥώννυσθαί τι καὶ τοῖς λογισμοῖς διιστηρίχθαι πέφυκε, καὶ τῆς μὲν οἰκείας ἕδρας, ἥνπερ φρένα καλοῦσιν, οὐκ ἐξίστασθαι, νηφαλέαν τε εἶναι, ὑποβλυσθεῖσαν δὲ τοῖς παλμοῖς τὸν ἴδιον σάλον δι' ὅλου τοῦ σώματος ἐξεργάζεσθαι. πάσχουσι δὲ ταῦτα ὑπὸ μέθης ἄνθρωποι τὸ ἄκρατον τῆς ἰδίας ἰσχύος προτετιμηκότες. καὶ τὴν ἶβιν δὲ καὶ τὸν κίρκωπα σελήνῃ συμπαθῆ εἶναι προσείκασται· ἡ μὲν ἶβις αὐτῷ τῷ σχήματι ἐμφερής, τὰ ἄκρα μὲν ὑμιχλαίνουσα, λευκαίνουσα δὲ τὰ μέσα καθάπερ ἡ αἰθερία μήνη· ὅτε γὰρ οὐρανὸς ἀσέληνος, οὐδὲ ἴβιδες ὁρῶσι, μύουσι δὲ τοῖς ὀφθαλμοῖς τοῦτον τὸν χρόνον καὶ ἄσιτοι ἐγκαρτεροῦσι τὸ συγγενὲς στοιχεῖον ἀναμένουσαι. ὁ δὲ κίρκωψ δηλοτέρας ἔχει τὰς ἐνεργείας· ὅτι γὰρ αὔξει σελήνη, ὁ τῶν ὀφθαλμῶν κύκλος τότε εὐρύνεται, ὅτι δὲ μειοῦται, τὸ τῶν ὑμένων περιφερὲς συστέλλεται.

p. 104 53. ὁ δὲ ἀρχιερεὺς ἐκήρυττε μηδένα ποδῶν ἢ κεφαλῆς οἱουδήποτε ζῴου γεύσασθαι παρὰ πάντα τὸν μῆνα πρὸς φυλακὴν ἀρθρίτιδος πόσου. ἠύχοντο δὲ Μαίᾳ τε καὶ Ἑρμῇ οἱ πραγματευταὶ ἀκίνδυνα τὰ τῶν κερδῶν εἶναι· πάντα δὲ ἄρα τὰ κέρδη ἐν τῇ ὕλῃ καὶ ἐξ αὐτῆς ἀναφύεται, καὶ ἐν αὐτῇ ὡσανεὶ ἕρμαια εὑρίσκεται καὶ ἐπιδίδοται, ὡς φασι, κατ' ἀξίαν. Μούμμιος δὲ ὁ Ῥωμαῖος τὸν Ἑρμῆν τὸν προχωρητικὸν λόγον εἶναι βούλεται· οὐδὲ γάρ, φησί, πρότερον βρίφος φθέγξαιτο πρὶν ἂν τῆς γῆς ἐφά-

4 *πηχαίαν* P. δὲ Hasius: libri καί. 22 *πρῶτον* apud S. cf. 3 37.

idem autem et in corde observare licet: liquida enim potione modice sumpta roborari et cogitationibus confirmari solet, neque ex sua sede, quae praecordia vocant, excedere, et sobrium esse; ubi autem exundavit, palpitationibus propriam motionem per totum corpus effecere. accidit autem haec per ebrietatem hominibus, qui merum robori suo anteposuere. et ibim ac cercopem lunae consentire verisimile est: ibis quidem ipsa specie ei similis, utpote quae extremis partibus nigra est, mediis autem alba, quemadmodum aetherea luna. quando enim luna in caelo non apparet, ne ibides quidem cernunt, sed connivent oculos eo tempore et sine victu permanent cognatum elementum exspectantes. in cercope autem eius rei vis magis etiam apparet: quando enim crescit luna, oculorum ei orbis dilatatur, quando autem senescit, oculorum circulus contrahitur.

53. Pontifex autem edicebat ne quis pedes aut caput cuiuscunque animantis gustaret per totum mensem ad cautionem arthritidis. supplicabant autem Maiae et Mercurio negotiatores, ut res ad quaestum pertinentes sine periculo essent. omnia autem lucra in materia sunt atque ex ea proveniunt, et in ea tanquam ἕρμαια (i. e. lucra insperata) inveniuntur. Mummius autem Romanus Mercurium procedentem orationem esse vult: neque enim, ait, prius infans vocem ediderit quam ter-

ψαιτο, ὥστε Μαῖαν εἰς γῆν καλῶς ἐξελάμβανον οἱ πολλοί. καὶ καθ' ἕτερον δὲ ἱερὸν λόγον ὁ Φωντήϊος χρῆναι τιμᾶσθαι τὴν γῆν ἐν ταῖς καλένδαις Μαΐαις λέγει, ὅτι θέρμην τὴν ἔμφυτον ἐπὶ τὴν ἐπιφάνειαν ἡ γῆ ἀναβλύζουσα, γαυριῶν ὥσπερ καὶ σκιρτῶν ἐξαγομένη, σάλους ἐμποιεῖ ὡς ἐπίπαν κατὰ τὸν Μάϊον μῆνα. τιμῶσιν οὖν κατὰ τοῦτον τὴν Μαῖαν, τουτέστι τὴν γῆν, θεραπεύοντες. μαϊουμίζειν τὸ ἑορτάζειν ὀνομάζουσιν, ἐξ οὗ καὶ μαϊουμᾶν.

ἀρχὴ γενέσεως σελήνη.

54. Ἥφαιστοι τέσσαρες, πρῶτος Οὐρανοῦ καὶ Ἡμέρας, p. 105 πατὴρ Ἀπόλλωνος τοῦ Ἀθηναίων ἀρχηγέτου· δεύτερος Νείλου παῖς, ὃν Αἰγύπτιοι καλοῦσι Φθάν· τρίτος ὁ Κρόνου καὶ Ἥρας, ὁ Λήμνιος, ὁ χαλκεντής· τέταρτος Ἥφαιστος ὁ μαντῷος, ὁ Σικελιώτης, ἐξ οὗ Ἡφαιστιάδες αἱ νῆσοι. Ἥφαιστος γύνιμον πῦρ ἐστίν, ἡ τοῦ ἡλίου ζωογονικὴ θερμότης· διὸ δὴ καὶ χωλὸν ποιοῦσι τὸν Ἥφαιστον, καθὸ χωλεύει καθ' ἑαυτὴν ἡ τοῦ πυρὸς φύσις, ὅταν μὴ συγκεκρότηται τοῖς ἄλλοις. ἄλλος δὲ χωλῷ ποδὶ τὸν Ἥφαιστον λαμβάνεσθαι λέγει διὰ τὸ ἄνισον τῆς ἡλίου πορείας.

55. Ἰστέον δὲ ὡς ὁ Μανέθων ἐν τῷ περὶ ἑορτῶν λέγει τὴν ἡλιακὴν ἔκλειψιν πονηρὰν ἐπήρειαν ἀνθρώποις ἐπιφέρειν περὶ τῆς τὴν κενὴν καὶ τὸν στόμαχον.

1 οἱ παλαιοί? 2 φρωντήϊος libri. 12 μαντῶος Creuzerus: apud S μαντοῦς. 13 ἡφαιστιῶδες V. 19 fort. περὶ τὸν κενεῶνα S.

ram attigerit, ut Maiam recte in terram acceperit multitudo. atque ex alia traditione sacra Fronteius oportere coli terram Kalendis Maiis ait, quod calorem ingenitum ad superficiem terra sursum trudens, quasi gestire et exsultare conata, terrae motus efficit ut plurimum mense Maio. colunt igitur hoc mense Maiam, id est terram venerantes. μαϊουμίζειν festos dies agere dicunt; unde et μαϊουμᾶν.

principium generationis luna.

54. Vulcani quattuor, primus Caelo et Die natus, pater Apollinis, Atheniensium praesidis; secundus in Nilo natus, quem Aegyptii appellant Phthan; tertius ex Saturno et Iunone, Lemnius, qui fabricae praest; quartus Vulcanus fatidicus, Siculus, ex quo insulae Vulcaniae. Vulcanus ignis genitalis est, solis calor generandi vim habens. unde videlicet et claudum faciunt Vulcanum, quod claudicat per se ipsa ignis natura, quando non conflatus est cum ceteris. alius vero claudo pede Vulcanum accipi dicit ob imparem solis cursum.

55. Sciendum autem Manethonem in libro de feriis dicere solis defectum malum damnum hominibus afferre circa ilia et ventrem.

Ἰ Ο Υ Ν Ι Ο Σ.

p. 106 **56.** οὕτως οὖν τοῦ πέμπτου μηνὸς εἰς τιμὴν τῆς γερουσίας πρὸς τοῦ βασιλέως Νουμᾶ διατεθέντος, ἐλείπετο ἄρα τὸν ἕκτον εἰς τιμὴν τῆς νεολαίας ὁρισθῆναι· βουλῇ γὰρ γερόντων καὶ νεωτέρων ἀνδρίᾳ εἰκὸς διοικεῖσθαι, ὡς φησι Πλάτων, τὸ πολίτευμα. οὐκ ἔξω δὲ λόγου τὸν ἐξ ἀριθμὸν φαίνεται ταύτῃ προσνέμων· ζωογονικὸς γὰρ οὗτος ἀπὸ μονάδος ἑξῆς ἄχρι τριάδος ἐξ αὐτοῦ συμπληρούμενος καὶ ἀρκῶν ἑαυτῷ. καὶ διὰ τοῦτο ὁ Πυθαγόρας τῇ πρώτῃ τῶν Μοιρῶν τοῦτον ἀνατέθεικεν.

57. καλένδαις Ἰουνίαις ἑορτὴ Ἥρας καὶ εὐχαὶ ἐν τῷ Καπετωλίῳ, πάντων ὁμοῦ Ῥωμαίων ὕδατος ἐξ ἑωθινῆς ἀπογευομένων ψυχροῦ πρὸς φυλακὴν νόσου παντοίας καὶ διαφερόντως ποδαλγικῆς, ὡς ὁ χρησμὸς ἐβούλετο, καὶ ὥστε μὴ διδύμους ἢ τερατώδεις γενέσθαι τοὺς τοκετούς. ἡ δὲ τοιαύτη συνήθεια ἐπὶ Ἀδριανοῦ εἰσενήνεκται, πεμφθείσης γυναικὸς ὡς αὐτὸν Αἰγυπτίας, ἣ ἀφηγεῖτο τέσσαρσιν ἡμέραις κατὰ διάστημα ἄνισον τέσσαρα τε-
p. 107 κεῖν, μετὰ δὲ τεσσαράκοντα ἡμέρας τὸ πέμπτον, κατὰ τὸν Ἀριστοτέλη, ὃς φησιν ἐν τέσσαρσι τοκετοῖς εἴκοσι κυηθῆναι. ὁ δὲ Ἰούνιος μὴν ἀνεπιτήδειος πρὸς γάμους.

58. τὸ σάγκος ὄνομα οὐρανὸν σημαίνει τῇ Σαβίνων γλώσσῃ. — ὁ λαγὼς ἄρρην τίκτων πέφυκε τεραστίως. — λαρι-

7 ἑξῆς Nokkius: vulgo ἐξ ἧς. 15 ὡς αὐτὸν γυναικὸς P.
20 σαγγος P. 21 nonne ὁ λαγὼς ὁ ἄρρην τίκτειν?

IUNIUS.

56. Ita igitur quinto mense in honorem senectutis a Numa rege constituto, reliquum nimirum erat ut sextus in honorem iuventutis institueretur: consilio enim senum et iuniorum virtute rem publicam, ut ait Plato, administrari par est. non vero praeter rationem senarium numerum huic ab eo attribui apparet: procreandi enim vim habet hic (primus) a monade, e qua usque ad triadem ex eodem completur et sufficit sibi ipse; unde Pythagoras primae Parcarum hunc numerum consecravit.

57. Kalendis Iuniis feriae Iunonis et preces in Capitolio, omnibus simul Romanis aquam frigidam tempore matutino gustantibus ad avertendum morbum quemvis, et praecipue podagram, ut oraculum volebat, utque ne gemini nascerentur aut prodigiosi fierent partus. quae consuetudo imperatore Hadriano inducta est, missa ad eum muliere Aegyptia, quae narrabat quattuor se diebus, intervallo impari, quattuor peperisse, diebus autem quadraginta post quintum, ut Aristoteles docet, qui quattuor partubus viginti editos esse dicit. Iunius autem mensis non aptus est ad nuptias.

58. Sanci nomen caelum significat Sabinorum lingua. — Lepus mas prodigiose parere solet. — *λαρινόν* saginatum s. pingue significat;

τὸν τὸ λιπαρόν, ἐξ οὗ καὶ λάρδος. ἄλλοι δὲ ἄλλως φασί. — θυγατέρας Ἀνάγκης τὰς Μοίρας φασί, Λάχεσίν τε καὶ Κλωθώ — — δὲ τὰ ἐνεστῶτα, Ἄτροπον δὲ τὰ μέλλοντα.

59. τῇ πρὸ πέντε εἰδῶν Ἰουνίων ἑορτὴ τῆς Ἑστίας. ἐν ταύτῃ τῇ ἡμέρᾳ ἐώρταζον οἱ ἀρτοποιοὶ διὰ τὸ τοὺς ἀρχαίους τὸν ἄρτον ἐν τοῖς ἱεροῖς τῆς Ἑστίας κατασκευάζειν. ὄνοι δὲ ἐστεφανωμένοι ἡγοῦντο τῆς πομπῆς διὰ τὸ τούτοις ἁλεῖσθαι τὸν σῖτον.

60. πρὸ τοῦ μεγάλου κατακλυσμοῦ τὴν Σικελίαν μὴ νῆσον εἶναί φασιν ὡς σήμερον, ἀλλ' ἤπειρον γενέσθαι συνημμένην τῇ ὕστερον Ἰταλίᾳ, ἐκ δὲ τῆς φορᾶς τῶν ἐκ τῆς ἐπικλύσεως ῥευμάτων τῶν ῥιζῶν ἀποσπασθεῖσαν νῆσον ἀποκαταστῆναι, καὶ διὰ τοῦτο Ῥήγιον, ἀπὸ τῆς ῥήξεως, ὀνομασθῆναι τὸ πλευρὸν τῆς Ἰταλίας ἐκεῖνο, ἐξ οὗπερ ἀπέρρωγε. πρότερον δὲ Σικανία ἐλέγετο ἡ Σικελία. ἡ Ἰταλία ἐννέα ἐπαρχίας ἔσχε ταύτας, Καμπανίαν, Ἀπουλίαν, Θουσκίαν, Καλαβρίαν, Οὐμβρίαν, Δαλματίαν, Λουκανίαν, Βριττανίαν, Σικελίαν. p. 108

πρὸς Προυσίαν τῆς Βιθυνίας βασιλέα.

61. παρὰ τοῖς Πυθαγορείοις ἡ δυὰς ὡς θέσιν τινὰ καὶ ἐπιβάθραν τῷ ἀριθμῷ ἐπιδοῦσα ἑλευσίνη καλεῖται, ὡς προέλευσιν ἐπὶ τὸ πλεῖον καὶ ἄπειρον παρέχουσα.

3 post Κλωθώ Roetherus cum Hasio: καὶ Ἄτροπον, καὶ Λάχεσιν μὲν τὰ παρελθόντα διοικεῖν, Κλωθὼ 5 τὸ vulgo om 7 ἤγοντο V: corr S. τὸ σῖτον P. 14 ἀπέρρωσε apud S. 15 ἐπαρχίας om P. 16 ἀπουλήϊαν V. Θυμβρίαν apud S.

unde et *lardum*. alii autem aliter dicunt. — filias Necessitatis Parcas dicunt, Lachesin Clotho (et Atropon; et Lachesin quidem praeterita curare, Clotho) praesentia, Atropon autem futura.

59. A. d. 5 Idus Iunias feriae Vestae. hunc diem celebrabant pistores, quod veteres panem in Vestae templis parabant. asini autem coronati pompam ducebant, propterea quod ab his molitur frumentum.

60. Ante magnum diluvium Siciliam non insulam fuisse dicunt, ut hodie, sed terram continentem cohaerentem cum Italia, quae postea dicebatur, impetu autem fluctuum ex diluvio radicitus avulsam insulam exstitisse, et hanc ob causam Rhegium a ruptura nominatum esse illud Italiae latus, unde avulsa est. antea autem Sicania dicebatur Sicilia. Italia novem provincias habuit has, Campaniam, Apuliam, Etruriam, Calabriam, Umbriam, Dalmatiam, Lucaniam, Britanniam, Siciliam.

ad Prusiam Bithyniae regem.

61. Apud Pythagoreos dyas tanquam ea, quae stationem quandam et scalam numero dedit, *ἑλευσίνη* vocatur, utpote quae progressionem ad plus et infinitum praebet.

62. *φεῦ τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι!*
οἱ μὲν γὰρ εὖ πράσσουσι, τοῖς δὲ συμφοραὶ
σκληραὶ πάρεισιν εὐσεβοῦσι πρὸς θεοῦ.

τὴν τύχην φορτοῦναν λέγουσιν οἱ Ῥωμαῖοι ἀπὸ τῆς φορᾶς, ἔνθουν ὠφέλειαν. Ἀριστοτέλης "εἰ ἔστιν ἀρετή, οὐκ ἔστι τύχη· ἄνω γὰρ καὶ κάτω τὰ τῆς τύχης ἐν τοῖς ἀνθρωπίνοις γυμνάζεται πράγμασι πλούτῳ τε καὶ διαφερόντως ἀδικίᾳ. οἱ δὲ πρὸς ἀρετὴν ἔχοντες καὶ θεοῦ μεμνημένοι, καὶ κρείττονας ἐπὶ τῶν μακαρίων καὶ ἀΰλων πραγμάτων ἐλπίδας σαλεύοντες, καταφρονοῦσι τῶν
p. 109 *τῇδε καλῶν· οὐδὲν γὰρ ἀσφαλὲς οὐδὲ κεκριμένον ἐστὶν ἐπὶ τῆς τύχης, ὡς Εὐριπίδης φησί. χείρους οἱ τοῦ πλούτου τοῦ παρὰ μέτρον ἐφιέμενοι· πλοῦτος γὰρ μᾶλλον κακίας ἢ καλοκἀγαθίας ὑπηρέτης ἐστί, φησὶν ὁ ῥήτωρ."*

Ἰ Ο Υ Λ Ι Ο Σ.

63. *τὸν Ἰούλιον μῆνα πέμπτον μὲν ἄν τις ἀπὸ τοῦ πολιτικοῦ, ἕβδομον δὲ ἀπὸ τοῦ ἱερατικοῦ λάβοι ἐνιαυτοῦ· ἀπὸ γὰρ τοῦ Μαρτίου (ἐκεῖνος δὲ ἦν ὁ παρὰ Ῥωμύλου τιθεὶς εἰς ἀρχὴν τοῦ πολιτικοῦ ἐνιαυτοῦ) πέμπτος ἐστίν, ὅθεν καὶ Κυντίλιος τὸ πρὶν ὠνομάζετο, ἕβδομος δὲ ἀπὸ τοῦ Ἰανουαρίου· ἱερατικὸς δὲ οὗτος κατὰ τὸν Νουμᾶν. ὁ τοίνυν Καῖσαρ οὐ τύχῃ μόνον ἀλλὰ*

3 θεόν libri. cf. 4 7. apud Stobaeum εἰς θεούς. 6 ψυχῆς V.
7 οἱ δ' εὖ? 16 λάβοιεν αὐτόν apud S: corr Roetherus.
18 τὸ πρώην P.

62. Eheu mortalium quam iniquae sortes! alii enim prospere rem gerunt, aliis fata acerba contingunt, quamvis piis, a deo. Fortunam dicunt Romani τὴν Τύχην a ferendo, divinum auxilium. Aristoteles: "si est virtus, non est fortuna: sursum enim ac deorsum res ad fortunam pertinentes in humanis exercentur (s. agitantur) rebus, divitiis et maxime iniuria. ad virtutem autem qui conversi sunt et dei memores, et meliores in rebus beatis et materiae expertibus spes agitant, despiciunt ea quae hic sunt (i. e. terrestria) bona: nihil enim securum aut exploratum in fortuna est, ut ait Euripides. peiores evadunt qui divitiis immodicis inhiant: divitiae enim pravitatis magis quam probitatis ministrae sunt, ut ait orator."

IULIUS.

63. Iulium mensem quintum aliquis a civili, septimum autem a sacerdotali accipiat anno: a Martio enim (ille autem is erat quem Romulus posuit in initio anni civilis) quintus est, unde et Quintilis antea nominabatur; septimus autem a Ianuario: sacerdotalis autem hic, ex instituto Numae. Caesar igitur, qui non fortuna solum verum etiam

καὶ ἱερωσύνῃ κοσμούμενος (καὶ γὰρ ποντίφιξ ἦν, οἱονεὶ γεφυραῖος ἀρχιερεὺς ἢ θεουργός, διὰ τὴν ἐξ Ἀφροδίτης σειράν), εὑρὼν τὸν Κυντίλιον μῆνα τὴν προσηγορίαν μετέβαλεν, οὐ διὰ τὴν τοῦ ἀριθμοῦ μόνον τελειότητα, ἀλλὰ καὶ διὰ τὸ αὐτὸν ἐκεῖνον p. 110
κατὰ τὴν πρὸ τεσσάρων εἰδῶν τοῦ μηνὸς τούτου τεχθῆναι. Καῖσαρ δὲ ὠνομάσθη οὐ καθώς φασιν οἱ παλαιοί, ἐκ τῆς ἀνατομῆς τῆς γαστρὸς Αὐρηλίας τῆς αὐτοῦ μητρός, ἧς δῆθεν ἀποθανούσης ἐγκύμονος αὐτὸν ἀνατμηθείσης ἐκείνης ληφθῆναι, ἀλλ' οὕτως ἔχει τὰ τῶν ἱστοριῶν. ἐπὶ τοῦ Φοινικικοῦ πολέμου, ὅτι ὁ Σύφαξ Ἀννίβᾳ συνεμάχει, λέγεται Γάϊον Ῥουτίλιον (πρόγονος δὲ οὗτος παλαιὸς τῷ Καίσαρι) ἐν αὐτῇ τῇ παρατάξει μαχόμενον τοσαύτῃ δυνάμει ἐπαφεῖναι τὸ δόρυ κατὰ τοῦ Μαυρουσίου ὥστε τὸν ἐλέφαντα, ᾧ ἐποχεῖτο ὁ πολέμιος, καταβαλεῖν, κἀκεῖθεν τὴν Καίσαρος ἐπωνυμίαν λαβεῖν, ἐπεὶ παρὰ Φοίνιξιν ὁ ἐλέφας τὸ ζῷον καῖσαρ λέγεται. Οὐάλης δέ, ὃς καὶ αὐτὸς τὰ Καίσαρος ἔγραψε, φησὶν ἄριστον μὲν αὐτὸν καὶ πρεπωδέστατον ἐν μεγέθει γενέσθαι, ἔτι μὴν καὶ κομήτην· τὴν δὲ κόμην πατρίως οἱ Ῥωμαῖοι καισάριεν προσαγορεύουσι, καί φησιν ὡς διὰ τὸ ἐξ αὐτῆς κάλλος Καῖσαρ προσηγορεύετο. κύριον δὲ αὐτῷ ὄνομα Γάϊος, εὐγενείας δὲ σημαντικὸν Ἰούλιος, ἀπὸ Ἰούλου τοῦ Αἰνείου τοῦ Ἀφροδίτης, ἀρετῆς δὲ ὁ Καῖσαρ.

64. *Θεοδόσιος ὁ μικρὸς νεωτερίζων τὸ τῆς Ὀλυμπιάδος ἐκ τῶν χρόνων ἀπήλειψεν ὄνομα.*

7 ἀπομειούσης V, ἀπομενούσης P, ἀπομνούσης Iacobs. cf. de Magistr. 1 23. 20 τοῦ Ἀφρ.] vulgo τῆς Ἀφρ.

honore sacerdotali ornatus erat (etenim pontifex fuit, propterea quod a Venere oriundus erat), cum repperisset Quintilem mensem, nomen mutavit, non propter numeri solum perfectionem, verum etiam propterea quod ipse a. d. 4 Idus huius mensis natus est. Caesar autem nominatus est, non ut veteres dicunt, ex dissectione ventris Aureliae matris ipsius, qua moriente gravida ipsum dissecta illa susceptum ferunt, sed (ita habent historiae) bello Punico, cum Syphax Hannibali socius belli esset, Gaius Rutilius (fuit autem hic unus e veteribus Caesaris maioribus) in ipsa acie pugnans tanta vi misisse iaculum contra Maurum dicitur, ut elephantem, quo vehebatur hostis, sterneret humi, et inde Caesaris cognomen accepisse, quandoquidem apud Poenos elephas (bestia) *caesar* dicitur. Valens vero, qui et ipse Caesaris res scripsit, refert pulcherrima eum et summe decora magnitudine fuisse, et vero etiam comatum (comam autem patrio sermone Romani caesariem appellant) eumque dicit propter pulchritudinem inde profectam Caesarem appellatum fuisse. proprium vero ei nomen Gaius, nobilitatis indicans Iulius, ab Iulo Aeneae Veneris filio, virtutis autem Caesar.

64. Theodosius Parvus novans Olympiadis ex temporum descriptione delevit nomen.

65. *ἧπαρ γυπὸς σὺν τῷ αἵματι ὀπτόν, μετὰ μέλιτος διδόμενον ἐπὶ ἑβδομάδας τρεῖς, ἀπαλλάττει ἐπιληψίας. ὁμοίως δὲ*
p. 111 *καὶ τὴν καρδίαν τοῦ γυπός, ὅταν ξηρανθῇ, ἐν ὕδατι διδομένην τῷ ἴσῳ τρόπῳ ἰσχύειν.*

66. *φασὶ δὲ αὐτὸν τὸν Ἰούλιον ἑπτάμηνον τεχθῆναι, καὶ διὰ τοῦτο τὸν ἕβδομον μῆνα τοῦ ἱερατικοῦ ἐνιαυτοῦ εἰς τὴν οἰκείαν μεταβαλεῖν προσηγορίαν. οὐδεὶς δὲ ἄλλος ἠνδραγάθισεν ὡς οὗτος.*

67. *χρησμὸς ἐδόθη Ῥωμαίοις πρὸς τῆς Μητρός, μηδ' ὅλως Ἀφροδισίοις χρῆσθαι ἀνὰ πάντα τὸν Ἰούλιον, ὅπως αὐτοῖς ὑγιαίνειν τὰ σώματα μέλλοι.*

68. *κατὰ τὸν ἐν λέοντι ἥλιον ἀναχεῖται ὁ Νεῖλος. Ἴλας ὄνομα τῷ Νείλῳ πρότερον, εἶτα Αἴγυπτος ἐξ Αἰγύπτου, εἶτα Χρυσορρόας, καὶ τὸ λοιπὸν Νειλος ἀπὸ βασιλέως οὕτω καλουμένου· τὸ γὰρ δόξαι τοῖς γραμματικοῖς ἀπὸ τῆς νέας ἰλύος ὠνομάσθαι τὸν Νεῖλον πρὸς ἐτυμολογίαν ὁρᾷ.*
p. 112 *περὶ τῆς ἐν θέρει τῶν ὑδάτων ἐπιδόσεως Ἀναξαγόρας φησὶ τὰς τῆς Αἰθιοπίας τηκομένας χιόνας ἀποστέλλειν τὸν Νεῖλον. καὶ ταύτης ἐστὶ τῆς δόξης ὅ τ' Αἰσχύλος καὶ Σοφοκλῆς καὶ Εὐριπίδης. ὁ δὲ μέγιστος ἐν φιλοσόφοις Ῥωμαίοις Σενεκὰς ἀντιλέγει φάσκων τὴν Αἰθιοπίαν (ἔνθεν καὶ διακαίεσθαι τὰ σώματα τῶν Τρωγλοδυτῶν, οἵτινες οὐ φέροντες τὸν ἥλιον ὑπὸ τὴν γῆν οἰκοῦσιν, ὅ τε ἄργυρος κατ' ἐκεῖνον τὸν*

3 διδομένη V, διδομένη P. 6 ἱερατικοῦ om P. 12 Ἴλας] *Μέλας* Roetherus. 20 Seneca Nat. Quaest. 4 2. 22 οἰκοῦσιν] *ἰοῦσιν* P.

65. Hepar vulturis cum cruore assatum, cum melle si datur per tres hebdomades, morbo comitiali liberat. similiter autem et cor vulturis, cum siccatum est, si datur in aqua, pari modo efficax esse dicunt.

66. Dicunt autem ipsum Iulium septemmestrem natum, et propterea septimum mensem anni sacerdotalis in suum ipsius mutasse nomen. nemo vero alius tantam virtutem praestitit quantam hic.

67. Oraculum datum est Romanis a Matre (Magna), omnino rebus Venereis abstinerent per totum mensem Iulium, ut ipsis valerent corpora.

68. Sole in Leone Nilus superfunditur. Ilas nomen Nilo antea fuit, deinde Aegyptus, ab Aegypto, post Chrysorrhoas, et postremo Nilus, a rege cui hoc nomen erat: nam quod grammaticis *ἀπὸ τῆς νέας ἰλύος* (i. e. a novo limo) videtur nominatus esse Nilus, id ad etymologiam spectat. de inundatione, quae per aestatem fit, Anaxagoras ait ab Aethiopiae solutis nivibus demitti Nilum. et in hac opinione Aeschylus Sophocles atque Euripides sunt. summus autem philosophorum Romanorum Seneca obloquitur, dicens per Aethiopiam (unde et adurantur corpora Troglodytarum, qui non ferentes solem sub terra habitant, ar-

τόπον ἀπομολιβοῦται, καὶ οὐδεμία ὕλη οὐκ ἀποτήκεται) ἄλλως τε δὲ πολλοὺς εἶναι ποταμοὺς ἐκκειμένους τῷ νότῳ, ὧν οὐδένα ὁρῶμεν, καίπερ ὑπερκειμένων ὀρῶν, πλημμυροῦντα τῷ θέρει. Εὐθυμένης δὲ ὁ Μασσαλιώτης φησὶ διαπλεῦσαι τὴν Ἀτλαντικὴν θάλαττων, ἐξ ἐκείνης τε ἰδεῖν τὸν Νεῖλον ἐκτρέχοντα, καὶ τότε μᾶλλον ὀγκοῦσθαι, ὅταν οἱ λεγόμενοι ἐτήσιοι πνέωσι· τότε γὰρ φησὶν ἐξωθεῖσθαι ὑπὸ τῶν ἀνέμων τὴν θάλαττων, τούτων δὲ παυομένων ἡσυχάζειν. γλυκὺ δὲ σχεδὸν τὸ τῆς Ἀτλαντικῆς θαλάττης ὕδωρ, καὶ ὅμοια τὰ ταύτης θηρία τοῖς τοῦ Νείλου. ἀν- p. 113
τιλέγει δὲ καὶ ταύτῃ τῇ δόξῃ ὁ Σενεκᾶς φάσκων τὸ μὲν γλυκὺ καὶ λεπτὸν ὕδωρ ὑπὸ τοῦ ἡλίου ἀναρπάζεσθαι, καὶ τρόποις ἅπασιν ἁλμυρὰν εἶναι πᾶσαν θάλασσαν, καὶ μηδὲν ἀληθὲς εἶναι τοῦτο· εἰ γὰρ τοῦτο ἦν, καὶ τῷ χειμῶνι ἂν ἐπεδίδου ὁ Νεῖλος, καὶ ἔτι μᾶλλον ὅσῳ καὶ βιαιοτέρα ἡ τῶν ἀνέμων φορά. ἔτι δὲ καὶ ἰλυώδης μᾶλλον ἢ κυανοῦς φαίνεται, ὅπερ ἀλλότριον θαλαττίων ὑδάτων. μεθ' ὧν Διογένης ὁ Ἀπολλωνιάτης φησὶ τοῦ ἡλίου ἁρπάζοντος τὴν ὑγρότητα ἕλκεσθαι ὑπὸ τῆς ξηρᾶς τὸν Νεῖλον ἐκ τῆς θαλάττης· σηραγγώδης γὰρ κατὰ φύσιν ὑπάρχουσα καὶ διατετρημένη ἕλκει πρὸς ἑαυτὴν τὸ ὑγρόν, καὶ ὅσῳ μᾶλλον ξηροτέρα ἡ γῆ τῆς Αἰγύπτου, τοσούτῳ πλέον ἕλκει πρὸς ἑαυτὴν τὴν νοτίδα, καθάπερ τὸ ἔλαιον ἐπὶ τῶν λύχνων ἐκεῖσε πλέον ὁρμᾷ ὅπῃ καὶ δαπανᾶται ὑπὸ τοῦ πυρός. ὁ δὲ Ἡρόδοτος παρὰ πάντων τῶν ποταμῶν ἕλκειν τὸν ἥλιον τὸ ὑγρὸν φησι τὴν πρόσγειον νότου ζώ-

4 *Εὐθυμένης* V. 9 τὰ vulgo om. 18 καὶ *διατετρημένη ὑπάρχουσα* P.

gentum autem in illa regione replumbatur, et nulla non materia liquescit) multos praeterea esse fluvios expositos Noto, quorum nullum videmus, quanquam [*sic*] superiacent montes, qui fluvii aestate intumescunt. Euthymenes autem Massiliensis se navigasse dicit Atlanticum mare, et inde vidisse Nilum excurrentem, qui tunc maxime intumescat cum Etesiae qui dicuntur spirant: tunc enim ait elici a ventis mare; quibus residentibus quietum fiat. dulcis autem prope Atlantici maris aqua, et similes eius beluae Niloticis. obloquitur autem huic quoque sententiae Seneca, dicens aquam dulcem ac levem a sole arripi et modis omnibus salsum esse omne mare, et nihil verum hoc: si enim hoc esset, etiam hieme redundaret Nilus, idque eo magis quo vehementior ventorum esset impetus. iam vero etiam magis turbidus quam caeruleus apparet, id quod abhorret ab aquis marinis. cum quibus Diogenes Apolloniates ait sole humorem ad se rapiente Nilum a tellure exsiccata e mari duci: cum enim natura rimosa sit et perforata, ad se attrahit humorem, et quo aridior est terra Aegypti, eo plenius ad se adducit humorem, ut oleum in lucernis fusius illo fluit ubi et exuritur ab igne. Herodotus autem ex omnibus fluminibus trahere solem humorem dicit, cum zonam Noti (i. e.

νην διατρέχοντα, πρὸς δὲ τῷ θέρει πρὸς βορρᾶν ἐκκλίνοντα ἐκκαλεῖσθαι τὸν Νεῖλον, καὶ διὰ ταύτην τὴν αἰτίαν αὐτὸν ἀναχεῖσθαι κατὰ τὸ θέρος. οἱ δὲ Αἰγύπτιοί φασι τοὺς ἐτησίους πάσας ἐξ ὑπερτέρου τὰς νεφέλας ἐπὶ τὸν νότον ἐξωθεῖν, κἀκεῖθεν βαρείας καταφερομένης βροχῆς ἀναβλύζειν τὸν Νεῖλον. Ἔφορός γε μὴν ὁ Κυμαῖος ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν φησὶν ἀραιὰν εἶναι
p. 114 κατὰ φύσιν τὴν Αἴγυπτον, καὶ κατ' ἔτος ἐπαγομένης ἰλύος ὑπὸ τοῦ Νείλου στεγανοῦσθαι, τὸν δὲ ποταμὸν δίχην ἱδρῶτος κατὰ τὸν καιρὸν τοῦ καύματος ἐπὶ τὰ κουφότερα καὶ ἀραιότερα καταρρεῖν. ἀλλὰ καὶ Θρασυάλκης ὁ Θάσιος τοὺς ἐτησίους φησὶν ἐξωθεῖν τὸν Νεῖλον· τῆς γὰρ Αἰθιοπίας ὑψηλοῖς παρὰ τὰ καθ' ἡμᾶς ὄρεσι διεζωσμένης, ὑποδεχομένης τε τὰς νεφέλας πρὸς τῶν ἐτησίων ὠθουμένας, ἐκδιδόναι τὸν Νεῖλον, ὡς καὶ Καλλισθένης ὁ περιπατητικὸς ἐν τῷ τετάρτῳ βιβλίῳ τῶν Ἑλληνικῶν φησὶν ἑαυτὸν συστρατεύσασθαι Ἀλεξάνδρῳ τῷ Μακεδόνι, καὶ γενόμενον ἐπὶ τῆς Αἰθιοπίας εὑρεῖν τὸν Νεῖλον ἐξ ἀπείρων ὄμβρων κατ' ἐκείνην γενομένων καταφερόμενον. ἀλλὰ καὶ Δικαίαρχος ἐν περιόδῳ γῆς ἐκ τῆς Ἀτλαντικῆς θαλάττης τὸν Νεῖλον ἀναχεῖσθαι βούλεται. ποικίλαι μὲν οὖν αἱ περὶ αὐτοῦ δόξαι, τὸ δ' ἀληθὲς κατὰ τοὺς ἀνθρώπους τέως οὐδαμοῦ· κατὰ γὰρ τὸ λόγιον τὸ δ' ἀτρεκὲς ἐν βαθεῖ ἐστί. Χρῆστος δὲ ὁ Ῥωμαῖός φησιν "ἐπὶ τῆς δύσεως ὄρη
p. 115 μέγιστα καὶ ὑψηλότατά εἰσιν, ἃ τὴν Λιβύην ἀπὸ τῆς Αἰθιοπίας χωρίζουσι. τούτων ταῖς ἐσχάταις ῥίζαις τὸ Ἀτλαντικὸν ἐπιπίπτον

3 τοὺς] τὰς vulgo. 6 πρώτῃ] ἑνδεκάτῃ Marx Ephori fragm. p. 213. 22 μεγάλα P. 23 ἐπιπίπτει Hasius.

meridionalem) terrae propinquam percurrit, sub aestatem vero Septentrionem versus inclinantem evocare (s. extollere) Nilum, et hanc ob causam eum superfundi aestate. Aegyptii autem dicunt ab Etesiis omnes nubes ex superioribus regionibus meridiem versus detrudi et inde, cum gravis pluvia decidat, Nilum exaestuare. Ephorus vero Cumanus primo historiarum ait tenuem natura Aegyptum esse, et cum quotannis limus adducatur a Nilo, condensari, fluvium autem more sudoris tempore ardoris ad leviores ac tenuiores partes defluere. verum etiam Thrasyalces Thasius ab Etesiis ait Nilum extrudi: Aethiopia enim cum altioribus quam qui apud nos sunt montibus circumdetur, atque excipiat nubes quae ab Etesiis protruduntur, Nilum ab ea inundari; quemadmodum et Callisthenes Peripateticus quarto libro rerum Graecarum ait se una cum Alexandro Macedone expeditionem fecisse, et cum in Aethiopia fuisset, invenisse Nilum ex infinitis imbribus ibi ortis deferri. verum etiam Dicaearchus in Periodo terrae ex mari Atlantico Nilum vult effundi. variae igitur sunt de eo opiniones; interea verum apud homines nusquam est: nam ex oraculo "verum in profundo est." Chrestus autem Romanus ait "in occidente montes maximi et altissimi sunt, qui Libyam ab Aethiopia disiungunt. horum extremas radices mare alluit Atlanti-

πέλαγος, ἔνθεν τὴν ἀρχὴν Αἰθιοπία ἀπὸ τῆς δύσεως λαμβάνει. ὑπὸ τοίνυν τούτοις τοῖς ὄρεσι λίμναι εἰσὶν εἰς ἄπειρον πλατύτητος ἁπλωμέναι, παροικεῖ δὲ αὐτὰς γένος ἀνθρώπων τῶν λεγομένων Ἰχθυοφάγων, ὅπερ ἀπὸ πρώτης ὥρας ἄχρι δυσμῶν ἡλίου ἐν τῷ ὕδατι διατρίβει, καὶ τοῖς ἰχθύσι τρέφεται. τούτοις ὁμοροῦσιν οἱ λεγόμενοι Ἀνθρωποφάγοι, γένος ἀνθρώπων ἀνδρειότατον, ὀσὶ στρογγύλαις χρώμενον, προσώποις ἐπικαμπέσιν, ὄνυξιν ἐγγὺς λέουσιν ὁμοίως. ἐκ τῶν λιμνῶν οὖν ἐκείνων τὰς ἀφορμὰς ὁ ποταμὸς λαμβάνει· προϊόντα γὰρ ἐξ αὐτῶν τὰ ῥεύματα συνηρεφῆ ἀποτελοῦσιν. ἐκ τούτων δὴ τῶν λιμνῶν, ἃς καλοῦσιν ἐκεῖνοι Χαάς, ἐκρεῖ λεπτότατόν τι ῥεῦμα καὶ μόλις ὁρώμενον, ὅπερ εἰς στενοὺς τόπους καὶ κατὰ μέρος ἐκ διαφόρων μερῶν εἰς κοίτην ἰδίαν καταπῖπτον ὄψιν ποταμοῦ λαμβάνει. οὗτος δ' ἂν εἴη ὁ Νεῖλος, ὅστις ἐπὶ διαφόρων κλιμάτων εἱλούμενος γίνεται διὰ τόπων δασέων καὶ ἀνοδεύτων, ὧν τὰ ἐκεῖθεν εἰς ὁμαλὸν ἐκχεῖται, καὶ πάλιν εἰς ποταμοῦ κοίτην συνάγεται, καὶ ναυσίπορος λοιπὸν ἐπὶ τὴν Μερόην διὰ τῶν ἀοικήτων τοῦ νότου μερῶν φέρεται, καὶ ταύτην περιῤῥέων νῆσον ἀποτελεῖ· ἔστι γὰρ πᾶσα ὁμαλή. κἀκεῖθεν τὸ λοιπὸν ὅτι πλεῖστον ἐγκλειόμενος ἐπὶ τὴν ἀνατολὴν ῥέπει καὶ ἐπὶ τὴν Αἴγυπτον, κἀκεῖθεν εἰς θάλασσαν σφοδροτέρου πνεύματος καταπνέοντος· ἐκ τῆς βίας γάρ, ὡς εἴρηται, τοῦ βορείου πνεύματος ἀνακλώμενος ὁ ποταμὸς καὶ μᾶλλον ἀνεχόμενος πᾶ-

2 εἰς om P. 7 ἐπικαρπίσιν P. an ἐπικαρφίσιν? 8 λιμέναν P. ναυτηπόρος V. 16 κοῖταν apud S, κοῖλος P. 17 εἰς P. φέρεται Hasius: vulgo φαίνεται. 19 ὅτι Roetherus: libri ὁ

cum, unde Aethiopia initium suum ab occidente capit. sub his igitur montibus lacus sunt in infinitam latitudinem extensi. accolit autem eos genus hominum qui dicuntur Ichthyophagi, qui inde a prima hora usque ad occasum solis in aqua degunt et piscibus aluntur. his confines sunt Anthropophagi qui dicuntur, hominum genus fortissimum, naribus rotundis utens, faciebus incurvis, unguibus prope ut leones. ex illis igitur lacubus initium amnis capit: prodeuntia enim ex iis flumina occulta faciunt. ex his igitur lacubus, quos illi vocant Chaas, effluit minutissimum aliquod flumen et vix in oculos cadens, quod in angusta loca et partim ex diversis partibus in alveum proprium incidens amnis speciem accipit. hic autem fere sit Nilus, qui super variis clivis volvitur per loca aspera atque invia. inde in planitiem effunditur et rursus in fluvii alveum contrahitur, et navigabilis deinde ad Meroën per desertas partes meridionales defertur, et hanc circumfluens insulam efficit: est enim tota plana. et inde porro, dum maximam partem includitur, orientem versus inclinatur et ad Aegyptum versus indeque in mare vehementiore vento spirante: vi enim, ut dictum est, venti septentrionalis dum re-

σαν καταλιμνάζει τὴν Αἴγυπτον· εὖρον δὲ ἐκ τῆς ἀνατολῆς τοῖς ἐτησίοις ἀντιπνέοντος, ἢ νότου ἀπὸ μεσημβρίας ἐξωθοῦντος τὸν Νεῖλον, εἰκότως ὁ ποταμὸς ἐπὶ τὴν θάλασσαν λωφήσαντος ἠρέμα
p. 116 τοῦ βορρᾶ κατατρέχει. κἀκεῖνο δὲ τεκμήριόν ἐστι τοῦ μὴ ἀπὸ τήξεως χιόνων αὔξεσθαι αὐτόν, ὅτι οὐ ψυχρός ἐστιν ἀλλὰ θερμός, καὶ διὰ τοῦτο ὑπονοστοῦντος τοῦ ὕδατος εὑρίσκεται ἐπὶ τῆς ἰλύος ζῳά τινα ἐκ μέρους διαπεπλασμένα καὶ ἐκ μέρους κνώδαλα· πέφυκε δὲ τὰ τοιαῦτα θερμότητι καὶ ὑγρότητι ζῳογονεῖσθαι. ὅπερ ἐπὶ τῶν ἄλλων ὑδάτων οὐκ ἔστιν· ἰχθύας γὰρ καὶ μόνους ἔχουσι. καὶ οἱ μὲν ἄλλοι στοχαζόμενοι λέγουσιν, ἐγὼ δὲ" φησὶν ὁ Χρῆστος "γενόμενος ἐν τῷ ἀκρωτηρίῳ τῆς Μαυρουσίας ἐν τῷ στομίῳ τοῦ Ὠκεανοῦ."

69. Κέστιος ὁ ὑπατικὸς τῆς Ἱερουσαλὴμ ἡγούμενος νυκτὸς τὴν εἰκόνα τοῦ Νέρωνος ἀνέστησεν ἐν τῷ τῶν Ἑβραίων ἱερῷ, ὥστε κοινωνεῖν τῆς τιμῆς τῷ θεῷ τὸν Νέρωνα. οἱ δὲ ἀγανακτήσαντες αὐτόν τε Κέστιον καὶ πάντας Ῥωμαίους τοὺς ἐπὶ τῆς ἀνατολῆς εὑρεθέντας ἀνεῖλον, καὶ φανερῶς τοῖς κρατοῦσιν ἀνεκήρυξαν τὸν πόλεμον.

70. ἐρρουσάλους Ῥωμαῖοι τοὺς ἀλήτας καὶ πλανωμένους καλοῦσιν, οἱ δὲ ἰδιῶται ἐρούλλους αὐτοὺς ἐξ ἀγνοίας λέγουσιν.

4 τοῦ μὴ Roetherus: libri τὸ μὴ. 20 καλοῦσιν P.

flectitur fluvius et magis refunditur, totam inundat Aegyptum: Euro autem ab oriente adversus Etesias reflante, vel Noto a meridie detrudente Nilum, consentaneum est ut amnis in mare, cum intermisit paulum Boreas, decurrat. et illud quoque argumento est, non ex liquefactis nivibus eum augeri, quod non frigidus est sed tepidus; et hanc ob causam aqua revertente reperiuntur in limo animalia quaedam, partim efformata partim reptilia. solent autem eiusmodi animalia ex tepore et humore nasci; quod in reliquis aquis non est, quippe quae solos pisces habent. et ceteri quidem coniectantes dicunt; ego vero" ait Chrestus, "postquam ipse fui in promontorio Mauritaniae ad ostium Oceani."

69. Cestius consularis cum Hierosolymam gubernaret, noctu imaginem Neronis posuit in Hebraeorum templo, ut particeps esset divini honoris Nero: illi vero aegre ferentes ipsum Cestium omnesque Romanos quos in oriente repperissent interfecerunt, et aperte dominis suis bellum denuntiarunt.

70. Errusalos (*sic*; *fort.* Errolos) Romani vagabundos atque errones vocant, indocti autem erullos eos ex ignorantia dicunt.

ΑΥΓΟΥΣΤΟΣ.

71. Ἕπεται δὲ ἀπὸ μὲν τοῦ ἦρος ὁ ἕκτος, ἀπὸ δὲ τῆς λε- p. 117
γομένης αὐξιφωτίας ἑορτῆς ὁ ὄγδοος. ὅτι δὲ ἕκτος ἀπὸ τοῦ Μαρτίου, ἐξ αὐτῆς ἔστι λαβεῖν τῆς ἀρχαίας τοῦ μηνὸς τούτου προσηγορίας· Σεξτίλιος γὰρ μετὰ τὸν Κυντίλιον ὠνομάζετο. ὅθεν οἱ μετ' αὐτὸν ἄχρι τοῦ δεκάτου οὐ κυρίαν ἀλλὰ τὴν ἐξ ἀριθμῶν ἔλκουσι προσηγορίαν.

72. Ὀκταβιανός, υἱὸς Ὀκταβίου, νίκας πεποιηκὼς μεγάλας πολλοῖς ὀνόμασιν ἐτιμᾶτο· οἱ μὲν γὰρ αὐτὸν ὠνόμαζον Κυρῖνον, οἱονεὶ Ῥωμύλον, ἄλλοι Καίσαρα, ψήφῳ δὲ κοινῇ τῶν ἀρχιερέων καὶ τῆς βουλῆς Αὔγουστος ἐπεκλήθη. Αὔγουστον δὲ Ῥωμαῖοι κατὰ τὴν πάτριον σημασίαν καλοῦσι τὸν καθιερούμενον καὶ θεῶν αὐγουρίῳ προαγόμενον [εἰς μαρτυρίαν].

73. Κομητῶν δὲ εἴδη κατὰ τὸν Ἀριστοτέλη θ', κατὰ δὲ τὸν Ῥωμαῖον Ἀπουλήϊον δέκα, ἱππίας, ξιφίας, πωγωνίας, δοκίας, πίθος, λαμπαδίας, κομήτης, δισκεύς, τύφων, κεράστης. καὶ ὁ μὲν ἱππίας ἐκ τοῦ δρόμου καὶ τῆς ὀξύτητος οὕτως ὠνομά- p. 118
σθη, πλαγίας δὲ καὶ ἀμυδρὰς ἀκτῖνας διαρραίνει· ὁ δὲ ξιφίας δίκην ξίφους ἢ λόγχης μακρᾶς ἐκτεινόμενος φαίνεται, ὠχρὸς δὲ καὶ νιφελοειδής· ὁ δὲ πωγωνίας τὴν λοφιὰν οὐ κατὰ κεφαλῆς ἀλλ' ὑποκάτω διαρραίνει δίκην πώγωνος· ὁ δὲ δοκίας ὅμοιος ἐγ-

5 γὰρ add Hasius. κυντιλιανὸν P. 12 καθοιερούν (καθιερούν P) καὶ θεοῦ μαντυρίαν (μαρτυρίαν P) προσαγόμενον PV: corr Hasius.

AUGUSTUS.

71. Sequitur a vere sextus, a feriis incrementi luminis quae dicuntur octavus. sextum autem eum a Martio esse, ex ipsa vetere mensis huius appellatione percipere licet: Sextilis enim post Quintilem nominabatur, unde qui eum sequuntur usque ad decimum, non propriam habent, sed eam quam ex numeris trahunt appellationem.

72. Octavianus Octavii filius victoriis magnis deportatis multis nominibus celebrabatur: alii enim eum nominabant Quirinum, velut Romulum, alii Caesarem; communi autem pontificum et senatus consulto Augustus cognominatus est: Augustum autem Romani ex patria significatione vocant eum qui consecratur et deorum augurio producitur (*s.* praeoptatur) [in testimonium].

73. Cometarum genera, ut Aristoteles docet, novem sunt, ut Apuleius Romanus, decem: hippias, xiphias, pogonias, docias, pithus, lampadias, cometes, disceus, typhon, cerastes. et hippias quidem a cursu et velocitate ita nominatus est, obliquos autem et exiles radios dispergit; xiphias instar gladii vel lanceae longae se extendens apparet, pallidus autem et nebulosus; pogonias iubam non de capite sed deorsum dispergit instar barbae; docias prope similis est xiphiae, sed non acutos

γύς ἐστι τῷ ξιφίᾳ, ἀλλ' οὐκ ὀξείας ἔχει ἀμβλείας δὲ τὰς ἀρχάς· ὁ δὲ πίθος ἐκ τοῦ σχήματος· ὁ δὲ λαμπαδίας πυρώδης, καὶ δίκην πυρώπιδος λίθου ἢ δένδρου καιομένου πέφυκε διαλάμπειν· ὁ δὲ κομήτης πλατύς ἐστι τὸ εἶδος καὶ ὥσπερ ἱλαρός, ἀργυροειδεῖς τινὰς πλοκάμους ἔλκων· ὁ δὲ δισκεὺς ἐξ αὐτῆς τῆς προσηγορίας δίκην δίσκου φαίνεται, οὐ λαμπρὸς οὐδὲ ἐρυθρός, ἀλλ' ὥσπερ ἤλεκτρον· ὁ δὲ τύφων πυρώδης καὶ αἱματώδης φαίνεται, καὶ λεπτούς τινας διαρραίνων πλοκάμους· ὁ δὲ κεράστης δίκην σελήνης κερατοειδής, ὅς, ἡνίκα Ξέρξης κατὰ τῆς Ἀττικῆς ἦλθεν, λέγεται φανῆναι. ὁ δὲ Πτολεμαῖος προστίθησι καὶ ἕτερον εἶδος κομήτου καλούμενον σάλπιγγα, φαίνεται δὲ κατὰ τὸ ἀρκτῷον κλίμα. οἱ δὲ φυσικοί φασιν ὡς συνίστανται οἱ κομῆται ἐν τοῖς ὑπὸ σελήνην κόλποις ἀστρώδη τινὰ φύσιν ἐπιδεικνύμενοι· οὐ γάρ εἰσιν ἀστέρες, ἀλλὰ θρομβώσεις τινὲς ἐξ ἀναθυμιάσεως τῆς γῆς ἀποτελούμενοι, ὧν ἡ γένεσις μὲν ἐξ ἀέρος τοῦ κατὰ συναφὴν ἐγκαταλαμβανομένου τῷ αἰθέρι.

74. δύο Πᾶνας φασί. τινὲς δέ φασι τὸν Πᾶνα ἐκ Κρόνου καὶ Ῥέας γενέσθαι, ἀντὶ τοῦ ἐκ τοῦ νοῦ καὶ τῆς ὑγρᾶς οὐσίας (οἷον τῆς ὑλικῆς ἀπειρίας) τόδε τὸ πᾶν.

p. 119 75. ἀποτρεπόμενος τοῦ κατὰ Περσῶν πολέμου Ἰουλιανὸς ὑπὸ τοῦ Λιβανίου καὶ ἄλλων πολλῶν οἰωνοσκόπων λέγεται φθέγξασθαι τὸ Ὁμηρικόν "αἰδέομαι Τρῶας καὶ Τρωάδας ἑλκεσιπέπλους." ὑπερβαλὼν δὲ τὸν Τίγρητα, καὶ πολλὰς πόλεις καὶ φρούρια Περσῶν παραστησάμενος, τὸ λοιπὸν ἀφύρητος ἦν τοῖς

1 τὰς ἀκτῖνας Roetherus.

habet verum hebetes fines (*fort.* radios); pithus a forma nominatur; lampadias igneus, et instar ignei lapidis aut arboris flagrantis solet perfulgere; cometes latus est forma, et tanquam hilaris [*sic*] argenteos aliquos cincinnos trahens; disceus ex ipsa appellatione instar disci apparet, non fulgens nec rubicundus, sed ut electrum; typhon igneus et rutilus apparet et exiles aliquos diffundens cincinnos; cerastes ut luna cornutus, qui, quo tempore Xerxes in Atticam venit, dicitur apparuisse. Ptolemaeus autem addit et aliud genus cometae, qui vocatur salpinx et in septentrionali climate apparet. physici autem cometas in sinubus sub luna existere dicunt, stellarem aliquam naturam ostendentes: non enim sunt stellae, sed concretiones quae ex terrae exhalatione efficiuntur, orientes ex eo aëre qui contagione excipitur in aetherem.

74. Duo Panas esse dicunt. quidam autem Pana ex Saturno et Rhea natum dicunt, pro, ex ratione et humida substantia (velut materiali infinitate) τόδε τὸ πᾶν (i. e. hocce universum).

75. Iulianus cum deterreretur a bello contra Persas a Libanio aliisque multis auguribus, dicitur exclamasse illud Homericum: "vereor Troianos et Troades longa vestium syrmata trahentes." traiecto autem Tigride et multis oppidis castellisque Persarum captis, in posterum in-

Digitized by Google

βαρβάροις. δόλῳ δὲ ὅμως ἀπίλλνται καὶ παμπληθεί· δύο γὰρ Πέρσαι, ἀκρωτηριάσαντες ἑαυτοὺς ὥτων τε καὶ μυκτήρων, ἐλθόντες ἀπατῶσι τὸν Ἰουλιανόν, τοιαῦτα πρὸς τοῦ βασιλέως παθεῖν τῶν Περσῶν ὀδυρόμενοι, δύνασθαι ὅμως, εἴπερ αὐτοῖς ἕψεται ὁ Ἰουλιανός, ἐπ' αὐτῆς αὐτὸν Γοργοῦς, τῆς βασιλίδος τῶν Περσῶν, νικῶντα καταστῆσαι. ὁ δέ, τῆς πεπρωμένης ἐπειγούσης, Ζωπύρου τε ἅμα τοῦ Ἡροδοτείου καὶ Σίνωνος τοῦ Οὐεργιλιανοῦ ἐπιλελησμένος, τὰς ναῦς καταφλέξας δι' ὧν τὸν Εὐφράτην παριφέρετο, ὡς μὴ δήπουθεν Πέρσαις ἄδειαν τοῦ χρήσασθαι αὐταῖς, μετρίαν τινὰ δαπάνην κομίζοντος τοῦ στρατοῦ, τοῖς ἀπατῶσιν ἠκολούθησεν. οἱ δὲ εἰς ξηρὰν καὶ ἄνυδρον ἀγαγόντες αὐτὸν δυσχωρίαν, τὸν δόλον ἀπεκάλυψαν, καὶ αὐτοὶ μὲν (τί γὰρ ἦν πλέον;) ἀπώλοντο, ὁ δὲ βασιλεύς, οὐδὲ προελθεῖν ἐπέκεινα οὐδὲ ἀναστρέψαι τὸ λοιπὸν εὑρίσκων, οἰκτρῶς ἐφθείρετο. ὡς δὲ τὸ πολὺ μέρος τῆς στρατιᾶς διέπεσεν, ἀσθενοῦντι αὐτῷ ἐπῆλθον οἱ Πέρσαι. ἐλαττωθέντες δὲ καὶ οὕτως αὖθις ἐπιτίθενται μηδὲ p. 120
δύο μυριάδας ἔχοντι, τῷ πρὶν ἑπταικαίδεκα ἑπαγομένῳ. ὁ δὲ Ἰουλιανὸς ἐμαχέσατο ἄριστα. εἷς δὲ ἐκ τῆς Περσικῆς φάλαγγος, τῶν λεγομένων Σαρακηνῶν, ἐκ τῆς ἁλουργίδος βασιλέα ὑπολαβὼν ἀνέκραγε πατρίως Μαλχάν, οἱονεὶ βασιλεύς, καὶ ἐπαφεὶς ῥοίζῳ τὴν λεγομένην ῥομφαίαν διῆλασεν αὐτὸν κατὰ τοῦ ἤτρου. τοῦ δὲ Ὀρειβασίου κομίσαντος αὐτὸν εἰς τὴν παρεμβολὴν καὶ διαθέ-

3 τοσαῦτα P. 8 τάς τε ναῦς Hasius. 9 *Πέρσαις δοῦναι* ἄδειαν Hasius. 11 ἄνυδρον Roetherus: vulgo ἄννγρον. 13 προσελθεῖν libri: corr Roetherus. 20 ἀνέκραξε P.

tolerabilis erat barbaris. dolo autem nihilo minus perit cum omnibus adeo copiis: duo enim Persae, qui mutilatis auribus naribusque ad eum venerant, decipiunt Iulianum, talia se a Persarum rege passos plorantes; posse tamen, siquidem ipsos secuturus esset Iulianus, in ipsa eum Gorgone, regia Persarum, victorem reddere. ille autem fato adigente, Zopyri simul Herodotei et Sinonis Virgiliani oblitus, navibus incensis, quibus per Euphratem vectus erat, ne videlicet Persis daret facultatem iis utendi, mediocrem commeatum exercitu portante impostores secutus est; qui ubi eum in locum difficilem aridum et aqua carentem deduxerunt, dolum aperuerunt, et ipsi quidem (quid enim reliquum erat?) perierunt, imperator autem, neque quomodo progrederetur ulterius neque quomodo reverteretur amplius inveniens, misere interfectus est. ubi autem maior pars exercitus effugit, laboranti ipsi supervenerunt Persae, et quanquam devicti vel sic eum adoriuntur ne viginti quidem milia habentem, cum antea centum et septuaginta milia adduxisset. Iulianus vero pugnabat summa virtute; unus autem ex Persica phalange, Saracenorum qui dicebantur, ex purpura imperatorem esse suspicatus, patrio sermone exclamavit *malchan*, i. e. rex, et misso cum stridore ense, qui ῥομφαία dicitur, traiecit eum circa abdomen. Oribasius au-

σθαι τὰ τελευταῖα παραινοῦντος, Ἰουβιανὸν μὲν αὐτὸς ψηφισάμενος βασιλεύειν ἐτελεύτα.

76. *οἱ ἀπὸ μεγάλης ἀρχῆς ῥέοντες ἄνεμοι εἰς δώδεκα μέρη τοῦ ὁρίζοντος διαιροῦνται. καὶ οἱ μὲν ἀπ' αὐτῶν ἄρκτων καὶ τοῦ κατ' αὐτὰς πόλου ῥέοντες ἀπαρκτίαι καλοῦνται, οἱ δὲ ἀπὸ δύσεως ἰσημερινῆς ζέφυροι, οἱ δὲ ἀπὸ τοῦ ἀφανοῦς νότοι, οἱ δὲ ἀπὸ ἀνατολῆς ἰσημερινῆς ἀπηλιῶται. τῶν δὲ μεταξὺ τῶν εἰρημένων ὁ μὲν προσεχὴς τῷ ἀπαρκτίᾳ καικίας, ὃν ἔνιοι καὶ θρασκίαν λέγουσιν, ὁ δὲ τῷ ζεφύρῳ ἀργέστης, ὃν οἱ μὲν ὀλυμπίαν οἱ δὲ ἰάπυγα καλοῦσι· τῶν δὲ μεταξὺ ζεφύρου καὶ νότου ὁ μὲν προσεχὴς τῷ ζεφύρῳ λίψ, ὁ δὲ τῷ νότῳ λιβόνοτος· τῶν δὲ μεταξὺ νότου τε καὶ εὔρου ὁ μὲν πλησίον φερόμενος τῷ νότῳ λιβόνοτος καλεῖται, ὁ δὲ τῷ ἀπηλιώτῃ εὖρος· ὁμοίως δὲ καὶ ἀπηλιώτου μεταξὺ καὶ ἀπαρκτίου ὁ μὲν προσεχὴς τῷ ἀπηλιώτῃ καλεῖται καικίας, ὁ δὲ τῷ ἀπαρκτίᾳ βορέας. τῶν δὲ ἀπὸ μεγάλης ἀρχῆς ὁ μὲν ἀπ' ὀλίγης φορᾶς νέφους ἐκνεφίας, ὁ δὲ ἀπὸ κόλπων τινῶν*
p. 121 *καὶ διὰ φαράγγων κολπίας, ὁ δὲ ἀπὸ γῆς καὶ συστροφῆς ἀέρος γνοφίας. αὖραι γὰρ καὶ αὐταὶ καὶ ῥύσεις ἀέρων τυγχάνουσιν οὖσαι, καὶ οὐκ ἀλόγως ἄνεμοι καλοῦνται, ὅτε ἢ ἀπὸ λιμνῶν ἢ ποταμῶν φέρονται· ὅμοιοι δὲ τούτων εἰσὶ καὶ οἱ ἀπόγειοι. ὅθεν εὐλόγως ἀέρος ἠρεμοῦντος τὸ κατάστημα καλεῖται νηνεμία.*

1 ἰοβιανὸν P: intactum relinquendum Ἰουβιανόν; certe Nicephorus patriarcha Chronographia ad calcem Syncelli p. 402 A aliique scriptores Byzantini eodem modo scribunt. Has. 4 καὶ om P. 18 φύσεις libri, φυσήσεις Roetherus.

tem cum eum in castra transportasset et hortaretur ut suprema disponeret, ipse Ioviano institnto rege mortuus est.

76. Qui a magno initio spirant venti (i. e. venti cardinales) in duodecim horizontis partes dividuntur, et qui ab ipsis septentrionibus et polo septentrionali spirant, aparctiae vocantur; qui ab occidente aequinoctiali, zephyri; qui a meridie, noti; qui autem ab oriente aequinoctiali, apeliotae (s. subsolani): eorum autem qui inter eos quos diximus ventos spirant, is qui proximus est Aparctiae Caecias, quem nonnulli et Thrascian dicunt, qui autem Zephyro, Argestes, quem alii Olympian alii autem Iapyga vocant; eorum autem qui inter Zephyrum et Notum, is qui proximus est Zephyro Lips, qui autem Noto Libonotus; eorum antem qui inter Notum et Eurum, is qui prope Notum fertur Libonotus vocatur, qui autem prope Apelioten Eurus; similiter autem et Apelioten inter et Aparctian, is qui proximus est Apeliotae vocatur Caecias, qui autem Aparctiae Boreas. eorum autem qui a magno initio, is qui a parva motione nubis existit ecnephias, qui autem a sinubus et per convalles colpias, qui autem a terra et collectione aëris gnophias. aurae enim et ipsi et flatus aërum sunt, nec absque ratione ἄνεμοι (venti) vocantur, cum vel a lacubus vel fluminibus feruntur: similes autem horum sunt et terrestres, unde non temere is status, cum aër quietus est, vocatur *νηνεμία* i. e. serenitas aëris.

77. κατὰ δὲ τὸν Αὔγουστον μῆνα μαλάχης ἀπέχεσθαι τοῖς γε βουλομένοις ὑγιαίνειν τὰ ἄρθρα τὸ λόγιον θεσπίζει.

ΣΕΠΤΕΜΒΡΙΟΣ.

78. Ἀληθῆ λόγον εἰλέγομεν ὡς ἀρχὴν ἐνιαυτοῦ τὸν Μάρτιον μῆνα ἔταττον οἱ Ῥωμαῖοι, ὡς ἐκ τῆς τοῦ παρόντος ἡμῖν μηνὸς ἔστι λαβεῖν προσηγορίας· Σεπτέμβριον γὰρ αὐτὸν ὠνόμασαν οἷον ἕβδομον ἀπὸ τοῦ ἦρος, τουτέστι τοῦ Μαρτίου μηνός, οὗ κατὰ τὴν τετάρτην καὶ εἰκοστὴν ὁ ἥλιος κριῷ γενόμενος τοῦ ἦρος δίδωσι τὴν φύσιν ἄρχεσθαι. κἄπειτα οὐ δεήσει περὶ τῆς τῶν ἑπομένων προσηγορίας μακρηγορεῖν· ὄγδοος γὰρ ὁ ἀπὸ τῶν αὐξιφωτίων.

Θεῖος ὁ τῆς ἐννάδος ἀριθμὸς ἐκ τριῶν τριάδων πληρούμενος, καὶ τὰς ἀκρότητας τῆς θεολογίας κατὰ τὴν Χαλδαϊκὴν φιλοσοφίαν, ὥς φησιν ὁ Πορφύριος, ἀποσώζων.

79. τῇ νεομηνίᾳ ὁ Μητρόδωρος λέγει τὴν Ἀνδρομέδαν ἀνίσχειν, τῶν τε ἄλλων πανομένων ἀνέμων τὸν εὖρον ἐπικρατεῖν. p. 122

80. τῇ πρὸ τεσσάρων νωνῶν Σεπτεμβρίων ἐνίκησεν ὁ Αὔγουστος παρὰ τὸν Λευκάτην τοὺς Αἰγυπτίους μετὰ Ἀντωνίου καὶ Κλεοπάτρας, καὶ τούτου χάριν τὸν τῆς λεγομένης ἰνδικτιῶνος κύκλον ἐκ προοιμίων τοῦ Σεπτεμβρίου μηνὸς ἀριθμεῖσθαι εἰσήγαγεν. ἐν ταύτῃ τῇ ἡμέρᾳ ὁ Δημόκριτος λέγει ἐναλλαγὴν ἀνέμων συμβαίνειν καὶ βροχῆς ἐπικράτειαν.

5 ἐκ τε τοῦ vulgo. 10 ὁ om P. 16 τε add Hasius.

77. Mense Augusto malva abstinere eos qui quidem cupiunt valere membris, oraculum iubet.

SEPTEMBER.

78. Vere diximus initium anni Martium mensem a Romanis constitutum esse, ut ex praesentis mensis nomine percipere nobis licet: Septembrem enim eum vocarunt, tanquam septimum a vere, id est Martio mense, cuius die vigesimo quarto sol in Arietem ingressus efficit ut veris natura incipiat; ac deinde non necesse erit, de sequentium appellatione multa verba facere: octavus enim a luminis incremento.

Divinus ennadis numerus, ut qui ex tribus triadibus completur et fines theologiae ex Chaldaica philosophia, ut ait Porphyrius, servat.

79. Interlunio Metrodorus ait Andromedam oriri reliquisque intermittentibus ventis Eurum invalescere.

80. A. d. 4 Nonas Septembres Augustus ad Leucaten Aegyptios cum Antonio et Cleopatra vicit; cuius rei causa indictionis quae dicitur orbem (s. temporis spatium) inde ab initio mensis Septembris numerari instituit. hoc die Democritus ait commutationem ventorum fieri et pluviam invalescere.

81. πλείονς μὲν αἱ χυμῶν διαφοραὶ κατὰ τὸν Ἀπολλώνιον, γενικαὶ δὲ ἐννέα, γλυκεῖα, πικρά, ὀξεῖα, δριμεῖα, βριγχή, στρυφνή, βλεννώδης, αὐστηρά, ἁλμυρά.

ὅθεν δὴ καὶ κατὰ τὸν ἔννατον μῆνα τοῦτον περὶ ὑγείας ηὔχοντο οἱ Ῥωμαῖοι.

82. τῇ πρὸ ὀκτὼ εἰδῶν Σεπτεμβρίων τὸν ἵππον δύεσθαι Εὔδοξος σημειοῦται καὶ ζέφυρον ἢ ἀργέστην πνεῖν. ἴσμεν τῇ κράμβῃ ἐμφυόμενον σκώληκα, κάμπην ὀνομαζόμενον. οὗτος ἀποξηραινομένης τῷ ἔαρι τῆς κράμβης εἰς σκώληκα πτερωτόν, ὡσὰν μύρμηκα, καὶ μεῖζονά πως, πέφυκε μεταβάλλεσθαι, πτε-
p. 123 ρύγων λευκῶν τριγώνων ἀνεχουσῶν αὐτόν, καὶ περίπταται τοῖς κήποις χαμαιζήλῳ καὶ εὐαλώτῳ τῇ πτήσει· ψυχὴν δέ που τὸν τοιοῦτον σκώληκα καλεῖσθαι συμβαίνει.

83. πρὸ δεκαοκτὼ καλανδῶν Ὀκτωβρίων Δοσίθεος τὸν ἀρκτοῦρον ἀνίσχειν σημειοῦται. τῇ πρὸ δεκαδύο καλανδῶν Ὀκτωβρίων Καῖσαρ τὰς χελιδόνας ἐκδημεῖν λέγει.

Νικομήδους τοῦ Βιθυνίας τυράννου.

οἱ Γότθοι Γέται.

οἱ δὲ ἰδιῶται δέλφακά φασιν αὐτόν.

τὸ δὲ λόγιον ἀνὰ πάντα τὸν Σεπτέμβριον μῆνα γαλακτοποτεῖν ὑπὲρ ὑγείας παρεγγυᾷ.

1 μὲν] δὲ P. 10 ὡσανεὶ Roetherus. 12 κόποις V: corr S.

81. Plures quidem saporum varietates sunt auctore Apollonio, generales autem novem: dulcis, amarus, acidus, acer, subdulcis, acerbus, mucosus, austerus, salsus.

unde videlicet et hoc nono mense pro sanitate precabantur Romani.

82. A. d. 8 Idus Septembres Eudoxus Equum occidere et favonium vel argesten spirare significat. scimus in crambe nasci erucam, quae campe nominatur. haec, cum veris tempore arescit crambe, in erucam alis praeditam, ut formicam, et aliquanto maiorem solet commutari, alis albis triangulis eam ferentibus, et circumvolat in hortis humili volatu et ita ut facilis sit captu: ψυχήν (Psychen) autem hanc fere vocant erucam.

83. A. d. 18 Kalendas Octobres Dositheus Arcturum oriri significat. a. d. 12 Kalendas Octobres Caesar hirundines migrare sit.

Nicomedis, Bithyniae tyranni.

Gothi, Getae.

vulgus autem indoctum δέλφακα (i. e. porcellum) eum dicit.

oraculum autem per totum Septembrem mensem lac bibi pro sanitate iubet.

Ὀ Κ Τ Ω Β Ρ Ι Ο Σ.

84. καλάνδαις Ὀκτωβρίαις φησὶν ὁ Βάρρων τὰς Πλειάδας ἀπὸ ἀνατολῶν ἀνίσχειν. ἐδόκει δὲ τὸν ὅλον μῆνα πρασοφαγεῖν τοῖς Ῥωμαίοις ἐξ ἀρχαίας τινὸς παραδόσεως πρὸς ἀποφυγὴν ἀρθρίτιδος νόσου.

85. τῇ πρὸ ἕξ νωνῶν Ὀκτωβρίων Εὔδοξος περὶ τὴν ἑσπέραν βροχὴν ἔσεσθαι ὑπολαμβάνει.

ἐπὶ δὲ τῶν εἰς γῆν βαλλομένων σπερμάτων ἦν τις δύναμις, ἣν ὁ ἥλιος περὶ τὸ κάτω ἡμισφαίριον ἰὼν ἔλκει κατὰ τὰς χειμε- p. 124
ρίους τροπάς. Κόρη μὲν ἡ δύναμις ἡ σπερματοῦχος, Πλούτων δὲ ὁ ὑπὸ γῆν ἥλιος, ὃς ἁρπάζειν λέγεται τὴν Κόρην, ἣν ζητεῖ ἡ Δημήτηρ κρυπτομένην ὑπὸ γῆς. ἐν Αἴτνῃ δὲ τῆς Σικελίας τὴν ἁρπαγὴν μυθολογοῦσι τῆς Κόρης· ἐκεῖ γὰρ λέγεται πρῶτον σίτου σπέρμα καταβληθῆναι.

86. ἐν τῷ Γουστείῳ, οἷον ἐν τῷ ὀψοπωλίῳ, εἰς τιμὴν Τιβερίου οἱ σεβαστοφόροι ἐχόρευον. τὸν δὲ τοιοῦτον τύπον οἱ ἰδιῶται Αὐγουστεῖον καλοῦσιν.

87. τῇ πρὸ μιᾶς νωνῶν Ὀκτωβρίων ὁ Δημόκριτος τοὺς ἐρίφους ἀνίσχειν καὶ βορρᾶν πνεῖν διισχυρίζεται, ὁ δὲ Εὔδοξος δύεσθαι τὸ μέσον τοῦ κριοῦ λέγει. νώναις Ὀκτωβρίαις ὁ Βάρρων ἐν ἑσπέρᾳ τὰς Πλειάδας ἀνίσχειν καὶ ζέφυρον πνεῖν, εἶτα καὶ λίβα προλέγει.

15 βουστίῳ libri: corr Hasius.

OCTOBER.

84. Kalendis Octobribus Varro Vergilias ait ab oriente exoriri. visum autem erat Romanis per totum mensem porro vesci ex vetere quadam traditione ad cautionem arthritidis morbi.

85. A. d. 6 Nonas Octobres Eudoxus circa vesperam pluviam fore putat.

in seminibus autem, quae in terram coniiciuntur, fuit vis quaedam, quam sol circum inferius hemisphaerium currens ad se trahit circa solstitium hybernum. Proserpina vis est semen alens, Pluto autem sol infra Terram stans, qui rapere dicitur Proserpinam, quam quaerit Ceres dum reconditur sub terra. in Aetna autem, Siciliae monte, Proserpinae raptum peractum esse per fabulam tradunt: ibi enim fertur primum frugum semen sparsum esse.

86. In Gusteo, velut in macello, in honorem Tiberii flamines Augustales saltabant. hunc autem locum vulgus indoctum Augusteum vocat.

87. Pridie Nonas Octobres Democritus Hoedos exoriri et Boream flare asseverat, Eudoxus autem occidere medium Arietem ait. Nonis Octobribus Varro vespere Vergilias exoriri et favonium flare, deinde et africum praedicit.

88. *περὶ τοῦ δουρείου ἵππου ὁ Εὐφορίων φησὶν πλοῖον γενέσθαι τυῖς Ἕλλησιν ἵππον λεγόμενον. ἕτεροι δέ φασι πύλην γενέσθαι οὕτω προσαγορευομένην ἐν τῇ Τροίᾳ, δι' ἧς εἰσῆλθον οἱ Ἕλληνες.*

89. *τῇ πρὸ μιᾶς εἰδῶν Ὀκτωβρίων ὁ Εὐκτήμων τὸ μεσαίτατον τοῦ φθινοπώρου εἶναι νομίζει. τῇ πρὸ δεκαπέντε καλανδῶν Νοεμβρίων ὁ Μητρόδωρος τὰς ὕάδας ἐν ἑσπέρᾳ ἀνίσχειν λέγει, καὶ ἄνεμον βίαιον.*

p. 125 90. *Ἀσκληπιοὶ τρεῖς λέγονται γενέσθαι, πρῶτος Ἀπόλλωνος τοῦ Ἡφαίστου, ὃς ἐξεῦρε μήλην· δεύτερος Ἰσχύος τοῦ Ἐλάτου καὶ Κορωνίδος, ὃς ἐν τοῖς Κυνοσούριδος ὁρίοις ἐτάφη· τρίτος Ἀρσίππου καὶ Ἀρσινόης τῆς Λευκίππου. οὗτος εὗρε τομὴν καὶ ὀδοντάγραν, καὶ τάφος αὐτῷ ἐν Ἀρκαδίᾳ· οἱ δὲ ἀστρονόμοι αὐτόν φασιν εἶναι τὸν ὀφιοῦχον τὸν ἐπὶ τοῦ σκορπίου ἑστῶτα.*

91. *τῇ πρὸ μιᾶς καλανδῶν Νοεμβρίων ὁ Βάρρων τὴν λύραν ἅμα ἡλίῳ ἀνίσχειν λέγει.*

NOEMBPIOΣ.

92. *Κίγκιος ἐν τῷ περὶ τῶν ἑορτῶν λέγει τὸν Νοέμβριον παρὰ τοῖς παλαιοῖς Μερκηδῖνον ὀνομασθῆναι, ὡσανεὶ μισθοφόρον· ἐν αὐτῷ γὰρ τοῖς κτήτορσιν οἱ μισθωτοὶ τὰς προσόδους εἰσέφερον τοῦ παρελθόντος κύκλου, ἑτέρων καρπῶν αὖθις ἐπερχομένων.*

2 δέ add P. πύλην Hasius: libri πόλιν. 11 ὃς ἐν τοῖς Κυνοσούριδος add Hasius. 15 ὀκτωμβρίων P.

38. Ligneum (Troianum) equum Euphorion dicit navem fuisse, quae Graecis Ἵππος (Equus) diceretur. alii autem portam fuisse Troine dicunt, quae ita appellaretur, per quam intraverint Graeci.

89. Pridie Idus Octobres Euctemon medium auctumnum esse putat. a. d. 15 Kalendas Novembres Metrodorus Suculas vespere exoriri dicit, et ventum vehementem.

90. Aesculapii tres fuisse dicuntur, primus Apollinis Vulcani, qui invenit specillum; secundus Ischyis Elati filii et Coronidis, qui in Cynosuridis finibus humatus est; tertius Arsippi et Arsinoae Leucippi filiae. hic invenit amputationem dentisque evulsionem, et sepulchrum eius est in Arcadia: astronomi autem eum dicunt esse Ophiuchum, qui supra Scorpium stat.

91. Pridie Kalendas Novembres Varro Lyram una cum sole oriri ait.

NOVEMBER.

92. Cincius in libro de diebus festis ait Novembrem apud veteres Mercedonium nominatum fuisse, velut mercedis ferentem: illo enim mense dominis mercenarii tributa pendebant praeteriti spatii temporis, aliis

Νοέμβριος δὲ ὕστερον ὠνομάσθη ἐκ τοῦ ἀριθμοῦ· ἔννατος γὰρ ἐκ τοῦ Μαρτίου.

93. *τῇ πρὸ ἑπτὰ καλανδῶν Δεκεμβρίων ὁ Δημόκριτος λέγει τὸν ἥλιον τοξότῃ γίνεσθαι.*

φάβα Ῥωμαίοις τὸ ἔτνος ἐδόκει καλεῖν, ἀπὸ τοῦ ζεφύρου, οὗ καταρχομένου πνεῖν πρῶτος πέφυκεν οὗτος βλαστάνειν καρπός· p. 126 *φαβώνιος δὲ κατ' αὐτοὺς ὁ ζέφυρος καλεῖται. ὅθεν καὶ ζεφυρίτης ὁ Μάρτιος, ὥσπερ μονίας ὁ Ἰανουάριος ἀπὸ τῆς μονάδος, καὶ σεμεντίλιος ὁ Ὀκτώβριος ἀπὸ τοῦ σπόρου, ὡς ἡ παλαιότης παραδέδωκεν.*

ΔΕΚΕΜΒΡΙΟΣ.

94. *οἱ δικούνδιοι, οἱονεὶ νεοστράτευτοι, οὓς καὶ τίρωνας ἀπὸ τοῦ στρατεύεσθαι δι' ἔνδειαν τροφῆς Ἰταλοὶ καλοῦσι. δικουνδίους δὲ αὐτοὺς ἐκάλουν ἀπὸ τῶν ἄρτι παραγγελλόντων ἐν στρατείᾳ· οὐ γάρ — — δικουνδίους δὲ αὐτοὺς ἐκάλουν ἐκ τοῦ δύο μόνοις νομίσμασιν ἀρκουμένους ὑπομένειν στρατεύεσθαι· δικούνδιον γὰρ τὸ διώβολον Ῥωμαίοις ἔθος καλεῖν.*

95. *Διόνυσός ἐστι τὸ ἐν τῷ πυρὶ γενόμενον πνεῦμα, τουτέστι τὸ θερμόν, ὅθεν πυρίτοκος ἐκλήθη καὶ μητροτραφὴς καὶ*

12 δικούντιοι P. 15 δικουνδίους] δίους libri.

fructibus rursus provenientibus. November autem postea nominatus est a numero: nonus enim est a Martio.

93. A. d. 7 Kalendas Decembres Democritus ait solem Sagittario esse.

fabam Romanis videbatur τὸ ἔτνος vocare, a zephyro, quo incipiente spirare primus solet germinare hic fructus: favonius autem apud eos zephyrus vocatur; unde et Zephyrites Martius, ut Monias Ianuarius a monade et Sementilis October a semente, ut antiquitas tradidit.

DECEMBER.

94. Dipondii, velut recens conscripti, quos et tirones a militando ob inopiam victus Itali vocant. dipondios autem eos vocabant ab iis qui modo conscripti erant ad militiam: non enim — — .... dios autem eos vocabant inde quod duobus solis numis contenti sustinebant militiam: dipondium enim τὸ *διώβολον* vocare Romani solent.

95. Bacchus est spiritus qui est in igne, id est calor, unde πυρίτοκος (i. e. ex igne progenitus) et *μητροτραφής* (i. e. in fe-

ἀρσενόθηλυς ὑπὸ Ἑλλήνων, ἀγνοησάντων ἐκείνων τὴν περὶ αὐτὸν φιλοσοφίαν, καὶ τίς τετύχηκεν ὤν· οὗτος γάρ ἐστι τὸ θερμὸν πνεῦμα τὸ ἐκ πάσης σπορᾶς παντὸς ζῴου πνευματικοῦ συγκατατιθέμενον εἰς ζωογονίαν καὶ αὔξησιν πάντων τῶν ἐν τῷ κόσμῳ. μηροτραφὴς δὲ ἐκλήθη, ἐπεὶ ἐν ταῖς μήνιγξι καὶ τοῖς ὄγκοις τοῖς γονίμοις καὶ ταῖς φλεψὶ ταῖς ἐν τοῖς μηροῖς ἐγκατῴκισται ἡ τοιαύτη οὐσία παντὸς ζῴου, ἐξ οὗ συνέστη τὰ πάντα. ἀρρενόθηλυς δὲ ἐρρέθη διὰ τὸ τὰς ἀρρενοθήλεις σπορὰς γίνεσθαι δύο, ἀρσενικήν τε καὶ θηλυκὴν φύσιν, καὶ οὐκ ἔστιν ἕτερον ἀφ' ἑτέρου τὸ δυνάμενον γεννῆσαι, εἰ μὴ ὁμοῦ ἐλθοιεν καὶ ζωογονήσωσι τὰ ζῷα τὰ ὑπὸ τούτου δεδημιουργημένα. ἀναλύεσθαί τε αὐτὸν ὑπειλήφασι καὶ πάλιν γεννᾶσθαι, ἐπεὶ καὶ τὰ ἐξ αὐτοῦ γεννώμενα ὁμοίως ἀνεκλείπτως δαπανᾶται καὶ πάλιν ζωογονεῖται.

p. 127

96. τοὺς κεραυνοὺς οἱ φιλόσοφοί φασι γενέσθαι, ὅταν ῥῆξις νεφῶν γένηται· τῆς γὰρ παρακειμένης αὐτοῖς γειώδους οὐσίας ἐξαφθείσης, τὸ ἐξαφθὲν ὑπὸ τῆς ῥιπῆς ἐπὶ τὴν γῆν μετὰ ῥοίζου φέρεται, καὶ ἂν μὲν ὑγρὰ τυγχάνει ὄντα τὰ νέφη, ἅμα τῇ καταφορᾷ σβέννυται, εἰ δὲ γειωδέστερα, πυροειδεῖς ἐκθλίβονται. δύο δὲ εἴδη κεραυνῶν εἶναί φασιν, ὧν ὁ μὲν ὀξὺς καὶ μανὸς καὶ διάπυρος ἀργὴς ὀνομάζεται, ὁ δὲ βραδὺς καὶ καπνώδης ψολόεις· καὶ ὁ μὲν διὰ τὴν λεπτότητα, καὶ πρὶν ἐκπυρῶσαι, φερόμενος

10 ζωογονήσουσι libri: mutavit Roetherus.

more nutritus) et ἀρσενόθηλυς (i. e. masculus simul et femineus) vocatus est a Graecis, ignorantibus illis de eo philosophiam, et quis fuerit: hic enim est spiritus calidus, qui ex omni procreatione eiusque animantis spiritu praediti componitur ad generationem atque incrementum omnium quae in mundo sunt. μηροτραφὴς autem vocatus est, quandoquidem in membranis et in angulis genitalibus et venis, quae in femoribus sunt, inhabitat eiusmodi essentia omnis animantis, ex quo constant universa. ἀρρενόθηλυς autem dictus est, quoniam fetus masculi simul et feminei fiunt duo, mascula ac feminea natura, nec est alterum ab altero quod possit gignere, nisi coierint et progenuerint animantia ab hoc creata. et resolvi eum censuerunt et rursus nasci, quandoquidem et ea quae ex illo nascuntur, similiter sine intermissione consumuntur et rursus generantur.

96. Fulmina philosophi existere dicunt, cum disrumpuntur nubes: substantia enim terrena, quae iis admixta est, incensa, ea pars quae incensa est impetu suo in terram cum strepitu defertur. atque si forte humidae nubes sunt, in ipso casu exstinguuntur, sin vero magis terrenae, igneae eliduntur. duo autem fulminum genera esse dicunt, quorum alterum, acre et rarum atque igneum, κεραυνὸς ἀργής (i. e. fulmen candidum) vocatur, alterum, lentum et fumosum, κεραυνὸς ψολόεις (i. e. fulmen flammeum); et alterum propter raritatem iam prius quam incen-

οἴχεται διὰ τάχους, ὡς μηδὲ ἐπιφλέξαι τι τῶν ἀραιοτέρων, ὁ δὲ βραδύτερος ἱκανὸς μὲν ἐπιχρῶσαι ὡς ἀπὸ αἰθάλης, καὶ κακῶσαι δέ τινα τῶν ὑποπεσόντων, βολβῶν καὶ συκῆς καὶ φώκης καὶ ὑαίνης μενόντων ἀβλαβῶν, ὡς καὶ ταῖς δοραῖς περιδιφθεροῦσθαι λόγος τοὺς ἱστοὺς τῶν νεῶν διὰ τοὺς κεραυνούς.

97. οἱ τῶν Ἑβραίων λόγιοι τὸν περὶ προγνώσεως λόγον p. 123 διχῇ τέμνουσιν, εἰς σημεῖα καὶ τέρατα, καὶ σημεῖα μὲν εἶναι βούλονται τὰ ἐν μετεώροις συνιστάμενα, τέρατα δὲ τὰ ἐπὶ γῆς ὡς παρὰ φύσιν φαινόμενα, ὁποῖον ἐκεῖνο τὸ ἐπὶ τῆς καλουμένης τῶν Ἑβραίων ἐξόδου ἀναφερόμενον περὶ Μωϋσέως αὐτοῦ· "καὶ εἶδεν ὅτι ἡ βάτος καίεται, ἡ δὲ βάτος οὐ κατεκαίετο." καὶ πάλιν "ἔρριψε Μωϋσῆς τὴν ῥάβδον ἐπὶ τὴν γῆν, καὶ ἐγένετο ὄφις." καὶ πάλιν "εἰσήνεγκε Μωϋσῆς τὴν χεῖρα εἰς τὸν κόλπον αὐτοῦ, καὶ ἐγένετο ἡ χεὶρ αὐτοῦ ὡσεὶ χιών." εἶτα αὖθις "καὶ εἶπεν ὁ θεὸς πρὸς Μωϋσῆν· λήψῃ ἀπὸ τοῦ ὕδατος τοῦ ποταμοῦ ἐπὶ τὸ ξηρόν, καὶ ἔσται αἷμα." εἶτα ὑποβάς "καὶ εἶπε κύριος πρὸς Μωϋσῆν· ἐὰν λαλήσῃ Φαραὼ πρὸς ὑμᾶς λέγων 'δότε σημεῖον ἢ τέρας,' λάβε τὴν ῥάβδον σου καὶ ῥῖψον ἐπὶ τῆς γῆς, καὶ ἔσται δράκων." καὶ οὐ ταῦτα μόνον, ἀλλ' ἔτι τέρας ἄλλο φοβερώτερον ἡ τοῦ παντὸς Αἰγυπτίου ὕδατος εἰς λύθρον μεταβολή, καὶ τῶν βατράχων τὸ πλῆθος, καὶ οἱ λεγόμενοι σκνῖπες, καὶ οἱ μύωπες, οὓς αὐτοὶ

3 καὶ ὑαίνης om P 10 μωσέως P, et sic deinde. 11 ἔρριψε] Exod. 4 3.

dator cum celeritate defertur, ut nihil eorum quae rariora sunt adurat; lentius autem ita comparatum est, ut contaminare possit, ut fit a fulligine, et laedere nonnulla eorum quae ei subiecta sunt, bulbis et fico et vitulo marino atque hyaena manentibus integris, ut et eorum pellibus induci dicant malos navium propter fulmina.

97. Hebraeorum docti praesagii rationem bifariam distribuunt, in σημεῖα et τέρατα (i. e. prodigia et signa); et σημεῖα esse volunt ea quae in aëre existunt, τέρατα vero ea quae in terra tanquam contra naturam apparent, quale illud quod in Hebraeorum Exodo, quae dicitur, de Moyse ipso refertur: "et videbat quod rubus arderet et rubus non combureretur." et rursus "proiecit Moyses virgam in terram, et versa est in colubrum." et rursus "misit Moyses manum in sinum suum, et facta est manus eius instar nivis." deinde rursus "dixitque deus ad Moysen: sume aquam fluminis (et effunde eam) super aridam, et vertetur in sanguinem." tum aliquanto inferius "dixitque dominus ad Moysen: cum dixerit vobis Pharao, ostendite signum vel miraculum, tolle virgam tuam et proiice eam in terram, et vertetur in colubrum." neque haec solum, sed etiam miraculum aliud terribilius, omnis Aegyptiae aquae in cruorem conversio, et ranarum multitudo, et σκνῖπες (cul.ces) qui di-

καλοῦσι κνυομυίας, καὶ ἡ τῶν κτηνῶν φθορά, καὶ ὁ κονιορτὸς ὁ ἑλκώδης, φλυκταῖναι καὶ ἀκρίδες. ταῦτα πάντα τέρατα ἂν δικαίως λέγοιντο. σημεῖα δὲ τὰ ἐξ ὑπερτέρων φαινόμενα, οἷον ἐκεῖνο τὸ ἐπὶ τῆς αὐτῆς φέρεται γραφῆς "καὶ ἔβρεξε κύριος τὴν χάλαζαν ἐπὶ πᾶσαν τὴν γῆν Αἰγύπτου. ἦν δὲ ἡ χάλαζα, καὶ τὸ πῦρ φλογίζον ἐν τῇ χαλάζῃ." καὶ πάλιν "ἐξέτεινε δὲ Μωϋσῆς τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν οὐρανόν, καὶ ἐγένετο σκότος γνόφος καὶ θύελλα ἐπὶ πᾶσαν τὴν γῆν Αἰγύπτου." τοιοῦτος τοίνυν Ἑβραίοις ὁ περὶ σημείων λόγος, ἐξ ὧν, οἶμαι, καὶ τἆλλα τῶν ἐθνῶν διοσημίας ταῦτα καλεῖν ἔγνω τὰ σήματα· Ζεὺς γὰρ ὁ ἀὴρ κατὰ τοὺς φυσικοὺς λέγεται, ὅτι ζῳοποιός ἐστιν, ὥστε διοσημία τὸ τοῦ ἀέρος σημεῖον, ὅπερ εὔδιον τὸ πρᾶον καὶ γαληνὸν τοῦ ἀέρος καλεῖται σχῆμα. οὐ χρὴ οὖν πρὸς τὰ ὀνόματα ταραττομένους τοὺς ἁπλουστέρους ἀποπηδᾶν τοῦ μαθεῖν. "δώσω" γάρ φησι "σημεῖα ἐν τῷ οὐρανῷ ἄνω καὶ τέρατα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ· ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος καὶ ἡ σελήνη εἰς αἷμα." p. 129

98. Σαβαὼθ τοῦ δημιουργοῦ· οὕτω γὰρ παρὰ Φοινίκων ὁ δημιουργικὸς ἀριθμὸς ὀνομάζεται.

11 διοσημεῖα P. 12 ὥσπερ S. 13 τοὺς ἁπλουστέρους om P. 14 δώσω] Ioel. 2 30, Act. 2 19.

cuntur, et muscae quas ipsi vocant κνυομυίας, et pecorum interitus, et pulvis ulcera efficiens, pustulae et locustae, haec omnia signa iure dicantur. prodigia vero ea quae ex sublimioribus partibus cernuntur, quale illud quod in eodem scripto fertur: "pluitque dominus grandinem super omnem terram Aegypti; erat autem grando, et ignis flagrans in grandine." et rursus "extenditque Moyses manum suam in caelum, et factae sunt tenebrae, turbo et procella in universa terra Aegypti." talis igitur Hebraeis de ostentis est ratio, unde, arbitror, reliquis quoque populis διοσημίας haec vocare visum est signa: Ζεύς (Iuppiter) enim aër ex physicorum decretis dicitur, quod vim animandi habet, ut διοσημία sit τὸ τοῦ ἀέρος σημεῖον, i. e. aëris signum, ut εὔδιος mitis et tranquilla aëris vocatur species. non oportet igitur ad nomina confusos homines simpliciores deflectere a discendo: "dabo" enim dicit "prodigia in caelo sursum, et signa in terra deorsum, sanguinem et ignem et vaporem fumi; sol convertetur in tenebras, et luna in sanguinem."

98. Sabaoth opificis mundi: ita enim a Phoenicibus numerus ad mundi opificem pertinens nominatur.

E.

καὶ πολλῶν ἀπολλυμένων ἔχρησεν ὁ Πύθιος παύσισθαι τὴν νόσον, ἐὰν κατ' ἐνιαυτὸν θεοῖς ἀποτροπαίοις ἢ λυσίοις κληρωτὴ σφαγιασθῇ παρθένος. τῆς δὲ ἀνόμου δεισιδαιμονίας κατὰ πᾶν φθινόπωρον τελουμένης, συνέπεσέ ποτε λαχεῖν τὴν Ἑλένην, Τυνδάρεως δὲ τὴν θυγατέρα ἐστεφανωμένην τοῖς βωμοῖς προσήγαγε. καταρχομένου δὲ αὐτοῦ τῆς ἀνόμου θυσίας, ἀετὸς καταπτὰς ἥρπασε τοῦ βασιλίως τὸ ξίφος καὶ παρά τινα λευκὴν δάμαλιν ἀφῆκεν. οἱ δὲ δορυφόραι κατόπιν ἀκολουθήσαντες, καὶ αὐτόπται γενόμενοι τοῦ συμβάντος, τὴν βοῦν πρὸς Τυνδάρεων ἤγαγον. ὁ δὲ θαυμάσας τὴν πρόνοιαν τῆς μὲν ἀνθρωποκτόνου συνηθείας ἐπαύσατο, τὴν δὲ δάμαλιν θύσας τοῦ λοιμικοῦ πάθους ἀπηλλάττετο.

τῇ πρὸ τεσσάρων καὶ τριῶν νωνῶν Νοεμβρίων ἐν τῷ ναῷ τῆς Ἴσιδος συμπέρασμα τῶν ἑορτῶν. ἐπετελεῖτο δὲ καὶ ὁ λεγόμενος δρεπαν*, καθ' ἣν ἑορτὴν ὁ Μητρόδωρος νότον φυσῆσαι λέγει· ἀλουτεῖν δὲ μέχρι πέρατος ἐδόκει τῷ πλήθει, ὡς λόγος, πρὸς ἀποφυγὴν νόσου.

τῇ πρὸ ὀκτὼ εἰδῶν Νοεμβρίων τιμαὶ παρὰ τῶν γυναικῶν ἐπετελοῦντο Δήμητρος καὶ Εἰλειθυίας (Εἰλείθυια δέ ἐστιν ἡ τῶν τικτουσῶν ἔφορος), ὅπως τὸ ἓν, ὥς φησι Πλούταρχος,

V.

FRAGMENTA CASEOLINA.

multisque pereuntibus sortes hasce dedit Apollo, desiturum morbum, si quotannis diis averruncis sive liberatoribus virgo sorte ducta immoletur. ita cum impia religio quovis autumno expiaretur, accidit aliquando ut Helena sortem tolleret: Tyndareus ideo filiam coronatam ad aras adduxit. iamque auspicabatur dira sacra, cum aquila delapsa regis gladium raperet, demitteretque iuxta candidam aliquam invencam. satellites pone secuti, cum rem ipsi spectassent, buculam ad Tyndareum deducunt: is providentiam admiratus, fatalem consuetudinem abrogat, et immolata vacca lue liberatur.

4 et 3 Nonas Novembres ad Isidis conclusio solennium. agebantur etiam quae dicuntur . . .; quo festo Metrodorus austrum flare ait. et lavationibus abstinendum ad finem usque videbatur plebi, ut ferunt, ad vitandum morbum.

8 Id. Nov. sacra per matronas conficiebantur Cereris et Lucinae (Lucina parturientium praeses est, Ilithyia a Graecis vocata) ut illud unum, quemadmodum ait Plutarchus, ad similitudinem proprii nominis

ὁμοίως ἑαυτῇ δύο ποιήσειε. τοιαύτην δὲ ἐν τῷ πάθει καὶ τὴν Ἄρτεμιν ταῖς κυούσαις εἶναι φασίν. Ἄρτεμις δὲ κατὰ τὸν ἀριθμητικὸν λόγον ἐστὶν ἡ τὴν εἰς τὸ ἄρτιον ἰοῦσαν γένεσιν καὶ εἰς τοῦτο προβῆναι σπεύδουσαν ἐκβαλλομένη. διὸ δὴ καὶ μυθεύεται τὸν Ἀπόλλωνα παρὰ τῆς Λητοῦς τικτόμενον ..... δειχθέντος αὐτοῦ, αὕτη τὴν μητέρα μαιευομένη δει ..... πρὸς τὸν αὐτὸν προκα ..... ἑαυτήν τε καὶ τὸν Ἀπόλλωνα ..... ν μεθε .....

Τῇ πρὸ ἑπτὰ εἰδῶν Νοεμβρίων ..... δεκα ..... δ .....

*** σα κατὰ τὸν Αἰγύπτιον Ἑρμῆν, ὃς ἐν τῷ λεγομένῳ τελείῳ λόγῳ φησὶν οὕτως· "αἱ δὲ παραβᾶσαι ψυχαὶ ἐντεῦθεν εἰς ἕτερον αἰῶνα, ἐπὰν ἀπαλλαγῶσι τοῦ σώματος, πλανῶνται πολλούς τινας ἑλιγμούς, καὶ φέρονται κατὰ τοῦ ἀέρος σφενδονούμεναι εἰς τινας πυρώδεις καὶ φλογώδεις ζώνας, ἃς οἱ ποιηταὶ Πυριφλεγέθοντα καὶ Τάρταρον καλοῦσιν." ὁ μὲν Ἑρμῆς περὶ μόνου τοῦ καθαρμοῦ ψυχῶν, ὁ δὲ Ἰάμβλιχος, ἐν τῷ πρώτῳ τῆς περὶ καθαρότητος ψυχικῆς πραγματείας, καὶ τῆς ἀποκαταστάσεως αὐτῶν μέμνηται ..... θλη .... ἄλλως ἡλίου χῶρον τῷ Ἅιδῃ διδούς, παρ' ᾧ φησὶ τὰς ἐκκαθαρμένας ε..αναι ψυχάς, καὶ αὐτὸν μὲν εἶναι τὸν Πλούτωνα Περσεφόνην δὲ τὴν σελήνην. ταῦτα μὲν οἱ φιλόσοφοι· τῆς δὲ ἑορτῆς τὰ ἱερὰ εὐλογίαις ἐπετελοῦντο ἐπὶ τῷ ἀσβέστῳ πυρὶ τῆς Ἑστίας, περὶ οὗ Πορφύριος οὕτως φησί "ταύτῃ τοὺς φαινομένους οὐ-

1 codex Casaubonus (C) ἑαυτήν. 17 malim καὶ ὁ μέν, aut ὁ μὲν οὖν Hasius.

duo faceret. talem adiutricem in labore Dianam quoque praegnantibus esse ferunt. Diana vero, quam Graeci Ἄρτεμιν appellant, iuxta rationem numerorum ea est quae partum ad ἄρτιον, hoc est absolutum, tendentem atque in id progredi festinantem extrudit. ideo et fingitur apud matrem obstetricis officio functa, cum a Latona Apollo pareretur ***

*** 7 Id. Nov. inferorum parentationes *** iuxta Hermetem Aegyptium, qui in libro vocato "verbum perfectum" ait in hunc modum "animae transgressae hinc ad alterum aevum, ubi discesserint a corpore, vagantur multis turbinibus, perque aërem rotatae raptantur ad ignitas quasdam et flammeas zonas, quas Pyriphlegethontem et Tartarum poëtae vocant." at Hermes de sola purificatione animarum, Iamblichus autem, libro primo commentationis de puritate spirituali, de restitutione quoque earum memorat ** alias solis locum Orco deo concedens, apud quem lustratas animas ait commorari, solemque esse Plutonem, Proserpinam lunam. sed haec philosophi: solennitatis autem caerimoniae gratulationibus peragebantur super igni aeterno Vestae, de quo Porphyrius ita

ρανίους θεοὺς τῇ θυσίᾳ δεξιούμενοι, καὶ πῦρ ἄσβεστον αὐτοῖς ἀναφέροντες ὡς ὂν αὐτοῖς ὁμοιότατον." ἐκ ταύτης τῆς ἡμέρας Εὔδοξος χειμῶνα λέγει.

Τῇ δὲ ἐπιούσῃ μνήμη Ῥέμου καὶ Ῥωμύλου· ὅτε Ἀμούλιος πρὸς Νομίτωρα τυραννικῶς διακείμενος τὸν μὲν υἱὸν αὐτοῦ ἀνεῖλε, τὴν δὲ θυγατέρα ἱερατεύειν προσέταξε, τῆσδέ τε τεκούσης, ὡς λέγουσιν, ἐξ Ἄρεως δείσας αὐτὸς καταποντωθῆναι προσέταξε τὰ βρέφη. τῶν δὲ δορυφόρων παρὰ τὰς ὄχθας τοῦ Θύβριδος ἐκθεμένων αὐτά, λύκαινα προσελθοῦσα τὰς θηλὰς αὐτοῖς προσένειμε· ποιμὴν δὲ τοῦτο θεασάμενος ἀνέλαβε τοὺς παῖδας καὶ ὡς ἰδίους ἀνέθρεψεν, οἳ καὶ κτίζουσι τὴν Ῥώμην. ταὐτὸν καὶ παρὰ Ζωπύρῳ τῷ

.....ος ἁρμονίας διειλημμένης.....ους
φρ.....πάντα καὶ φρουρεῖται.....
τὸ Φαέθοντος πάθος καὶ τὰ ἐπὶ Δευκαλίωνος τοῦ ὕδατος δράματα ἰδίαν τινὰ αἰνίττεται τῶν ἐπὶ τοῖς ὅλοις δεδογμένων παθῶν. οἱ δὲ Φοίνικες κατὰ τὸν τῆς ὁμωνυμίας τρόπον, εἴτε κατά τινα ἀλληγορίαν ἄλλως πως περὶ Κρόνου ἔχουσιν, ὡς ἐκ τῆς

1 δεξιουμένον C: correxit Hasius. 13 incipit hic folium alterum libri De mensibus: sed inter hoc et prius interciderunt folia ad minimum duo, et fortasse multo plura, in quibus agebatur de diebus festis reliquis, mense Novembri institutis, Iovis epulo, equorum probatione, pontificum cena in honorem Cybeles, Liberalibus II, Brumalibus, inferiis Plutoni factis: vide *P. F. Fogginium* in *Fastorum anni Roman. reliquiis*, *Romae* 1779, *fol.* p. 114. deinceps credendum est Lydum, ad Decembrem transferentem sese Saturno dicatum, arrepta inde occasione de Saturni origine, nomine, rebus gestis, suo more disserere coepisse. eo certe pertinent literarum vestigia in fronte folii laceri madoreque et vetustate valde affecti. Hasius. 18 malim εἴτε κατά. Has. 19 χρόνου C.

habet: "colentes hoc sacrificio caelites praesentes, et offerentes iis ignem aeternum, quod hic sit illis quam simillimus." inde ab hoc die hiemem esse Eudoxus auctor est.

Postridie eius diei memoria Romuli et Remi, cum Amulius, tyrannice se gerens adversus Numitorem, filium eius interemit, filiam sacerdotem esse iussit; quae cum ex Marte, ut ferunt, peperisset, ipse metu inductus infantes aquis mergi imperat. quos ubi ad fluminis ripam satellites exposuerant, lupa accedens ubera illis admovit . pastor, re visa, sustulit pueros et ut suos eduxit, qui posterius Romam condunt. id ipsum quoque apud Zopyrum, qui ....

.... Phaëthontis casus et diluvii Deucaleonei fabula figuram quandam ostentant calamitatum, quae universo existimantur imminere. Phoenices contra, sive nominis similitudine ducti sive per allegoriam aliquam, aliter

δευτέρας τῶν Φοινικικῶν τοῦ Ἑρεννίου Φίλωνος ἔστι λαβεῖν. καὶ βασιλεῦσαι δὲ αὐτὸν ἡ ἱστορία παραδίδωσιν, ὡς ἔμπροσθεν ἀφηγησάμην, κατά τε τὴν Λιβύην καὶ Σικελίαν, οἰκίσαι τε τοὺς τόπους, καὶ πόλιν κτίσαι, ὡς ὁ Χάραξ φησί, τὴν τότε μὲν λεγομένην Κρονίαν, νῦν δὲ Ἱερὰν πόλιν, ὡς Ἰσίγονος περὶ Ἑλληνικῶν θεῶν καὶ Πολέμων καὶ Αἰσχύλος ἐν τῇ Αἴτνῃ παραδιδόασιν, ἢ ὡς πᾶσα ἡ ἱστορία κατὰ τὸν Εὐήμερον ποικίλλεται, σοφῶς τὴν τῶν λεγομένων θεῶν ὑπογράφουσα θεωρίαν ..... ἀποκρύπτει ..... ον .... δα .. εσεν ..... ὥστε καὶ καλῶς ὁ Π ..... ἐν τῷ περὶ Διονύσου φησὶ τοὺς δικαίους τῶν βασιλέων καὶ ἱερέων ταῖς ἴσαις τιμαῖς ... ὑπ' αὐτῶν τῶν θεῶν καὶ προσηγορίαις τιμηθῆναι, καὶ ταύτῃ μὲν εἰρῆσθαι μυθικῶς, τὴν δὲ ἱστορίαν πεπλασμένως παραδεδόσθαι. εἰσὶ δὲ οἳ φασι τὸν Κρόνον, ἢ κατὰ ἀντιστοιχείαν τὸν χρόνον, Οὐρανοῦ εἶναι παῖδα· καὶ γὰρ ἐκ τῆς οὐρανοῦ κινήσεως ὁ χρόνος. ἐν δὲ τῷ κατ' αὐτὸν ἱερῷ, ὡς φησι Φύλαρχος ἐν τῇ ἑπτακαιδεκάτῃ καὶ Μένανδρός γε τῇ πρώτῃ, οὔτε γυνὴ οὔτε κύων οὔτε μυῖα εἰσήει. τοιαῦτα μὲν οὖν τοῖς ἔξωθεν εἴρηται· ὁ δὲ ἱερὸς λόγος (αὐτοῖς γὰρ τοῖς τοῦ μεγάλου Πρόκλου χρησόμεθα ῥήμασι) πρὸς λέξιν οὕτως λέγει. ὁ δὲ δὴ Κρόνος, τέταρτος ὤν, καὶ βίᾳ δέχεται τὸ πατρὸς σκῆπτρον καὶ παραδίδωσι τῷ παιδὶ βιασθείς, κατὰ τὸ τοῦ μύθου πρόσχημα. τὸ δὲ αἴτιον τῆς τοιαύτης διασκευῆς οἱ μυθικοὶ δο-

12 malim ταῦτα. Hasius. 18 εἰσείη C. 21 τόν C. quidni τὸ τοῦ?

de Saturno habent, quemadmodum ex libro secundo Phoeniciorum Herennii Philonis licet deprehendere. et regnasse eum historia tradit, sicut superius exposui, in Africa Siciliaque, incolisque frequentasse loca, et condidisse urbem, ut Charax ait, quae Cronia vocaretur tunc, nunc Hierapolis, quemadmodum Isigonus de diis Graecis et Polemon et Aeschylus in Aetna tradunt . vel ut omnis historia auctore Euemero illustratur, ingeniose eorum qui dii appellantur submonstrans cognitionem ... abscondit ... utque recte ideirco P ... in commentatione de Bacho dixerit regibus et sacerdotibus iustis aequales esse honores atque appellationes ab ipsis diis immortalibus impertitos, et illos hac ratione fabulose celebratos, historiam autem esse traditam commentis obscuratam. sunt qui dicant τὸν Κρόνον, sive litera permutata τὸν Χρόνον, hoc est tempus, Caeli esse filium: etenim e caeli motu tempus fit . in illius autem templum, ut ait Phylarchus libro decimo septimo et Menander primo, neque femina neque canis neque musca introibat. haec produntur a profanis: sed doctrina sacra (ipsis utemur magni Procli vocibus) ad verbum ita habet. Saturnus, qui quartus est, et per vim invadit sceptra patris et coactus tradit filio, iuxta fabulae praetextum. cuius fictionis rationem fabularum conditores videntur ex dei proprietate pe-

κοῦσιν ἀπὸ τῆς ἰδιότητος τοῦ θεοῦ λαβεῖν. ἐπειδὴ γὰρ τῆς Τιτανικῆς ἡγεῖται διακοσμήσεως παρὰ τὸ διαιρετικὸν καὶ τῶν νοερῶν τὸ ἀκρότατον, ἐν οἷς ἑτερότης ἐξέλαμψε· διὰ δὲ ταῦτα καὶ λαμβάνειν αὐτόν φασι καὶ διδόναι τὴν βασιλείαν οἷον μαχητικῶς καὶ βιαίως, δύναμίν τε τὴν ῥίζουσαν τὰ δεύτερα τοῖς πρώτοις καθίστησι. δυσμενὲς γὰρ ὄντως ἐστὶ καὶ δυσκοινώνητον τὸ τῆς ἑτερότητος γένος, ὡς ὁ Πλάτωνος λόγος. ὅθεν δὴ καὶ διακρίνειν δεῖ πάντως αὐτὸν ἀπὸ τοῦ πατρός, καὶ καταλαμβάνειν οὕτως τὴν ὑπὸ τοῦ Διὸς τὴν πρὸς ἑκάτερον ὁμόνοιαν, διὰ τὴν ἰδιότητα τὴν Τιτανικὴν ..... ασάμενος. τοιαῦτα μὲν καὶ αὐτὸς ἐπὶ τῆς τῶν ἱερῶν μύθων ἀναπτύξεως.

Κατὰ δὲ τὴν νεομηνίαν τοῦ μηνός, ἀπέχοντες κράμβης, ηὔχοντο Ποσειδῶνι καὶ Ἀφροδίτῃ καὶ Ἀμφιτρίτῃ, προσέτι δὲ αἱ δυνάμεις τῷ Κρόνῳ, ὑπὲρ τοῦ ἐσομένου χειμῶνος· ὁμοίως δὲ καὶ Τύχῃ ἐφόρῳ, Σωφροσύνῃ τε καὶ Ἔρωτι, ὃν οἱ μυθικοὶ Ζεφύρου τοῦ γίγαντος εἶναι παῖδα ἀξιοῦσιν, ὥς φησιν Εὔρυτος ὁ Λακεδαιμόνιος, ὁ μελοποιός· ἄρχεται δὲ οὕτως "ἀγαλμοειδὴς Ἔρως." ὁ δὲ Πλάτων ἐν Συμποσίῳ φησὶ τοῖς τῆς Ἀφροδίτης γενεθλίοις τὴν Πενίαν προσαιτοῦσαν ἀνελθεῖν, καὶ λάθρᾳ τῷ Πόρῳ μεθυσθέντι τοῦ νέκταρος ἐπιβουλεῦσαι, καὶ οὕτως κυηθῆναι τὸν Ἔρωτα· ὅθεν Μωϋσῆς ὁ πολὺς περὶ τῆς ἀνθρωπογονίας ἀλληγορεῖ. κατὰ ταύτην τὴν ἡμέραν δύεσθαι τὰς ὑάδας καὶ τὸ λοιπὸν χειμῶνα ὁ Βάρρων λέγει.

3 fort. δή. Hasius. 23 βόρρων C.

tiisse. nam cum praesit ordini Titanio ob vim discretivam et intellectualium summitatem, in quibus eluxit diversitas, idcirco eum quasi pugnantem ac vi adhibita cum accipere ferunt tum tradere regnum, potentiamque secunda cum primis contendentem constituunt. inimicum enim profecto et insociabile est diversitatis genus auctore Platone. quapropter et distingui eum oportet omnino a patre, et sic intelligere Iovis cum utroque concordiam, ob proprietatem Titaniam... haec ille in sacrarum traditionum explicatione.

Nova luna huius mensis, cauli abstinentes, Neptuno Veneri Amphitritae supplicabant, insuperque potestates Saturno, pro hieme imminente; et simili modo Fortunae praesidi, Pudicitiae atque Amori, quem fabularum scriptores Zephyri gigantis filium esse volunt, quemadmodum Eurytus Lacedaemonius lyricus canit: orditur autem sic "visu decore Amor." Plato contra in Convivio auctor est nataliciis Veneris Paupertatem mendicantem ascendisse, atque Poro ex nectare ebrio clam insidiatam ita concepisse Amorem; unde Moyses quoque vir magnus de hominum creatione allegoriam duxit. eodem die occidere suculas et in posterum hiemem esse Varro ait.

Κατὰ δὲ τὴν ἑξῆς Εὔδοξος τὸν τοξότην ἀνίσχειν καὶ χειμῶνα προλέγει· ἐπετέλουν δὲ καὶ ἑορτὴν λεγομένην Ἀγωνάλια δαφνηφόρῳ καὶ γενάρχῃ Ἡλίῳ, ὥσπερ Ἀθήνησιν ἡ ἐπὶ τοῖς δαφνηφορίοις τελετή. ἐν ταύτῃ καὶ ἡ λεγομένη παρ' αὐτῶν Σεπτιμούνδιος ἑορτὴ ἐπετελεῖτο, τουτέστιν ἡ περίοδος τῆς πόλεως, ὅτι ἐπὶ ἑπτὰ λόφους τὰ τείχη τῆς Ῥώμης ἐκτέταται. ὀνόματα δὲ αὐτῶν ὄρος Παλατῖνον, Ἐσκύλιον, Ταρπήϊον, Ἀβεντῖνον, Τιβορτῖνον ἢ Ἰανοῦκλον, Κίστιον, Βιμινάλιον. παρὰ δὲ τοῖς ἀρχαίοις ἑτέρως, οὕτως· Ἀβεντῖνος, Καίλιος, Ἐσκύλιος, Καπιτωλῖνος, Βελινήνσιος, Κυρινάλιος, Παλατῖνος.

Τῇ πρὸ τριῶν Νωνῶν δὲ ἡ ἡμέρα ..... ἄπρακτος, καθ' ἣν ὁ Εὐκτήμων τὸν κύνα δύεσθαι καὶ τὸν χειμῶνα ἐνάρχεσθαι λέγει. καὶ ἦγετο ἱπποδρομία, καθ' ἣν ἀπε

2 Ἀγωάλια C. 14 hic deficit folium alterum fragmentorum libri de Mensibus. HASIUS.

Postero die Eudoxus exoriri sagittarium et tempestatem praedicit. celebrabant quoque festum quod vocatur Agonalia, Soli victori ac genitori, velut Athenis lauriferorum solennia. eodem die ab illis dies Septimontius dictus festus agebatur, hoc est circuitus urbis, quod moenia Romae per septem colles extenduntur. quorum nomina haec sunt, mons Palatinus, Exquilius, Tarpeius, Aventinus, Tiburtinus seu Ianiculus, Cispius, Viminalis. apud priscos tamen aliter nominantur, in hunc modum: Aventinus, Coelius, Exquilius, Capitolinus, Velinensis, Quirinalis, Palatinus.

3 Nonas Decembres dies ... feriatus, quo Euctemon canem occidere hiememque incipere ait. et agebatur ludicrum equestre, in quo ab ***

ΠΕΡΙ ΑΡΧΩΝ ΤΗΣ ΡΩΜΑΙΩΝ ΠΟΛΙΤΕΙΑΣ.

Ἱερέας γενέσθαι τὸ πρὶν τοὺς ὕστερον ἄρχοντας τοῦ Ῥωμαίων πολιτεύματος οὐδενὶ τῶν πάντων ἠγνόηται, Τυρρηνοῦ, ἐπὶ τὴν ἑσπέραν ἐκ τῆς Λυδίας μετανασταντος, τοὺς τότε καλουμένους Ἐτρούσκους (ἔθνος δὲ ἦν Σικανὸν) τὰς Λυδῶν τελετὰς διδάξαντος, οὓς ἐκ τῆς θυοσκοπίας Θούσκους συμβέβηκε μετονομασθῆναι. καὶ τούτων εἰς πλάτος ἐν τῇ πρώτῃ τῆς περὶ μηνῶν γραφείσης ἡμῖν πραγματείας ἴσμεν μνημονεύσαντες. τὰ γὰρ ἐπίσημα τῶν ἀρχόντων ἀπὸ Θούσκων λαβὼν ὁ βασιλεὺς Νουμᾶς τῇ πολιτείᾳ εἰσήγαγεν, ὥσπερ καὶ τῶν ὅπλων τὸ δύσμαχον ἀπὸ Γαλατῶν. καὶ μάρτυρες μὲν τούτων ὅ τε Καπίτων καὶ Φωντήϊος, ἐξ ὧν καὶ ὁ διδασκαλικώτατος Οὐάρρων, Ῥωμαῖοι πάντες· μεθ' οὓς Σαλούστιος οὗτος ὁ ἱστορικὸς ἐπὶ τῆς πρώτης ἱστορίας σαφῶς

3 huic prooemio in codice praepositum: τοῦ αὐτοῦ περὶ ἐξουσιῶν. Fussius. 4 τυρρήνους codex Caseolinus (C): corr Fussius (F). 14 lego ἱστοριῶν. F.

Sacerdotes initio fuisse, qui postea magistratus rei publicae Romanae, vulgo nemo ignorat: Tyrrhenus quippe cum e Lydia in Occidentem migrasset, quos Etruscos tum vocabant (erat autem gens Sicana), Lydorum mysteria edocuit; quos mutato nomine ab haruspicina Thuscos appellari contigit. ac de his prolixe scimus nos commemorasse in libro primo tractatus quem conscripsimus de mensibus. nam insignia magistratuum rex Numa a Thuscis mutuata in rem publicam introduxit, sicuti et armorum robur a Gallis. testantur haec Capito et Fonteius, e quibus et doctissimus Varro, omnes Romani; post quos Sallustius ille historicus in libro primo historiarum rem perspicue docet. restat igitur ut de po-

ἀναδιδάσκει. ὥστε ὑπόλοιπον περὶ τῶν πολιτικῶν ἀφηγήσασθαι ἐξουσιῶν, καθότι ἀπὸ ἱερατικῆς τάξεως ἐπὶ τὸ πολιτικὸν μετεφύησαν σχῆμα. μὴ οὖν ἡμᾶς ἀλλοίους πρὸς τὰ πάλαι δοθέντα κρίνοι τις, πλὴν εἰ μὴ τυχὸν ἀπηχὲς λογικῆς ἀσφαλείας ὑφιστάμενος ψόγῳ τὸν ἔπαινον μεταβάλοι. ὅτι δὲ καὶ Γραχχανός τις πάλαι περὶ τούτων ἔγραφεν, ἴσμεν τοὺς νομογράφους ἀναφέροντας· οὐδαμοῦ δὲ τὰ γραφέντα φέρεται ἴσως αὐτά, πάντως δὲ καὶ αὐτὰ τοῦ χρόνου τεκόντος ἅμα καὶ κρύψαντος.

2 καθότι] καὶ ὅτι vulgo. vulgo autem lecta dico quae a me sunt mutata.

testatibus civilibus exponamus, quod a sacerdotali ordine civilem ad formam translatae sunt. nemo itaque nos discrepare ab iis quae veteres tradidere existimet, nisi qui forte absonus certae rationi, invidiae cedens, laudem commutaverit. Gracchanum quendam de his etiam olim scripsisse scimus a iurisconsultis referri; scripta autem ipsa fortasse nusquam exstant, omninoque et illa tempus peperisse simul et abscondisse videtur.

Λ Ο Γ Ο Σ Α.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΠΡΩΤΟΥ ΛΟΓΟΥ.

Πόσος ἀνύεται χρόνος ἀπὸ τῆς Αἰνείου ἐπὶ τὴν Ἰταλίαν παρόδου ἕως κτίσεως Ῥώμης, καὶ πόσος ἀπ' αὐτῆς γέγονεν ὁ τῶν ῥηγῶν, καὶ πόσος ὁ τῶν ὑπάτων ἕως Καίσαρος, καὶ ἐξ αὐτοῦ πόσος ἄχρι Κωνσταντίνου, ἐξ οὗ πόσος ἄχρι τῆς Ἀναστασίου βασιλέως τελευτῆς (1). τίς ἡ διαφορὰ τοῦ ῥηγὸς καὶ τοῦ τυράννου καὶ τοῦ βασιλέως, καὶ Καίσαρος καὶ αὐτοκράτορος ἀξίωμα. τί σημαίνει τὸ Κυρίνου ὄνομα (2). ὅτι Ῥωμύλος καὶ οἱ κατ' αὐτὸν τῇ Αἰολίδι ἐφθέγγοντο φωνῇ. ὅτι οὐ δεῖ τοὺς Ῥωμαίων βασιλέας δεσπότας ἀποκαλεῖν. περὶ τῶν ἐπισήμων τοῦ ῥηγός. τί ἐστι

8 κύριον C: corr F.

L I B E R I.

LIBRI PRIMI CAPITA.

Quantum temporis effluxerit ab Aeneae in Italiam adventu ad Romam conditam, quantumque ab eo sub regibus, et quantum sub consulibus usque ad Caesarem, quantumque ab eo usque ad Constantinum, a quo quantum ad Anastasii imperatoris obitum (1). quid inter regem tyrannum et principem intersit, nec non Caesaris et imperatoris dignitas. quid significet nomen Quirinus (2). Romulum et aequales eius Aeolia lingua locutos esse. dominos non esse appellandos principes Romanorum. de insignibus regis.

τόγα καὶ τραβαία. διὰ τί Ῥωμαῖοι τὴν βασιλέως καθέδραν σόλιον προσαγορεύουσι (3). διὰ τί τὰς λοφιὰς τινες τούφας καλοῦσι (4). διὰ τί τὰς ἀσπίδας σκοῦτα καὶ κλίπεια καὶ πάρμας οἱ Ῥωμαῖοι καλοῦσι, καὶ τίς ἡ διαφορὰ τούτων. ὅτι ἀπὸ Αἰνείου παρέλαβεν ὁ Ῥωμαϊκὸς στρατὸς οὕτω στέλλεσθαι ὡς ἔτι καὶ νῦν οἱ καλούμενοι ἐκσκουβίτωρες. διὰ τί τὴν βασιλικὴν ὑποζύγιον βασταγὴν ἀττηναίωνα καλοῦσι (5). πρώτη προαγωγή, ὁ ἵππαρχος, καὶ ὅτι εἰς τόπον αὐτοῦ ὁ τῶν πραιτωρίων ὕπαρχος προεβλήθη (6). δευτέρα προαγωγή, οἱ πατρίκιοι, καὶ τίνος χάριν πάτρης κονσκρίπτους αὐτοὺς ἡ ἀρχαιότης ἐκάλεσε. ποῖον εἶδος χιτῶνος ὁ λεγόμενος παραγαύδης· ἐν ᾧ καὶ περὶ τῶν λεγομένων καμπαγίων. τί σημαίνουσιν οἱ λεγόμενοι τίτλοι, καὶ ὅτι φιλότιμοι ἐτύγχανον οἱ πάλαι συγκλητικοί. πόθεν διώνυμοι καὶ τριώνυμοι οἱ ἀρχαῖοι ἐχρημάτιζον (7). τρίτη προαγωγή, οἱ κυαίστωρες, καὶ ὅτι ἕτερον μὲν κυαίστωρ ἕτερον δὲ κυαισίτωρ. περὶ τῆς ὑπατείας καὶ τῶν αὐτῆς ἐπισήμων (8). τετάρτη προαγωγή, ἡ κληθεῖσα δεκανδρικὴ ἐξουσία (9). πέμπτη προαγωγή, ἡ καλουμένη δικτατοῦρα, καὶ τί σημαίνει τὸ ὄνομα, πόσοι τε γεγόνασιν οἱ πάντες δικτάτωρες, καὶ ἕως τίνος (10). ἕκτη προαγωγή, ἡ καλουμένη κηνσοῦρα· ἐν ᾧ καὶ περὶ κωμῳδίας καὶ τραγῳδίας, καὶ πότε Ῥωμαίοις ἐγνώσθησαν. διὰ τί Ῥωμαῖοι τοὺς ἀσώτους ἅμα καὶ τοὺς ἐγγόνους ὁμωνύμως καλοῦσι πατρίως νίπωτας (11). ἑβδόμη προαγωγή, ἡ δημαρχία. πότε ἐδόθη τοῖς στρατιώταις τὰ λεγόμενα καπιτά, καὶ διὰ τί καπιτὰ λέγεται. περὶ τῶν ἐν ὅπλοις ταγμάτων τε καὶ ὀνομάτων καὶ βαθμῶν καὶ τῶν λεγομένων τιρώνων (12). ὀγδόη προαγωγή, οἱ πραίτωρες, καὶ ὅτι ὁ τῆς πόλεως καθ' ἡμᾶς ὕπαρχος εἰς ἐτύγχανε τῶν πάλαι πραιτωρίων, φύλαξ πόλεως χρηματίζων (13). ἐνάτη προαγωγή, ὁ τῶν νυκτῶν ὕπαρχος (14).

14 corrigendum πέμπτη; est enim quinta electio. in sequentibus idem error. F.

quid sit toga et trabea. cur sedem regis solium appellent Romani (3). *cur iubas nonnulli tufas dicant* (4). *scutum clipeum et parmam unde appellent Romani, et quod horum discrimen. exercitum Romanum ad Aeneae exemplum ita armatum ornatumque esse, uti etiamnum ii quos excubitores vocant. cur imperatoris iumentariam bastagam attentionem appellent* (5). *prima electio, magister equitum. in eius locum creatum esse praefectum praetorio* (6). *secunda electio, patricii. quare patres conscripti antiquitus appellati. quale genus tunicae paragaudis; ubi et de campagis. quid significent tituli. munificos fuisse veteres senatores. unde duo et tria veteribus nomina fuerint* (7). *tertia electio, quaestores. alium esse quaestorem, alium quaesitorem. de consulatu eiusque insignibus* (8). *quarta electio, decemviralis potestas* (9). *quinta electio, dictatura, et huius nominis significatio. quot et ad quem usque fuerint dictatores* (10). *sexta electio, censura; in quo et de comoedia tragoediaque, et quo tempore eas noverint Romani. quare luxuriosos nepotesque eodem nomine patrio sermone appellent Romani* (11). *septima electio, tribunatus. quo tempore capita militibus data, et cur capita dicantur. de copiarum ordinibus nominibusque et gradibus, nec non de tironibus* (12). *octava electio, praetores. praefectum urbis hodiernum unum fuisse e veteribus praetoriis, custodem urbis appellatum* (13). *nona electio, praefectus vigilum* (14).

Ἐγχειροῦντί μοι περὶ τῶν ἀρχῶν τῆς Ῥωμαίων πολιτείας διαλαμβάνειν ἀξιόλογον εἶναι παρέστη προοίμιον δοῦναι τῷ λόγῳ ἀπὸ τοῦ πρεσβυτάτου καὶ τιμιωτάτου πάντων. Αἰνείας δὲ ἦν οὗτος, ὃ διὰ κάλλος καὶ ῥώμην ψυχῆς τε καὶ σώματος κρείττονος ἢ κατὰ ἀνθρώπους εἶναι νομισθεὶς υἱός. (2) ἀνύονται τοιγαροῦν ἐκ τῆς Αἰνείου ἐπὶ τὴν Ἰταλίαν παρόδου ἕως τοῦ πολισμοῦ τῆς Ῥώμης ἐνιαυτοὶ θ' καὶ λ' καὶ υ' κατὰ Κάτωνα τὸν πρῶτον καὶ Βάρρωνα τοὺς Ῥωμαίους, κατὰ δὲ Ἀφρικανὸν καὶ Κάστορα καὶ τὸν Παμφίλου ἔτη ζ' καὶ ι' καὶ υ'. ἀπὸ δὲ τοῦ πολισμοῦ μέχρι τῆς ἐκβολῆς τῶν ῥηγῶν διέδραμεν ἔτη γ' καὶ μ' καὶ σ'. οἱ δὲ τῶν ὑπάτων ἄχρι Καίσαρος τοῦ πρώτου ἐνιαυτοὶ ε' (ἢ κατ' ἐνίους ς') καὶ ξ' καὶ υ'. ἀπὸ δὲ Καίσαρος ἕως Κωνσταντίνου διαγέγονεν ἔτη τοʹ καὶ εʹ, ἐξ αὐτοῦ δὲ ἄχρι τῆς Ἀναστασίου τοῦ βασιλέως τελευτῆς ἔτη σκδ' πρὸς μησὶν ζ'· ἐξ ὧν ἂν τις θ' ἐξέλοι ἐνιαυτούς, οὓς ἐπὶ τῆς ἱερᾶς Ῥώμης ἔτυχε βασιλεύσας Κωνσταντῖνος. συνάγεται δὴ ἀπὸ τοῦ πολισμοῦ τῆσδε τῆς εὐδαίμονος πόλεως εʹ καὶ ιʹ καὶ σʹ ἔτη πρὸς μησὶν ζ'. συνέλοι οὖν ἄν τις ἀπὸ Αἰνείου ἕως τῆς Ἀναστασίου τοῦ χρηστοῦ τελευτῆς τοὺς πάντας ἐνιαυτοὺς ς' καὶ μ' πρὸς ψ' καὶ χιλίοις πρὸς μησὶν ζ', ὡς Ἕλληνες οἴονται καὶ ἁπάντας τοὺς ἑκατέρας φωνῆς συγγραφέας. τούτων οὕτως ἡμῖν σὺν ἀληθείᾳ τεθέντων, καιρός ἐστι περὶ τῶν ἀρχῶν, ὡς εἴρηται, τοῦ καθ' ἡμᾶς διαλαβεῖν πολιτεύματος.

8 καὶ ante τὸν add F. 11 ἐνιαντοῦ C: corr F.

Scripturus de magistratibus rei publicae Romanae, a vetustissimo omnium et honoratissimo initium operi dare dignum proposito existimavi. fuit vero hic Aeneas, quem ob pulchritudinem animique et corporis fortitudinem maioris quam hominis filium esse crediderunt. (2) sunt igitur ab Aeneae in Italiam adventu ad Romam conditam anni quadringenti triginta novem secundum Catonem maiorem et Varronem Romanos, secundum vero Africanum et Castorem et Eusebium Pamphili quadringenti et septendecim. a condita autem urbe ad reges eiectos anni effluxerunt ducenti quadraginta tres. consulum autem usque ad Caesarem primum anni sunt quadringenti sexaginta quinque, vel secundum nonnullos sex. a Caesare vero ad Constantinum anni praeterierunt trecenti septuaginta quinque; a quo ad Anastasii imperatoris obitum ducenti viginti quattuor cum sex mensibus; de quibus deductis novem annis, quos in sacra urbe Roma Constantinus imperavit, a condita hacce beata civitate inveniuntur anni ducenti quindecim cum septem mensibus. colligas itaque ab Aenea ad optimi Anastasii obitum summam annorum mille septingentorum quadraginta sex cum septem mensibus; quae est Graecorum opinio secundum omnes utriusque linguae scriptores. his ita vere positis tempus est de magistratibus, uti diximus, nostrae rei publicae explicare.

3. Ῥωμύλος τοίνυν ὀκτὼ πρὸς τοῖς δέκα ἔτεσι γεγονὼς σὺν τῷ ἀδελφῷ Ῥέμῳ τὴν μητέρα τῆς βασιλείας Ῥώμην ἐδείματο. ὄνομα δὲ τῆς ἀρχῆς αὐτῶν ὃ Ἰταλοὶ λέγουσι ῥήγιον, οἷον τυραννικόν· οὐδὲ γὰρ βασιλείας Ῥωμαϊκῆς ἐννόμου ἐστὶ σημαντικόν, ὡς τινες ὑπολαμβάνουσι, τὸ ῥήγιον ὄνομα· ὅθεν οὐκέτι μετὰ τὴν ἐκβολὴν τῶν ῥηγῶν παρὰ Ῥωμαίοις, καίτοι βασιλευομένοις, ἐχρημάτισεν. ἕτερον γὰρ τὸ τῆς ἐννόμου βασιλείας καὶ ἕτερον τὸ τυραννίδος καὶ ἄλλο τὸ τῆς αὐτοκρατορίας ἀξίωμα. καὶ ὅπως διὰ βραχέων ἐρῶ. βασιλεύς ἐστιν ὁ τῶν ἑαυτοῦ ὑπηκόων πρῶτος ψήφῳ ἐπιλελεγμένος, ἐπιβάθραν τινὰ ὥσπερ καὶ κρηπῖδα τύχης κρείττονος ὑπὲρ τοὺς ἄλλους λαχών, ὡς Σοφοκλῆς περὶ Αἴαντος εἶπεν, ἔχειν αὐτὸν βάθραν τῆς ἀγχιάλου Σαλαμῖνος. ἴδιον δὲ βασιλέως ἐστὶ τὸ μηδένα καθάπαξ τῶν τοῦ πολιτεύματος νόμων σαλεύειν, ἀλλ' ἐγκρατῶς τὴν ὄψιν τῆς ἑαυτοῦ πολιτείας βασιλείᾳ διατηρεῖν, καὶ μηδὲν μὲν κατ' αὐθεντίαν ἔξω τῶν νόμων πράττειν, τὸ δὲ τοῖς ἀρίστοις τοῦ πολιτεύματος συναρέσκον ψήφοις οἰκείαις ἐπισφραγίζειν, πατρὸς ἅμα καὶ ἡγεμόνος στοργὴν περὶ τοὺς ὑπηκόους ἐνδεικνύμενον, ὑποῖον ἡμῖν θεὸς καὶ καιροῦ δεξιότης ἐχαρίσατο. ἀλλ' οὐχ οὕτως ὁ τύραννος τοὺς ὑπ' αὐτῷ πεσόντας διαθήσεται, πράξει δὲ κατ' ἐξουσίαν ἀλόγως εἴ τι καὶ βούλεται, μηδὲ νόμους τιμᾶν ἀξιῶν, μηδὲ γράφειν μετὰ βουλῆς ἀνεχόμενος, ταῖς δὲ οἰκείαις ὁρμαῖς ἐξαγόμενος. ἔστι γὰρ βασιλέως μὲν τρόπος ὁ νόμος, τυράννου δὲ νόμος ὁ τρόπος. (4) τὸ γὰρ τῶν Και-

10 ἐπὶ βάθραν vulgo. 13 τὸν — νόμον C: corr F. 16 οἰκείοις C: corr F. 20 εἴ τι] malim ὅ τι.

3. Romulus igitur duodeviginti annos natus cum fratre Remo Romam, imperii matrem, condidit. nomen autem imperii illorum, quod Itali dicunt regium, id est tyrannicum: neque enim legitimum imperium Romanum, ut quidam existimant, nomen regium significat. unde post eiectos reges apud Romanos, quamvis principis imperio parentes, haud amplius usurpatum est. quippe alia est legitimi principatus, alia tyrannidis, alia etiam imperatoris dignitas; atque ut paucis dicam, princeps est qui civium suorum suffragio primus ad gradum quasi et fastigium evectus eminentem super alios fortunam sortitus est, veluti Sophocles de Aiace dixit, tenere eum sedem mari adiacentis Salaminis. est autem proprium principis nullam omnino civitatis legum concutere, sed statum ipsius rei publicae imperio constanter tueri, neque quicquam suo arbitratu neglectis legibus facere, sed quae visa optimatibus civitatis, suo suffragio comprobare, patris simul et ducis amorem in subiectos ostendentem; qualem nobis deus et temporum felicitas donaverunt. at non ita tyrannus sibi subiectos tractabit; sed pro potentia temere, quicquid voluerit, aget, leges et vereri recusans et cum senatu ferre, suae tantum parens libidini. est enim principis mos lex, et tyranni lex mos. (4) nam imperatorum, id est αὐτοκρατόρων, cognomen neque principa-

σάρων ἤγουν αὐτοκρατόρων ἐπώνυμον οὐδὲ βασιλείας, ἀλλ' οὐδὲ τυραννίδος ἐστὶ σημαντικόν, αὐταρχίας δὲ μᾶλλον καὶ αὐθεντίας τοῦ διοικεῖν τοὺς ἐξανισταμένους κατὰ τῶν κοινῶν θορύβους ἐπὶ τὸ κάλλιον, ἐπιτάττειν τε τῷ στρατεύματι πῶς ἂν δέοι μάχεσθαι τοῖς ἐναντίοις· imperare γὰρ τὸ ἐπιτάττειν παρ' Ἰταλοῖς λέγεται, ἔνθεν ἰμπεράτωρ. ὅτι δὲ βασιλείας οὐκ ἔστι σημαντικὸν τὸ αὐτοκράτορος ἢ Καίσαρος ὄνομα, δῆλον ἀντικρὺς τῷ καὶ τοὺς ὑπάτους καὶ μετ' ἐκείνους τοὺς Καίσαρας τὸ τῶν λεγομένων ἰμπερατόρων ἄξίωμα τῆς ἐπωνυμίας λαβεῖν. οὐδὲ γὰρ ἐπισήμοις τυραννικοῖς φαίνεται χρησαμένη ἡ τῶν Καισάρων ἀρχή, ἀλουργίδι δὲ μόνῃ τὴν Ῥωμαίων βουλὴν ἀναβαίνουσα καὶ τὰς ἐν ὅπλοις δυνάμεις αὐτοκρατῶς, ὡς ἔφην, ἰθύνουσα. ταύτῃ καὶ πρίγκιπας αὐτοὺς ἐκάλεσαν Ῥωμαῖοι οἱονεὶ πρώτην κεφαλὴν τῆς πάσης πολιτείας. τὸ γὰρ Καίσαρος ὄνομα γένους ἐστὶ δεικτικὸν ἀπὸ τοῦ πρώτου Καίσαρος, ὥσπερ Φαβίων καὶ Κορνηλίων καὶ Φλαβίων καὶ Ἀνικίων, τούτου πρότερον παρὰ βαρβάροις ἠρημένου· Αἰγύπτιοι μὲν γὰρ ἀπὸ τοῦ πρώτου Φαραῶνος τοὺς σφῶν βασιλέας ἐπεφήμιζον Φαραῶνας, καὶ Πτολεμαίους ἀπὸ τοῦ πρώτου. ἐφυλάχθη οὖν παρὰ Ῥωμαίοις ἡ τοιαύτη τῶν Καισάρων εὐταξία ἄχρι Διοκλητιανοῦ, ὃς πρῶτος στέφανον ἐκ λίθου τιμίας συγκείμενον τῇ κεφαλῇ περιθείς, ἐσθῆτά τε καὶ τοὺς πόδας ψηφώσας, ἐπὶ τὸ βασιλικὸν ἢ τἀληθὲς εἰπεῖν ἐπὶ τὸ τυραννικὸν ἔτρεψεν, ἀνεμετρή-

1 lego *ἰμπερατώρων*, quod sequentia postulant. F. 7 lego *ἰμπεράτωρος*. F. 11 *ἀναβαίνουσαν* et *ἰθύνουσαν* C: corr F. 18 *πρώτου*] an *πρώτου Πτολεμαίου?*

tus neque vero tyrannidis habet significationem, sed imperii potius, auctoritatisque coortas contra rem publicam turbas salubriter componendi, copiisque, quomodo cum adversariis pugnandum, imperandi. imperare enim, unde imperator, τὸ ἐπιτάττειν Itali dicunt. principatus vero significationem non habere imperatoris nomen, inde omnino patet, quod et consules et post eos Caesares imperatorum titulum cognomen sumpserunt. etenim nec tyrannorum insignibus principes Caesares usos esse constat, sed purpurea tantum cum veste in senatum Romanorum venisse, et copiis cum summo imperio, ut diximus, praefuisse. hinc quoque principes eos Romani appellarunt, videlicet primum totius rei publicae caput. (nam Caesaris nomen genus a primo Caesare indicat, sicut Fabiorum, Corneliorum, Flaviorum et Aniciorum; quo more prius barbari usi sunt: Aegyptii enim a primo Pharaone reges suos Pharaones, itemque Ptolemaeos a primo dixere.) quae quidem Caesarum modestia ad Diocletianum usque apud Romanos servata est, qui primus gemmeo diademate caput cingens, vestemque et pedes gemmis ornans, ad regum vel, ut verum dicamus, tyrannorum morem transiit, demensamque terram

σατό τε τὴν ἤπειρον καὶ τοῖς φόροις ἐβάρυνεν. (5) ὥστε τύραννος ἦν ὁ Ῥωμύλος, πρῶτον μὲν τὸν ἀδελφὸν ἀνελὼν καὶ τὸν μείζονα, καὶ πράττων ἀλόγως τὰ προσπίπτοντα. ταύτῃ καὶ Κυρῖνος προσηγορεύθη οἱονεὶ κύριος, κἂν εἰ Διογενιανῷ τῷ λεξικογράφῳ ἄλλως δοκῇ· οὐδὲ γὰρ ἀγνοήσας ὁ Ῥωμύλος ἢ οἱ κατ' αὐτὸν δείκνυται κατ' ἐκεῖνο καιροῦ τὴν Ἑλλάδα φωνήν, τὴν Αἰολίδα λέγω, ὡς φασιν ὅ τε Κάτων ἐν τῷ περὶ Ῥωμαϊκῆς ἀρχαιότητος, Βάρρων τε ὁ πολυμαθέστατος ἐν προοιμίοις τῶν πρὸς Πομπήϊον αὐτῷ γεγραμμένων, Εὐάνδρου καὶ τῶν ἄλλων Ἀρκάδων εἰς Ἰταλίαν ἐλθόντων ποτὲ καὶ τὴν Αἰολίδα τοῖς βαρβάροις ἐνσπειράντων φωνήν. ἡ γὰρ γραμματικοῖς παρὰ ταύτην εἰσαγομένη ἐτυμολογία μετὰ συγγνώμης βεβίασται· ἀπὸ Κύρεως γάρ, πολίχνης Σαβίνων, οὕτως αὐτὸν παρονομασθῆναι βούλονται, καίπερ οὐχ ὁρμώμενον ἐκεῖθεν, ἐπὶ δὲ τοῦ Παλατίνου βουνοῦ τεχθέντα τε παρὰ ταῖς ὄχθαις τοῦ Τιβέριδος καὶ τραφέντα ἐκεῖ. κυρίους γὰρ ἑαυτοὺς καὶ δεσπότας, ἀλλ' οὐ βασιλέας τύραννοι φιλοῦσι καλεῖσθαι. (6) κρεῖττον δὲ βασιλείας τὸ Καίσαρος ἀξίωμα, ὅτι καὶ δοῦναι βασιλέας πάλαι τοῖς ἔθνεσιν ἐπ' ἐξουσίας εἶχε. μισητὸν γὰρ καὶ Ῥωμαϊκῆς ἐλευθερίας ἀλλότριον δεσπότας, ἀλλὰ μὴ βασιλέας τοὺς κρατοῦντας ὀνομάζειν, καθότι δεσπότης ὄνομα κοινόν ἐστιν αὐτοῖς καὶ τοῖς ἕνα δραπέτην κεκτημένοις, τὸ δὲ βασιλέων αὐτῶν καὶ μόνων. καὶ δῆλον ἀντικρὺς ὅτι Ῥωμαίοις ἔθος dominos τοὺς τυραννήσαντας ἀποκαλεῖν, ὡς δὴ Σύλλαν καὶ Μάριον, καὶ δομι-

5 λεξογράφῳ vulgo et hoc loco et 1 17. 6 ἐκείνου prima manus C. 9 ἀλκάδων C: corr F. 22 μόνου C: corr F.

tributis oneravit. (5) quare tyrannus erat Romulus; qui quidem cum fratrem primo eumque natu maiorem interfecit, tum temere quicquid egit. hinc quoque Quirinus dictus est, id est κύριος (dominus); quamvis Diogeniano, vocabulorum scriptori, aliter placeat. nam constat Romulum et aequales eius linguam Graecam, Aeoliam dico, non ignorasse, ut aiunt Cato, in libro de antiquitate Romana, et doctissimus Varro, in proemio illorum quae ad Pompeium scripsit: quippe Evander ceterique Arcades, in Italiam olim transgressi, Aeoliam linguam inter barbaros sparsere. nam quod praeterea a grammaticis affertur etymon, pace eorum vi attractum dixerim. a Cyre enim Sabinorum oppido eum ita nominatum volunt, quamvis non inde oriundum, sed in colle Palatino ad Tiberis ripam natum ibidemque educatum. dominos scilicet se tyranni, non principes appellari amant. (6) maior vero quam regis est Caesaris dignitas, qui vel reges gentibus dandi olim potestatem habuerit. quippe odiosum est atque a Romana alienum libertate, dominos, at non principes appellare imperantes, quatenus domini nomen commune ipsis et unum servum possidentibus, principis autem nullius nisi ipsorum est. ac manifestum prorsus est, Romanos solere dominos appellare eos qui tyranni fuere, sicuti Syllam videlicet Mariumque, et dominationem tyrannidem. depri-

ναtίωνα τὴν τυραννίδα. ὡς καταρρίπτουσι τὴν βασιλέων μεγαλειότητα οἱ πονηροὶ κόλακες, ἐξ ἀμαθείας δούλων αὐτοὶ πρωτεύειν εἰσάγοντες. ὅτι δὲ ἀληθές, ἔξεστι καὶ ἐκ τούτων λαβεῖν. Αὔγουστός ποτε, ἢ τάχα Τιβέριος ὁ μετ' αὐτόν, πρὸς ἑνὸς τῶν κολάκων δεσπότης ὀνομασθείς, ἐξαναστὰς ἀφῆκε τὸν σύλλογον, ἀπαξιώσας, ὡς ἔφη, δούλοις διαλέγεσθαι. ἀλλ' ἤδη πρότερον ὥσπερ ἐν τιμῇ τῆς ὕβρεως εἰσαχθείσης, ἀνέχεται ἡ τοῦ ἡμερωτάτου βασιλέως ἡμῶν ἐπιείκεια, καίπερ ὑπὲρ πάντας τοὺς πώποτε βεβασιλευκότας μετριάζοντος, καὶ δεσπότης οἷον πατὴρ ἀγαθὸς ὀνομάζεσθαι, οὐχ ὅτι χαίρει, ἀλλ' ἐρυθριᾷ μᾶλλον τοὺς τιμᾶν οἰομένους δοκεῖν μὴ προσίεσθαι.

7. Καὶ πρὸ Ῥωμύλου ἐπίσημα τῆς Λατίνων βασιλείας ἦν θρόνος δρύφακτος καὶ στολὴ ἡ λεγομένη παρ' αὐτοῖς τραβαία· ποδαπὴ δέ τις ἦν, μικρὸν ὕστερον ἐρῶ. ὅθεν ὁ Ῥωμαίων ποιητής, ἐν βιβλίῳ ἑβδόμῳ τῆς Αἰνηΐδος τὴν Λατίνου διαγράψων βασιλείαν, θρόνου καὶ τραβαίας διαμέμνηται. τῷ γε μὴν Ῥωμύλῳ καὶ στέφανος ἦν, καὶ σκῆπτρον ἀετὸν ἔχον ἐπ' ἄκρου, καὶ φαινόλης λευκὸς ποδήρης, ἀπὸ τῶν ὤμων ἔμπροσθεν μέχρι ποδῶν, πορφυροῖς ὑφάσμασιν ἐρραβδωμένος (ὄνομα δὲ τῷ φαινόλῃ τόγα οἱονεὶ σκέπασμα, ἀπὸ τοῦ τέγειρε κατ' ἀντίστοιχον· οὕτω γὰρ τὸ σκέπειν Ῥωμαῖοι καλοῦσι), καὶ ὑπόδημα φοινικοῦν· κόθορνος ὄνομα αὐτῷ, κατὰ τὸν Κοκκήϊον. καὶ κοινὸν ἦν τοῦτο τὸ

2 an αὐτούς? 4 cf. de Mensibus p. 50. 15 Aen. 7 169 et 188. 19 ἐρραβδωμένος C. quem ubi simpliciter pono, correcta lectio debetur Fussio. φαινόλης C. 22 κοκκηον C, κοκκιον manus recentior.

munt igitur principum maiestatem pravi adulatores, ignorantia morem, quo ipsi primi servorum sint, inducentes. quod verum esse ex his etiam colligere licet. Augustus aliquando, vel fortasse Tiberius, qui illi successit, ab adulatorum uno dominus appellatus, surrexit dimisitque concionem, indignum se, ut aiebat, reputans cum servis colloqui. verum cum iam antea ut honos ignominia introducta sit, mansuetissimi principis nostri modestia, quamvis moderatione omnes omnium temporum principes antecedat, et domini nomen veluti boni parentis patitur, non gaudens eo, sed verens potius ne qui venerari se arbitrentur reiicere videatur.

7. Iam ante Romulum insignia Latinorum regni erant thronus cancellatus et vestis, quam ipsi trabeam dicunt; quae qualis fuerit, paulo post dicetur. unde vates Romanus, in libro septimo Aeneidos, Latini regiam describens throni et trabeae meminit. at Romulo corona insuper erat, sceptrumque in summo aquilam gerens, et penula alba, talaris, ab humeris in anteriori parte ad pedes pannis purpureis virgata (nomen autem penulae toga, id est tegumentum, idque per antistichum a tegere: sic enim Latine τὸ σκέπειν dicitur), et calceamentum puniceum, cui nomen cothurnus, secundum Cocceianum. eratque haec toga pacis tem-

σχῆμα τῆς λεγομένης τήβας αὐτῷ τε τῷ λεγομένῳ ῥηγὶ τοῖς τε ὑπηκόοις ἐπ' εἰρήνης· ἡ μέντοι τραβαία μόνου τοῦ ῥηγὸς ἐτύγχανε παρατοῦρα, οἱονεὶ στολὴ ἐπίσημος. χιτὼν δὲ ἦν καὶ περιβόλαιον ἡμικύκλιον, ὃ πρῶτον Ἀγαθοκλέα τὸν Σικελίας τύραννον ἐξευρεῖν λόγος. τὸν δὲ θρόνον σόλιον ἐπιχωρίως ὠνόμαζον ἀντὶ τοῦ σελλίον κατ' ἀντίστοιχον, ὡς φησιν ὁ Ῥωμαῖος Ἄσπρος. ἢ καὶ ἄλλως σόλιον ἀντὶ τοῦ σόλιδον ἐκάλουν, οἱονεὶ ὁλόκληρον· στέλεχος γὰρ ἀδρὸν εἰς κυτίδα καὶ καθέδρας τύπον ἐξορύττοντες ἀπετέλουν βῆμα τῇ βασιλείᾳ, ἵνα ὥσπερ ἔν τινι θήκῃ κατησφάλιστται τὸ σῶμα τοῦ βασιλέως ἔκ τε νώτου ἔκ τε πλευρᾶς ἑκατέρας, μηδεμιᾶς ἁρμογῆς ἢ προσθετοῦ ξύλου σφίγγοντος τὴν καθέδραν, ἅπαξ ὁλοτελῆ καὶ ὁλόκληρον τυγχάνουσαν. ταύτῃ σόλιον τὸν βασιλέως θρόνον ἐκάλουν. (8) πρὸς τούτοις ἠγοῦντο Ῥωμύλου πελέκεις δυοκαίδεκα, πρὸς τὸν ἀριθμὸν τῶν γυπῶν ὧν εἶδεν ἀρχόμενος θεμελιοῦν τὴν πόλιν. Πρίσκου δὲ Ταρκυνίου τοῦ ῥηγὸς ὕστερον Θούσκους καὶ Σαβίνους πολέμῳ νικήσαντος προσετέθησαν τοῖς τῆς βασιλείας γνωρίσμασι δόρατα ἐπιμήκη, ὡσαύτως τὸν ἀριθμὸν δυοκαίδεκα, ἀκροξιφίδας μὲν οὐκ ἔχοντα, ᾐωρημένας δὲ λοφιάς· καλοῦσι δὲ αὐτὰς οἱ μὲν Ῥωμαῖοι ἰούβας, οἱ δὲ βάρβαροι τούφας, βραχύ τι παραφθαρείσης τῆς λέξεως. βηξίλλα πρὸς τούτοις, οἱονεὶ δόρατα μακρά, ἐξηρτημένων ὑφασμάτων· φλάμμουλα αὐτὰ ἀπὸ τοῦ φλογίνου χρώματος καλοῦσι· περὶ ὧν ἐν τοῖς περὶ μηνῶν γραφεῖσιν ἡμῖν ἀποχρώντως ἀνήνεκται. τοιαῦτα μὲν τὰ ἐπίσημα τῆς τότε βασιλείας.

8 βήματι βασιλέα C, βῆμα τῇ βασιλείᾳ F. 13 ἠγοντο C.
23 ἀνενήνεκται?

pore commune et regi ipsi et civibus indumentum, trabea vero solius regis paratura, id est vestis insignis. erat autem chlamys sive pallium semicirculare, quod primum Agathoclem Siciliae tyrannum invenisse ferunt. thronum autem solium patrio sermone pro sellium per antistichum vocabant, ut ait Asper Romanus; sive etiam secus solium pro solidum (id est integrum) dixere. crassum quippe truncum in cistae et sellae formam excavantes suggestum quendam regi faciebant, in quo veluti in arca tutum corpus regis, nulla aut a tergo aut a binis lateribus compage additove ligno sedem vinciente integram prorsus atque ex uno constantem. hinc solium regis thronum appellarunt. (8) ad haec Romulo praeferebantur secures duodecim, pro numero vulturum quos viderat urbis fundamenta locare incipiens. Thuscis vero et Sabinis a Prisco Tarquinio rege postea bello devictis, additae sunt regiae potestatis insignibus lanceae longiores, numero pariter duodecim, spiculis carentes et promissis iubis ornatae, quas Romani iubas, barbari autem nonnihil corrupta voce tufas vocant. vexilla praeterea, id est lanceae longae, dependentibus pannis: flammula illos a flammeo colore dicunt; de quibus in opere nostro de mensibus sat multa exposita sunt. haec illius temporis regum insignia.

9. *Περὶ δὲ τῆς ἐν ὅπλοις στρατιᾶς Πάτερνος ὁ Ῥωμαῖος ἐν πρώτῃ τακτικῶν αὐτοῖς ῥήμασι καθ' ἑρμηνείαν ταῦτα φησίν. "ὁ Ῥωμύλος δὲ κουρίωνας τῶν ἱερῶν φροντιστὰς προεστήσατο, τοὺς αὐτοὺς καὶ κεντουρίωνας τῶν πεζικῶν ταγμάτων ὀνομάσας. τρισχιλίων γὰρ ὄντων πεζῶν ἀσπιδιωτῶν, ἑκάστης ἑκατοντάδος ἡγεμόνα προύθηκεν, ὃν Ἕλληνες μὲν ἑκατόνταρχον Ῥωμαῖοι δὲ κεντουρίωνα καλοῦσιν, ὡς εἶναι τοὺς πάντας ἑκατοντάρχους λ'. καὶ τοσούτους δὲ μανιπλοῦς, οἱονεὶ σημειοφόρους. ἐκ δὲ τῆς στρατιᾶς τριακοσίους σκουτάτους, ὡς Ῥωμαῖοί φασιν ἀντὶ τοῦ ἀσπιδιώτας, πρὸς φυλακὴν ἰδίαν ἀφώρισε" (καὶ μικρὸν ὕστερον εἰρήσεται, τί μέν ἐστι κλιπεάτος, τί δὲ σκουτάτος στρατιώτης). "προστέθεικε δὲ καὶ τριακοσίους ἱππότας ταῖς δυνάμεσι, Κελερίῳ τινὶ οὕτω καλουμένῳ τὴν φροντίδα τούτων παραδούς· ταύτῃ συνεκδοχικῶς ἅπας ὁ στρατὸς κελέριοι τότε προσηγορεύθησαν. ἐν τρισὶ δὲ ἑκατοντάσι συναγομένης τῆς ἱππικῆς δυνάμεως, τρισὶν ἐπωνύμοις αὐτὰς διέστειλε, Ῥαμνίτας καὶ Τιτίους ἱστῶν καὶ Λούκερας." τὰς δὲ αἰτίας τουτωνὶ τῶν ὀνομάτων ἐν τοῖς περὶ μηνῶν, ὡς εἴρηται, τεθεῖσιν ἡμῖν ἀποδεδώκαμεν.

10. *Εἰπεῖν δὲ καιρὸς τί διαφέρει σκοῦτον κλιπέου. σκοῦτον τοίνυν οἱ Ῥωμαῖοι καλοῦσι τὸ ἰσχυρὸν ἅμα καὶ ἰσχνόν, ὅπερ Ἕλληνες στιπτὸν ὀνομάζουσιν, ἀντὶ τοῦ στιβαρόν, ὡς Ἀριστοφάνης ἐν Ἀχαρνεῦσι "στιπτοὶ γέροντες, Μαραθωνομάχοι, πρίνινοι." ταύτῃ καὶ σκουτλάτα τὰ ἰσχνά τε καὶ στιγνὰ καὶ κοῦφα τῶν ἐσθη-*

23 στεγνὰ?

9. De armata autem militia Paternus Romanus, in libro primo tacticorum, ipsis verbis secundum versionem haec ait: "Romulus autem curiones, qui sacris praeessent, constituit, eosdemque centuriones pedestrium ordinum nominavit. cum enim tria milia essent peditum scutatorum, cuivis centuriae ducem praefecit (quem Graeci ἑκατόνταρχον, Romani centurionem vocant), ut centuriones omnes essent triginta, totidemque manipuli, id est signiferi. ab exercitu autem trecentos scutatos (sic Romani ἀσπιδιώτας vocant) ad propriam custodiam secrevit. (quid clipeatus, quid scutatus miles, paulo post dicetur). adiecit vero copiis trecentos quoque equites, queis Celerem quendam nomine praefecit; unde synecdochice universus exercitus tum Celerum nomen traxit. tribus vero centuriis constantem equestrem manum tribus nominibus distinxit, Ramnium, Titiorum et Lucerum." quorum nominum causas in iis quae, uti diximus, de mensibus a nobis scripta sunt exposuimus.

10. Nunc inter scutum et clipeum quid intersit, dicendum. scutum igitur Romani dicunt quod firmum simul et tenue, quod idem Graeci στιπτόν, id est στιβαρόν, dicunt, veluti Aristophanes in Acharnensibus "densati senes, Marathonii proeliatores ilignei." hinc et vestimenta

μάτων καλοῦσιν οἱ Ῥωμαῖοι. τοιαύτη δὲ ἡ τῆς ἀσπίδος κατασκευή· ἀβαρὴς μὲν γάρ ἐστιν ὡς ἰσχνή, καρτερωτάτη δὲ καὶ ταῖς πληγαῖς οὐκ εὐχερῶς ἐνδιδοῦσα. κλίπεον δὲ Ῥωμαῖοι τὸν θυρεὸν καλοῦσιν, ἀπὸ τοῦ κλέπτειν καὶ καλύπτειν τὸν ἐπιφερόμενον αὐτόν. Ἑλλήνων γὰρ ἴδιον καὶ μόνων ἀσπίσι τροχωτάταις ἐν πολέμῳ χρῆσθαι, βαρβάρων δὲ θυρεοῖς· πρὸς γὰρ τὸ κατεπεῖγον τῆς μάχης τὰς θύρας ἀνασπῶντες ὡς σκεπάσμασιν αὐταῖς εἰώθασι χρῆσθαι.

11. Ἔστι δὲ καὶ ἕτερον εἶδος ἀσπίδος βραχυτέρας, ἃς πεζομαχεῖν οἱ ὑπὲρ Ἴστρον οὐκ ἰσχύοντες ἐπὶ τῶν ἵππων κομίζουσι (πάρμαν αὐτὴν Ἰταλοὶ καλοῦσιν), ὡσεὶ πέλτας οἱ Σκύθαι. ἀγκίλιον πρὸς τούτοις τοῖς ἀρχαίοις γέγονεν (οὐδὲ γὰρ νῦν) εἶδος ἀσπιδισκαρίου, ἐξ οὗ καὶ ἀγκίλας τὰς δορικτήτους γυναῖκας ὠνόμασαν· τὴν γὰρ ἀρέσκουσαν αὐτῷ τυχὸν γυναῖκα ὁ στρατιώτης ἔσκεπε τῷ ἀγκιλίῳ ἐπὶ τῆς ἐφόδου, ὡς μὴ βλάπτοιτο πρός τινος, οἷα φυλαττομένη τῷ σώσαντι ταύτην. καὶ σέρβους τοὺς δούλους ἀπὸ τοῦ φυλαχθῆναι ἐκ τοῦ πολέμου Ἰταλοὶ λέγουσι· τοὺς δὲ μὴ δορικτήτους, ἀλλ' ἐλευθέρους μὲν τὴν τύχην δι' ἔνδειαν δὲ δουλεύοντας, φαμούλους, ὅτι φάμις ὁ λιμὸς προσαγορεύεται. ἀγκίλια δὲ ἐξ [Ἑλληνικῆς] Αἰολικῆς σημασίας εἴρηται ὡσανεὶ ἀμφίλια· τὰ γὰρ πελτάρια τῶν Ἀμαζόνων τοιαῦτα.

12. Στολὴ δὲ τότε παντὶ τῷ Ῥωμαϊκῷ στρατεύματι μία, περικεφαλαία χαλκῆ καὶ θώραξ κρικωτὸς καὶ ξίφος πλατὺ κολο-

3 κλίπεον—καλοῦσιν. nempe Lydo clipeus est scutum, et vicissim. F.
5 βραχυτάταις? 19 προβατορεύεται C. 20 ἀμφὶ λεῖα F.

tenuia densaque et levia Romani scutulata vocant. talis autem fabricatur clipeus: levis enim est utpote tenuis, at firmissimus, nec plagis facile cedit. clipeum autem Romani τὸν θυρεὸν vocant, a κλέπτειν, quia eripit (κλέπτει) tegitque ferentem. Graecis enim proprium, iisque solis, clipeis rotundissimis in bello uti, barbaris vero scutis oblongis: quippe urgente certamine elatis scutis veluti tegminibus uti consueverunt.

11. Est autem et aliud scuti brevioris genus (parmam Itali vocant), quod pedites pugnare nescientes, qui ultra Istrum incolunt, in equis gerunt, quemadmodum peltas Scythae. ancile ad haec antiquis fuit (neque enim nunc eo utuntur), scutuli genus, a quo etiam ancillas bello captas mulieres dixere: quippe placentem sibi forte mulierem miles ancili in proelii concursu tegebat, ne ab aliquo laederetur, futura utpote illius qui eam servasset. et servos mancipia quasi e bello servatos Itali appellant: qui autem non bello capti, sed liberi quoad fortunam, propter egestatem serviunt, eos famulos dicunt, quoniam famis ὁ λιμὸς vocatur. ancilia autem a Graeca eaque Aeolica voce dicta sunt quasi ἀμφὶ λεῖα (utrinque laevia): tales enim sunt parvae Amazonum peltae.

12. Ornatus autem tum totius Romani exercitus idem: galea nerea, et lorica annulis conserta, et gladius latus, curtus, in sinistro femore

βόν, ἠωρημένον ἐπὶ τοῦ εὐωνύμου μηροῦ, καὶ ἀκόντια ἐπὶ τῆς δεξιᾶς δύο, γλωχῖνας πλατείας ἔχοντα, περικνημῖδές τε ὑφανταὶ μέλαιναι, καὶ ὑποδήματα τοῖς ποσίν, ἅπερ Ἕλληνες μὲν ἀρβύλας Ῥωμαῖοι δὲ γάρβουλα καὶ κρηπῖδας ὀνομάζουσιν. οὐχ ἁπλῶς πως, οὐδὲ ἀλόγως· ἐν γὰρ ταῖς Εἰκόσι Τερέντιος ὁ ἐπίκλην Βάρρων (τὸ δὲ Βάρρωνος ἐπώνυμον τὸν ἀνδρεῖον κατὰ τὴν Κελτῶν φωνήν, κατὰ δὲ Φοίνικας τὸν Ἰουδαῖον σημαίνει, ὡς Ἑρέννιός φησιν) Αἰνείαν οὕτως ἐσταλμένον εἰς Ἰταλίαν ἐλθεῖν ποτὲ ἀνεγράψατο, ἰδὼν αὐτοῦ τὴν εἰκόνα, ὡς εἶπεν, ἐκ λίθου λευκοῦ ἐξεσμένην ἐπὶ κρήνης ἐν τῇ Ἄλβῃ. καὶ παναλήθες μᾶλλόν ἐστι· καὶ γὰρ ὁ Ῥωμαίων ποιητὴς ἐν τῷ πρώτῳ τῆς Αἰνηΐδος οὕτως ἐσταλμένον αὐτὸν καὶ πλανώμενον σὺν Ἀχάτῃ ἐν τῇ Λιβύῃ εἰσήγαγε. σαράκας δὲ ἐπ' εἰρήνης θυρεοὺς ἐξ ὤμων ἄνωθεν ἕως κνημῶν ἐξηρτημένας περιετίθεντο, κοσμοῦντες αὐτῶν τοὺς λεγομένους ποδεῶνας, καὶ γλόβας αὐτοὺς ὀνομάζοντες οἱονεὶ δοράς, ὅτι γλοβάρε τὸ ἐκδεῖραι Ῥωμαίοις ἔθος καλεῖν. καὶ οὐ τοῖς στρατιώταις οὕτως ἐστάλθαι μόνοις ὁπλοφοροῦσι νόμος, ἀλλὰ καὶ αὐτοκράτορσι. τῶν δὲ νῦν στρατιωτῶν βαρβάρους ζηλωσάντων, ἐκείνων δὲ αὐτούς, παρὰ μόνοις τοῖς τοῦ παλατίου φύλαξι (λέγονται δὲ παρὰ Ῥωμαίοις ἐκσκουβίτωρες οἱονεὶ φύλακες ἄγρυπνοι, οὓς πρῶτος μετὰ Ῥωμύλον Τιβέριος Καῖσαρ ἐξεῦρε) τὸ τοιοῦτο παραπέμενε

2 γλωχῖνας πλατεῖς F, γλοχίναι πλατνς C. 9 ἐξεσμένης ἐπὶ κρίνης C. 11 Virgilius Aen. 1 316 hoc tantum: *ipse uno graditur comitatus Achate, bina manu lato crispans hastilia ferro.* sic Lydus passim auctoribus, quae minime dixere, tribuit. F. 13 σαράκας F. pro θυρεοὺς recentior manus θυρεούς: an θηρείους? mox πεδεῶνας C.

pendens, et iacula in dextra duo, lata cuspide, et tibiarum tegumenta texta nigra, et calceamenta, quae Graeci ἀρβύλας, Romani garbula et crepidas vocant; neque haec casu temereve: etenim in imaginibus Terentius, cognomine Varro (Varronis vero cognomen Celtica lingua strenuum et Phoenicia Iudaeum sonat, ut testatur Herennius), Aeneam ita ornatum in Italiam olim venisse retulit, visa, ut ait, Albae ad fontem imagine eius e lapide condido scalpta. quo quidem nihil verius est: nam et Romanorum vates, in libro primo Aeneidos, eundem ita ornatum cumque Achate in Libya errantem induxit. sarracas vero pacis tempore... ab humeris superne ad tibias pertinentes gerebant, peronas suas, quas vocant, ornantes, globasque eas, id est pelles, appellantes, quia globare Romani τὸ ἐκδεῖραι (glubere) dicunt. neque milites tantum armigeros ita ornari moris fuit, sed imperatores quoque. hodierni autem milites cum barbaros hinc illos aemulentur, solis palatii custodibus (excubitores a Romanis vocantur, id est custodes vigiles, quos primus post Romulum Tiberius Caesar instituit), ille ornatus mansit, a Romulo, ut dixi,

σχῆμα, ἀπὸ Ῥωμύλου, ὡς ἔφην, ἐξ Αἰνείου τὴν ἀρχὴν ἔχον. οὐδὲ γὰρ ἐξῆν Ῥωμαίοις βαρβαρικὴν στολὴν περιθέσθαι· καὶ τοῦτο Τράγκυλλος ἐν τοῖς περὶ Αὐγούστου διαμέμνηται. ἰδόντα γάρ φησι τὸν Αὔγουστον ἐν τῷ ἱπποδρομίῳ τινὰς τῶν Ῥωμαίων ἐπὶ τὸ βαρβαρικὸν ἐσταλμένους ἀγανακτῆσαι, ὡς ἐν ἀκαιρεῖ τοὺς καταγνωσθέντας ἀποβαλόντας τὸ βάρβαρον μόγις ἐπιγνωσθῆναι τῷ Καίσαρι. τοιαύτη μὲν οὖν ἡ Ῥωμύλου στρατιά.

13. Καὶ τὰς λεγομένας δὲ ἀττηνσίωνας πρὸς θεραπείαν τῶν ῥηγῶν ἐπινοηθῆναι στοχάζομαι, πρὸς βασταγὴν καὶ φορὰν τῶν ἀναγκαίων, ὥσπερ νοκτούρνους πρὸς ἔπιπλα καὶ τὰ ἄλλα ὅσα πρὸς κοῖτόν ἐστι χρήσιμα· Κικέρων γὰρ ὁ πολὺς ἐν τοῖς κατὰ Βέρρου μέμνηται τουτουΐ τοῦ ὀνόματος. ἀττήνσους τοὺς οἰκιακοὺς ὑπηρέτας τῶν ῥηγῶν ὠνόμαζον ἀπὸ τοῦ προσανέχειν καὶ πειθαρχεῖν· ἀττένδερε γὰρ οἱ Ῥωμαῖοι τὸ φιλονεικεῖν λέγουσιν.

14. Ὡς οὖν εἴρηταί μοι, τὴν μὲν πεζομάχον δύναμιν τοῖς ἑκατοντάρχοις, τὴν δὲ ἱππικὴν Κελερίῳ τῷ πρὶν τῆς ὅλης ἡγησαμένῳ στρατιᾶς παραδέδωκε, πάσης αὐτὸν δυνάμεως καὶ τύχης καὶ διοικήσεως κρατεῖν ἐγκελευσάμενος, ὡς ἕτερον οὐθὲν ἢ μόνον τὸν στέφανον τὴν βασιλείαν παρὰ τῶν ὑπάρχων κατασχεῖν ἐξουσίαν ἀδέσποτον ἑαυτῇ. ταύτην τὴν ἀρχὴν οἵ τε ῥῆγες οἵ τε δικτάτωρες ἔσχον ἅπαντες, καὶ τὸ λοιπὸν οἱ Καίσαρες, ἔπαρχον τὸν

3 v. Sueton. Aug. 40. F. 12 τουτεί C, τουτουΐ F. 17 κελέριος C. 18 αὐτῶν C. 20 nonne τῶν ἱππάρχων? an τὴν ἔπαρχον? ἐξουσίας F.

ab Aenea initium habens. neque enim licebat Romanis barbarica veste uti; de quo meminit Tranquillus in Augusto. ait enim Augustum, cum in hippodromo Romanos quosdam barbarorum more vestitos vidisset, succensuisse: itaque animadversos confestim barbarum cultum abiecisse, vixque cognitos esse a Caesare. talis igitur fuit Romuli exercitus.

13. Et attentiones vero, quas vocant, regum ministerio inventas suspicor, ad advehenda ferendaque necessaria, veluti nocturnos ad supellectilem et quaecunque ad lectum pertinent curanda. meminit huius nominis celeberrimus Cicero in oratione contra Verrem. attentos fidos regum ministros vocabant ab attendendo atque obtemperando: attendere enim τὸ φιλονεικεῖν Romani dicunt.

14. Igitur, ut diximus, pedestres copias centurionibus, equestres autem Celeri, qui ante toti exercitui praefuerat, tradidit; eumque omnis potestatis et fortunae et administrationis principem esse voluit, ut nihil aliud nisi solam coronam magistrorum equitum potestati exemptum sibi rex relinqueret. hoc magistratu et reges et dictatores omnes usi sunt, ac deinde Caesares, qui magistrum equitum praefectum praetorio co-

ἔπαρχον μετονομάσαντες· καὶ μάρτυς Αὐρήλιος ὁ νομικός, ῥήμασιν αὐτοῖς πρὸς ἑρμηνείαν τούτοις εἰπών "διὰ βραχέων εἰπεῖν χρειῶδές ἐστι πόθεν τὴν ἀρχὴν ὁ τῶν πραιτωρίων ὕπαρχος ἔσχεν. ἀπὸ τοῦ ἱππάρχου ἢ μᾶλλον· εἰς τόπον γὰρ ἐκείνου τὸν ἔπαρχον προχειρισθῆναι φασίν. τοῖς ἀρχαίοις ἔστιν οἷς ἡ πᾶσα πρὸς καιρὸν ἐξουσία τῶν πραγμάτων ἐπιστεύετο. ἐπελέγοντο γὰρ ἑαυτοῖς ἡγεμόνα τῶν ἱππέων ἕκαστον, κοινωνὸν ὥσπερ τῆς ἀρχῆς καὶ διοικήσεως τῶν πραγμάτων. τοῦ δὲ κράτους ὕστερον ἐπὶ τοὺς αὐτοκράτορας μετενεχθέντος, πρὸς ὁμοίωσιν τοῦ ἱππάρχου ὁ τῶν πραιτωρίων προῆλθεν ἔπαρχος. καὶ δέδοται αὐτῷ μείζων ἢ κατ' ἐκεῖνον ἰσχὺς τῆς τε διοικήσεως τῶν πραγμάτων τῆς τε καταστάσεως καὶ ἀσκήσεως τῶν στρατευμάτων καὶ ἐπανορθώσεως ἁπάσης, καὶ εἰς τοσοῦτον ὑπεροχῆς προελθεῖν ὡς μηδενὶ ἐξεῖναι πρὸς ἔφεσιν ὁρμᾶν ἢ ὅλως ἐγκαλεῖσθαι τὴν αὐτοῦ κρίσιν." καὶ τότε μὲν ὁ νομογράφος.

15. Ὅτι δέ, κἂν εἰ τυχὸν πρεσβυτέρα καὶ μείζων τῶν ἀρχῶν ἁπασῶν ἐπαρχότης τῶν πραιτωρίων εἶναι δέδοται, καὶ χρειῶδες ἦν ἅμα καὶ ἁρμόδιον δι' ὅλης αὐτῆς τῆς τάξεως καὶ δυνάμεως ἐξαγαγεῖν τὸν λόγον· ἀλλ' οὖν ἐπειδὴ μὴ ἀπ' ἀρχῆς, ἀπὸ δὲ τοῦ Αὐγούστου ἀντὶ τοῦ ἱππάρχου, ὡς ἔφην, προεχειρίσθη,

1 locus Aurelii, qualis nunc in Digestis (1 tit. 11) exstat, nonnulla habet a Lydo non expressa. F. 3 ὁ vulgo om. 4 ἤ, ni fallor, delendum. cf. 1 33 et 2 12 μᾶλλον. F. 5 φασίν F, πασιν C. 7 lego ἕκαστος. F. 9 ὁ vulgo om. 11 τε διοικ. F, δὲ διοικ. C. 14 ἔφεσιν F, ἄφεσιν C. mox F ἐγκαλεῖσθαι. lego τόδε. F. 16 lego πρεσβυτέραν — ἐπαρχότητα. F. mihi facilius visum μείζω mutare in μείζων.

gnominarunt. testis est Aurelius iurisconsultus, cuius ipsa verba secundum versionem haec sunt: "breviter commemorare necesse est, unde initium praefectus praetorio habuerit. a magistro equitum profecto: in illius enim locum praefectum praetorio creatum esse aiunt. apud veteres quibusdam omnis rerum administratio ad tempus credebatur. nam eligebant sibi quisque magistrum equitum socium quasi imperii et rei publicae administrandae. postea vero summa rerum ad imperatores translata, ad similitudinem magistri equitum praefectus praetorio prodiit, dataque est ei maior quam fuerat illius potestas, cum in rebus administrandis, tum in exercitibus et instituendis et exercendis, tum in omni disciplina emendanda; quae quidem eo progressa est, ut nemini appellare aut omnino incusare eius sententiam liceret." haec iurisconsultus.

15. Quoniam vero, quamvis forte vetustior omnibus magistratibus ampliorque sit praefectura praetorii, ac necesse simul congruumque totum eius officium potestatemque enarrando persequi: verum tamen, quoniam non initio, sed ab Augusto pro magistro equitum, ut dixi,

ἀρκέσει τέως περὶ τῆς ἀρχαιότητος εἰπεῖν, καὶ ὅθεν ἡ ἐπαρχότης ἔχει τὰ σπάργανα, εἶτα μετὰ τὴν ἀφήγησιν τῶν παλαιοτέρων ἀρχῶν, ἐν προοιμίοις τῆς Αὐγούστου βασιλείας, ἐξ ἧς, ὡς ἔφην, καὶ τὰ προοίμια ἔσχεν ἡ ἀρχή, ἐφεξῆς ἅπαντα, ὅσων τε κατὰ σμικρὸν ἀφῃρέθη. εἶτα δὲ καὶ περὶ τῆς ὑπ' αὐτὴν τελούσης μεγίστης ὡς ἀληθῶς τάξεως, ἐν ᾗ κἀμὲ τελέσαι συμβέβηκε, λεπτομερῶς ἀφηγήσομαι (καὶ γὰρ ἐπίσταμαι οὐ κακόν, ἀλλ' αὐτοῖς ἔργοις ὑπουργήσας τοῖς πράγμασιν) εὐχαριστήριον ὥσπερ ἀνάθημα προσφιλὲς τοῖς ἐφόροις τῆς ἀρχῆς ἀναφέρων, διαθρέψασιν ἅμα κοσμίως ἡμᾶς, καὶ μετὰ θεὸν τὸν πάντων κύριον γέρα τε τῶν πόνων καὶ πέρας ἐσθλὸν καὶ τύχην κρείττονα παρεσχηκόσιν.

16. Λῆλον ἀντικρὺς ἑκατὸν τὸν ἀριθμὸν γέροντας ἐκ πασῶν τῶν κουριῶν (ἀντὶ τοῦ φυλῶν) ἐπιλέξασθαι τὸν Ῥωμύλον πρὸς διάσκεψιν τῶν κοινῶν, οὓς αὐτὸς μὲν πατέρας Ἰταλοὶ δὲ πατρικίους ἐκάλεσαν ἀντὶ τοῦ εὐπατρίδας. μετὰ δὲ τὴν ἁρπαγὴν τῶν Σαβίνων conscriptos αὐτοὺς ἐπονομάσας οἱονεὶ συγγεγραμμένους, ὅθεν patres conscripti οἱ Ῥωμαίων ἄρχοντες ἔτι καὶ νῦν χρηματίζουσι, καὶ ἑτέρας δὲ τριάκοντα κουρίας καὶ τοσούτους ἑκατοντάρχους καὶ τριακοσίους ἑτέρους ἱππότας ἐκ τοῦ Σαβίνων ἔθνους τῷ Ῥωμαϊκῷ συνηρίθμησε στρατῷ, ὡς εἶναι πάντας ἑξακισχιλίους μὲν πεζομάχους ἑξακοσίους δὲ ἱππότας. καὶ τοῦτον τὸν ἀριθμὸν ὁ Μάριος ὕστερον διεφύλαξε, τὰς λεγομένας λεγεῶ-

4 ὅσον vulgo. 7 legendum, ni fallor, κακῶς. F. 9 διατρέψασιν vulgo. 13 φίλον C.

creatus est, satis erit hinc usque de antiquitate et incunabulis praefecturae dixisse, ac deinde, enarratis vetustioribus magistratibus, in prooemio Augusti imperii, ex quo, ut dixi, initium magistratus quoque habuit, omnia deinceps, quantumque paulatim imminutus sit, explicare. deinde autem et de eidem apparente officio, sane maximo, ad quod me quoque pertinere contigit, subtiliter exponam (etenim non male scio, quippe qui vere operam rebus dederim), in gratiarum actionem quasi consecratum acceptumque donum praesidibus imperii offerens, qui et liberaliter nos sustentant, et post deum, omnium dominum, praemia laborum nobis et optatum finem et fortunam potiorem praebuerunt.

16. Constat omnino centum numero senes ex omnibus curiis (id est tribubus) elegisse Romulum, qui de re publica consultarent; quos ipse patres, Itali autem patricios (id est nobili genere ortos) dixerunt. post raptas Sabinas vero conscriptos eos cognominavit, id est συγγεγραμμένους: unde patres conscripti Romanorum magistratus etiamnum appellantur. nec non alias triginta curias totidemque centuriones atque alios trecentos equites de gente Sabinorum Romano exercitui adiecit, ut omnino essent peditum sex milia et equites sexcenti. atque hunc numerum Marius postea servavit, legiones quas vocant (id est delectas

νας οἱονεὶ λογάδας διατυπῶν. καὶ ὁ Λέων δὲ ὁ βασιλεὺς πρῶτος τοὺς λεγομένους ἐκσκουβίτωρας τῶν παρεξόδων τοῦ παλατίου φύλακας προστησάμενος τριακοσίους μόνους ἐστράτευσε κατὰ τὴν ἀρχαιότητα.

17. Ἐπίσημα δὲ τοῖς πατρᾶσιν ἤτοι πατρικίοις ἦν δίπλακες μὲν ἤτοι χλαμύδες ἄχρι κνημῶν ἐξ ὤμων διήκουσαι, περόναις χρυσαῖς ἀνεσταλμέναι, τὸ χρῶμα ξηραμπέλινοι, πορφύρᾳ κατὰ μέσον διάσημοι (λατικλαβίας αὐτὰς ὠνόμαζον, τὰς δὲ χλαμύδας ἀτραβαττικὰς ἐκ τοῦ χρώματος, ὅτι τὸ φαιὸν κατ' αὐτοὺς ἄτρον προσαγορεύεται), καὶ παραγῶδαι, χιτῶνες λογχωτοί, ἀκροπόρφυροι, λευκοὶ διόλου, περιχειρίδας ἔχοντες (μάνικας αὐτὰς ἐκεῖνοι λέγουσι, τοὺς δὲ τοιούτους χιτῶνας παραγαύδας τὸ πλῆθος οἶδεν ὀνομάζειν· ἀρχαῖος ὅμως χιτὼν ὁ παραγαύδης, Πέρσαις καὶ Σαυρομάταις ἐπίσημος, ὡς Διογενιανῷ τῷ λεξικογράφῳ εἴρηται), περισκελίδες τε λευκαί, ὅλον τὸ σκέλος σὺν τοῖς ποσὶ σκέπουσαι, καὶ ὑπόδημα μέλαν, ὑποσάνδαλον, δι' ὅλου γυμνόν, βραχεῖ τινὶ ἀναστήματι τὴν πτέρνην, ἐπ' ἄκρου δὲ τοὺς δακτύλους τοῦ ποδὸς συσφίγγων, ἱμάντων ἑκατέρωθεν ἐπὶ τοὺς ἀστραγάλους ὑπὸ τὸ ψάμα τοῦ ποδὸς διελκομένων ἐπὶ τὸ στῆθος, ἀνθυπαντιώντων ἀλλήλοις καὶ διαδεσμούντων τὸν πόδα, ὥστε βραχὺ λίαν ἔκ τε δακτύλων ἔμπροσθεν καὶ ἐξόπισθεν διαφαίνεσθαι τὸ ὑπόδημα, ὅλον δὲ τὸν πόδα τῇ περισκελίδι διαλάμπειν. κάμπαγον αὐτὸ καλοῦσιν ἐκ τῆς ἐπὶ τὸν κάμπον, οἱονεὶ τὸ πεδίον, χρείας ἔτι καὶ

6—7 περόνες χρυσαῖς ἀνεσταλμέναις C. 19 ψάμα] an πέλμα?
21 ἔμπρος C.

copias) constituens; primusque Leo imperator, cum excubitores, quos vocant, palatii liminum custodes constituisset, more antiquo non plus trecentos delegit.

17. Insignia autem patribus sive patriciis erant laenae duplices sive chlamydes, ab humeris ad tibias pertinentes, aureis fibulis adstrictae, colore xerampelino, mediae purpura insignes (laticlavias eas vocabant; chlamydes autem atrabatticas a colore, quoniam τὸ φαιόν illorum sermone atrum dicitur): paragaudae tunicae lanciolatae, purpura praetextae, totae albae, manicis ornatae (sic illi περιχειρίδας vocant. tales vero tunicas paragaudas appellari vulgo notum est. antiqua tamen tunica paragaudis, Persarum et Sauromatarum insignis vestis, ut Diogenianus, vocabulorum scriptor, dixit); fasciae crurales albae, totum crus cum pede tegentes; et calceamentum nigrum, solea constans, apertum prorsus, exstante parva parte calcem, et in imo digitos premens; loris utrinque ... pedemque vincientibus, ut perexigua calcei pars, cum a digitis tum a calce, appareret, totus vero pes cum fascia crurali cerneretur. campagum eum ab usu in campo etiamnum vocant: in campo

νῦν· ἐπὶ γὰρ τοῦ πεδίου γενόμενοι τὰς προαγωγὰς τῶν ἀρχόντων Ῥωμαῖοι ἐπετέλουν, ἐφ' οὗ τοῖς τοιούτοις ἐστέλλοντο ὑποδήμασι. τουτονὶ τὸν κάμπαγον Θούσκων γενέσθαι τὸ πρὶν ὁ Λέπιδος ἐν τῷ περὶ ἱερέων φησί.

18. Πρόοδος δὲ τοῖς πατρικίοις ἐκ ποδὸς μὲν οὐδέποτε, ἀλλ' οὐδὲ ἱππική (κοινὴ γὰρ ἐδόκει), ὀχήμασι δὲ ἐπισήμοις, ἐφ' ὑψηλοῦ τῆς καθέδρας ἀναστρωννύμενοι, τεσσάρων ἡμιόνων ἑλκόντων τὸ ὄχημα, ἐκ χαλκοῦ Κορινθίου εἰς πλῆθος σχημάτων καὶ τύπων ἀρχαιοφανῶν διαγεγλυμμένων. οὐδὲ γὰρ ἵππους ἔξῆν ὑποζεύξαι τῷ ὀχήματι, εἰ μή γε μόνοις τοῖς βασιλεῦσι· θριαμβικὴ γὰρ ἡ μετὰ τῶν ἵππων ἐν ὀχήματι πρόοδος. βουριχάλλια δὲ τὰς ἁμάξας ἐκ τῶν βοῶν ἐκάλουν· ὧν ἄνευ, ἐπεὶ μὴ φορτίον ἐπέκειτο, ἡμιόνοις ἐπίστευον τὸν ζυγόν.

19. Τίτος Τάτιος Σαβίνων ἡγούμενος, ὡς ἔφθην εἰπών, συναφθεὶς τοῖς Ῥωμαίοις οὕτως ἥνωσεν ἄμφω τὰ ἔθνη, ὡς μηκέτι δύο μίαν δὲ καὶ μόνην ἀναφέρεσθαι τὴν Ῥωμαίων πολιτείαν. ὅτι δὲ Τίτος Τάτιος τὴν προσηγορίαν ἐκεῖνος εἶχεν, ὑποκοριστικῶς τίτουλον ἀπὸ τοῦ πρώτου Τίτου τὴν προγραφὴν τῆς εὐγενείας ἐκάλεσαν, καὶ Τίτους τοὺς ἐκ προγόνων εὐγενεῖς, ὥς φησι Πέρσιος ὁ Ῥωμαῖος. τοιαῦτα μέν τινα περὶ τῶν ἀξιωμάτων.

20. Πάσης δὲ τιμῆς πρώτην ἐλογίζοντο οἱ τῆς Ῥώμης εὐπατρίδαι τὴν ἀπὸ τῶν χαρισμάτων εὐφημίαν, καὶ ὅσῳ πλείους

7 leg. *ἀναστρωννυμένοις*: refertur enim ad *ὀχήμασιν*. F. 9 malim *διαγεγλυμμένον*. 16 an *ἀναφαίνεσθαι*? 19 v. Pers. Sat. 1 19 et 20. F.

enim magistratuum electiones Romani peragebant, ubi huiusmodi calceos gerebant. hunc campagum Thuscorum antea fuisse ait Lepidus in libro de sacerdotibus.

18. Prodibant autem patricii pedibus quidem nunquam; at neque equo (vulgare quippe videbatur), sed curru insigni, cuius alta sedes instrata; quattuor mulis trahentibus currum ex aere Corinthio, plurimis figuris imaginibusque antiquis insculptis ornatum. neque enim equos currui iungere cuiquam nisi solis regibus licebat: triumphalis quippe cum equis in curru incessus. burichallia autem vehicula a bovibus vocabant; quorum in vicem, cum onus impositum non esset, mulis iugum tradebant.

19. Titus Tatius Sabinorum rex, iunctus, ut supra diximus, Romanis, ita inter se ambos populos coniunxit, ut non amplius duae sed una solaque Romanorum res publica appellarentur. qui cum Titus Tatius vocaretur, diminutive titulum a primo Tito inscriptionem nobilitatis, et Titos nobili stirpe genitos dixerunt, ut ait Persius Romanus. haec de titulis.

20. Quovis autem honore maiorem ducebant Romani patricii bonam famam munificentia partam; et quo plures familiares habebant, eo

εἶχον τοὺς οἰκειουμένους αὐτοῖς, τοσούτῳ μείζονα τὴν εὐδοξίαν παρὰ τοὺς ἐλάττονας ἐλογίζοντο. καὶ μάρτυς ὁ Ῥωμαῖος Ἰουβενάλιος, εἰπὼν καὶ ὑπατειῶν καὶ θριάμβων καὶ τῶν ἐν πολέμοις ἀνδραγαθημάτων πρώτην γενέσθαι τοῖς ἀρχαίοις τὴν ἀπὸ τῶν χαρισμάτων εὔκλειαν. τοὺς δὲ οἰκειουμένους αὐτοῖς κλιέντας ἀντὶ τοῦ κολιέντης κατ' ἀντίστοιχον πατρίως ἐκάλουν, οἱονεὶ τιμῶντας καὶ ἀγαπῶντας αὐτούς, σὺν πάσῃ τιμῇ καὶ μετριότητι τὰς δωρεὰς χαριζόμενοι, ὥστε φιλοτιμίας τὰς τῶν φίλων τιμὰς ὀνομάζειν. οὐδεὶς δὲ τυχὼν οἰκειώσεως εὐπατρίδου ἔχρηζεν ἑτέρου τὸ λοιπὸν πρὸς τὴν τοῦ ὅλου βίου παραμυθίαν, αἰσχος οἰομένων αὐτῶν καὶ τῆς οἰκίας τύχης ἀπόστασιν, εἴ πού τις τῶν φίλων αὐτοῖς εἰς ἑτέρου κατέστη χρείαν. καὶ τοντουὶ ἴχνος ἀμαυρὸν ἕως ἄρτι παρὰ Ῥωμαίοις ἐφυλάττετο. περὶ γὰρ τὴν Ὄστιαν (πόλις δέ ἐστιν ἐπὶ τῶν ἐκβολῶν τοῦ Θύβριδος κειμένη) ἀπέστελλον οἱ τῆς Ῥώμης λογάδες τοὺς οἰκειοτάτους, καθάπερ τι θήραμα καλόν, τοὺς ἀναγομένους ξένους λαμβάνοντας πρὸ τῶν ἄλλων ἄγειν ὡς αὐτούς, πρὸς πάσης ἀφθονίας ἐπίδοσιν ἀνεωχθεισῶν ἅπασι τῶν αὐλείων θυρῶν τῆς οἰκίας τοῦ μείζονος, μηδενὸς φύλακος ἢ θυρωροῦ διακωλύοντος τοῖς δεομένοις τὴν εἴσοδον, αὐτῶν τῶν εὐπατριδῶν σὺν γαμεταῖς καὶ τέκνοις προφαινομένων τοῖς ξένοις καὶ θαρρεῖν ἀξιούντων τοὺς οὐδέποτε ὀφθέντας αὐτοῖς. διῆλθε δὲ ὅπως καὶ ἐπὶ τὴν καθ' ἡμᾶς Ῥώμην ἡ τοιαύτη φιλανθρωπία,

2 excidit forte ἔχοντας. F. Iuvenalis Sat. 5 110: *namque et titulis et fascibus olim maior habebatur donandi gloria.* F. 9 ἔχρησεν vulgo. 16 malim καταγομένους. F.

maiorem suam prae aliorum, quibus pauciores essent, gloriam existimabant. testis est Iuvenalis Romanus, cum alt et fascibus et triumphis et praeclaris bellorum facinoribus maiorem fuisse antiquis munificentiae gloriam. familiares autem suos clientes, per antistichum pro colientes, patrio sermone dicebant, id est honorantes amantesque ipsos, cum summo honore modestiaque dona largientes, ut munera sua amicorum honores appellarent. nemo autem patricii familiaritatem consecutus alius in posterum per totam vitam praesidio indigebat, turpe reputantibus illis et fortunae suae iacturam, si quis forte amicorum eorum ad alterius opem confugisset. cuius rei obscurum vestigium ad nostrum aevum apud Romanos servatum est. nam circa Ostiam, quae est urbs ostiis Tiberis adiacens, primores Romani familiarissimos suos mittebant, veluti egregiam praedam, e portu solventes hospites aliis praerepturos ipsisque adducturos; quo omnis generis abundantia praeberetur, apertis cuilibet vestibuli ianuis maioreque aedium parte, nullo custode aut ianitore introire cupientes impediente: ipsi patricii cum uxoribus liberisque hospitibus obvii, quos nunquam vidissent, salutabant. transiit vero et ad

καὶ τὸ λοιπὸν οὐκ ἔστη, τῶν ἐν ἡμῖν ἐνδόξων ἄχρις ἑαυτῶν τὴν ὑπεροχὴν τῆς τύχης ἐνδεικνυμένων.

21. Καὶ πρὸ Ῥωμύλου δὲ ἄν τις εὕροι Σιλβίους τοὺς βασιλέας τῆς χώρας ἐπονομαζομένους ἀπὸ Σιλβίου Αἰνείου τοῦ ἀπὸ Αἰνείου τοῦ πρώτου. ἐν γὰρ ταῖς ὕλαις τὰς οἰκήσεις ἔχοντες οἱ πρίν, καὶ τὸν νομαδικὸν τιμῶντες βίον, Σιλβίους σφᾶς σεμνυνόμενοι προσηγόρευον, μηδὲ αὐτῶν βασιλέων ἀπαξιούντων νέμειν ἀγέλας καὶ χρήματα συλλέγειν ἀπ' αὐτῶν· ὅθεν καὶ πεκουνίαν κατ' αὐτοὺς τὰ χρήματα καλοῦσι. ταύτῃ καὶ κύνας παρέπεσθαι Εὐάνδρῳ ποτὲ τῷ Τεγεάτῃ ἡ παλαιότης οἶδε. καὶ οὐ μόνον ἀνδράσι τὸ Σιλβίων ἐπώνυμον ἀλλὰ καὶ γυναιξὶν ἐπετίθετο, ὡς Ῥέᾳ Σιλβίᾳ καὶ Ἰλίᾳ Σιλβίᾳ. μετὰ δὲ τὴν τῆς Ῥώμης γένεσιν καὶ τὴν ἁρπαγὴν τῶν Σαβίνων πρῶτος ὁ βασιλεὺς Νουμᾶς διώνυμος ἐχρημάτισε, Πομπίλιος Νουμᾶς προσαγορευόμενος, ὧν τὸ μὲν Ῥωμαίων τὸ δὲ Σαβίνων ἐπώνυμον ἦν· οὐδὲ γὰρ πρὸ αὐτοῦ εὕροι τις Ῥωμύλον ἢ τινα ὅλως πρὸ τῆς Σαβίνων πρὸς Ῥωμαίους συναφείας, παρὰ τὴν οὖσαν αὐτῷ κυρίαν, προσηγορίαν κτησάμενον. (22) καὶ τότε μὲν σπουδὴ καὶ κόσμος ἦν ἐκείνοις τῇ ἑξ ἑκατέρας γενεᾶς σεμύνεσθαι προσηγορίᾳ· προϊὼν δὲ ὁ χρόνος ἐπωνυμίας εἰσήγαγε καινάς, νῦν μὲν ἀπὸ Τρωϊκῆς εὐγενείας, νῦν δὲ ἀπὸ τῶν λεγομένων Ἀβοριγίνων καὶ αὐτοχθόνων τῆς χώρας (καὶ γὰρ ἴσμεν Κίθηγον ἐξ ἐκείνων τῶν γηγενῶν ἕλκειν τὸ γένος

1 ἔστην C. 8 ἀπ' vulgo om. πεκουνίαι vulgo. 20 κένας C. 22 καὶ θηγῶν C.

nostram Romam ea humanitas; at non duravit postea, claris inter nos hominibus fortunae culmen haud ultra sese ostendentibus.

21. Iam ante Romulum reperias Silvios eius regionis reges appellatos a Silvio Aenea, genus a primo Aenea ducente. quippe in silvis habitantes prisci homines, ac nomadum vitam colentes, Silvios se gloriantes dicebant, ne ipsis regibus quidem pascere greges et rem colligere dedignantibus; unde etiam pecuniae eorum sermone facultates dicuntur. hinc et canes Evandrum Tegeaeum olim comitatos esse veteres narrant. neque viris tantum Silviorum cognomen, sed mulieribus quoque dabatur, veluti Rhea Silvia et Ilia Silvia. post conditam autem Romam et raptas Sabinas primus rex Numa duobus nominibus usus est, Pompilius Numa appellatus; quorum illud Romanorum, hoc Sabinorum cognomen erat. neque enim ante illum reperias Romulum, neque omnino quenquam ante Sabinorum cum Romanis coniunctionem praeter proprium eius nomen aliud accepisse. (22) ac tum quidem studium ornamentumque illis erat nomine ab utraque stirpe gloriari. succedens autem aetas nova cognomina introduxit, nunc a Troiana nobilitate, nunc ab Aboriginibus, quos vocant, autochthonibusque regionis (etenim scimus Cethegum, a terrigenis illis genus iactantem, nudum veste, toga tantum

ἀξιοῦντα γυμνὸν ἐσθῆτος, μόνης αὐτῷ τήβης τραχείας περὶ τοῖς στέρνοις κειμένης, ἐπ' ἀγορᾶς γενόμενον, καίτοι βουλευτικοῖς ὠγκωμένον γνωρίσμασιν), εἶτα δὲ καὶ ἀπὸ τρόπου ἢ διαθέσεως, ὡς Πούβλιος Βαλέριος Ποπλικόλας, ὧν αἱ μὲν δύο ἐπωνυμίαι τὴν ἐκ Ῥωμαίων, ὡς ἔφην, καὶ Σαβίνων παρεδήλουν λαμπρότητα, ἡ δὲ τρίτη τὴν ἐκ τῆς περὶ τὸν δῆμον στοργῆς ἐδείκνυ διάθεσιν. καὶ τάχα χρειῶδες ἀντὶ πολλῶν μετρίων ἐπιμνησθῆναι τοιουτωδῶν περιττωμάτων· οὐδὲ γὰρ σχολὴν ἄγω περὶ ταύτην ἀπραγῆσαι τὴν ζήτησιν, ἱκανὴν οὖσαν καθ' ἑαυτὴν καὶ μόνην μεγίστας ἀπασχολῆσαι βίβλους.

23. Πρόκουλον τοιγαροῦν τὸν ἀποδημοῦντι τεχθέντα τῷ πατρὶ καὶ Πόστουμον τελευτήσαντι, καὶ Βώπισκον τὸν δίδυμον μὲν συλληφθέντα τοῦ δὲ ἑτέρου φθαρέντος σωζόμενον, καὶ Καίσαρα τὸν ἀνατμηθείσης τῆς μητρώας γαστρὸς θανούσης ἀποσωθέντα ἐκάλουν, καὶ Φλάκκον τὸν ὦτα μείζονα ἔχοντα, καὶ Ναίβιον τὸν ἀλφώδη, καὶ Λούκιον Λικίνιον Κράσσον, ὧν τὸ μὲν πρῶτον τὸν ἀνίσχοντος ἡλίου τεχθέντα, τὸ δὲ δεύτερον τὸν ἀκρόουλον τὴν κόμην, τὸ δὲ τρίτον τὸν κρεώδη καὶ εὐσώματον διασημαίνει· κράσσος γὰρ ὁ παχὺς τὸ σῶμα κατὰ φύσιν παρ' Ἰταλοῖς τοῖς ἀρχαιοτέροις εἴρηται. Πεινα(ρ)γύϊος δὲ ὁ πειῶν, καὶ Στάτης ὁ εὐήλιξ, καὶ Φαῦστος καὶ Φλάβιος ὁ εὔνους, καὶ Γάϊος (οἱονεὶ γαύδιος) ὁ χαρίεις, καὶ Τιβέριος ὁ παρὰ Τίβεριν τὸν ποταμὸν τεχθείς, καὶ Τίτος ὁ ἀπὸ Τατίου τοῦ Σαβίνου, καὶ Ἄππιος ὁ ἐν Ἀππίᾳ οἰκῶν (ὁδὸς δέ ἐστιν ἐπίσημος), καὶ Σέρβιος

1 τὸ γῆς C. 17 τὸν ante ἀνίσχ. vulgo om. 20 lego πινάριος δὲ ὁ πεινῶν. F.

aspera pectus tegente, in forum venisse, quamvis senatoriis ornamentis insignem), deinde vero a moribus etiam aut indole, veluti Publius Valerius Publicola; quorum nominum duo a Romanis, ut dixi, Sabinisque generis claritudinem, tertium affectionem ab amore in populum ostendebat. ac necesse, opinor, erit e multa hac farragine pauca quaedam commemorare. neque enim otium ago, tali investigatione quod perdam, quae per se solam maximis voluminibus implendis sufficiat.

23. Proculum igitur peregre profecto et Postumum mortuo patri natum vocabant, et Vopiscum, qui, geminus susceptus, extincto altero, et Caesarem, qui incisa mortuae matris alvo servatus, et Flaccum, cui maiores aures, et Naevium, cui maculae genitivae. nominum Lucii Licinii Crassi primum oriente sole natum, secundum coma crispum, tertium carnosum et corpulentum sonat: crassus enim ab antiquioribus Italis dictus est, qui natura corpore obeso. Pinarius sonat esurientem, States aetate vigentem, Faustus et Flavius benevolum, Caius (id est gaudius) iucundum, Tiberius ad Tiberim flumen natum, Titus a Tatio Sabino ortum, Appius in Appia (quae est via insignis) habitantem, Ser-

ὁ θανούσης αὐτῷ τῆς μητρὸς ἐγκύμονος διασωθείς, καὶ Νέρων ὁ ἰσχυρὸς τῇ Σαβίνων φωνῇ, καὶ Νάσων ὁ εὔρινος, καὶ Τούκκας ὁ κρεωβόρος, ὃν οἱ ἰδιῶται ζικκὰν ἐκάλεσαν καθ' ἡμᾶς, καὶ Βάρος καὶ Βλαισὸς ὁ πλαγιόσκελος, καὶ Σερρανὸς ὁ γεωργικὸς ἀπὸ τοῦ σπείρειν, καὶ Αὔγουστος ὁ καλοιώνιστος, καὶ Βιτέλλιος ὁ κροκοειδὴς τὴν ὄψιν, ὅτι βιτέλλον οἱ Ῥωμαῖοι τὴν λέκυθον τοῦ ᾠοῦ ἐπικαλοῦσι, καὶ Βάρρων ὁ κατὰ μὲν Φοίνικας Ἰουδαῖος κατὰ δὲ Κέλτας ἀνδρεῖος. καὶ πολλὰ ἄν τις τοιαῦτα συνάγοι κατὰ σχολήν, εἰ τυχὸν αὐτόν, οὐκ ἔχοντα ὅ τι πράττοι, ἀφρόντιδα συμβαίνοι διαβιοῦν, καὶ τοιούτοις ὁποίοις ἐγώ, καίπερ μυρίαις συμπεπλεγμένος φροντίσιν, ἐναγρυπνῶ μωραίνων ἀθύρμασιν.

24. Τὸ πιστὸν τοῖς γράφουσιν ἡ τῶν ἀρχαίων ἐπιτίθησι μαρτυρία. Ἰούνιος τοίνυν Γρακχιανός, ἐν τῷ περὶ ἐξουσιῶν, αὐτοῖς ῥήμασι περὶ τοῦ καλουμένου παρὰ Ῥωμαίοις κυαίστωρος "προεχειρίζοντο ψήφῳ τοῦ δήμου. Τοῦλλος δὲ ὁ ῥηξ μετὰ τούτους ἀναγκαίαν εἶναι τὴν τῶν κυαιστώρων ἀρχὴν ἔκρινεν, ὡς τοὺς πλείους τῶν ἱστορικῶν αὐτῷ τὴν τοιαύτην προαγωγὴν ἀναγράψαι καὶ μόνῳ. ἀπὸ δὲ τῆς ζητήσεως οὕτως ὀνομασθῆναι αὐτοὺς Ἰούνιος καὶ Τρεβάτιος καὶ Φενιστέλα εἶπον." καὶ μεθ' ἕτερα "πλὴν ὕστερον ἐξηρέθησαν οἱ καινδιδάτοι τοῦ βασιλέως κυαίστωρες, οἳ πρὸς ἀνάγνωσιν τῶν βασιλικῶν γραμμάτων καὶ μόνην ἐσχόλαζον· οἱ δὲ αὐτοὶ καὶ ψήφους ἀπὸ τοῦ κοινοῦ τῆς

4 βλέσος C. an ἀπὸ τοῦ σέρρε olovεὶ σπείρειν? cf. c. 25, 30, 46. 6 βιτέλλιον C. 10 καὶ] κἂν? 15 προεχωρήσαντο vulgo. 18 ἀπὸ — εἶπον] patet et haec, et quae sequuntur post καὶ μεθ' ἕτερα, Gracchano falso tribui, priora quidem, quia Iunius idem qui Gracchanus, posteriora autem, quia Gracchani aevo necdum erant quaestores candidati. F.

vius mortuae matris ex utero servatum, Nero Sabinorum lingua fortem, Naso nasonem, Tucca carnivorum (quem nunc Ziccam idiotae appellant), Varus et Blaesus, cui crura obliqua, Serranus agricolam a serendo, Augustus boni ominis et Vitellius crocea facie hominem, quia vitellum Romani flavum ovi vocant, Varro Phoenicia lingua Iudaeum, Celtica strenuum. talia multa colligere per otium possit, cui forte, quod agat non habenti, sine cura vivere contingat, atque eiusmodi quibus stolidus ego, quamvis innumeris implicitus curis, oblectamentis vigilare.

24. Fidem scriptoribus addunt veterum testimonia. Iunius igitur Gracchanus, in libro de Potestatibus, his ipsis verbis de quaestore Romanorum. "creabantur populi suffragio. Tullus vero rex deinceps, ut necessarius esset quaestorum magistratus, decrevit; unde plerique historici eorum electionem illi solique tribuerunt. a quaerendo autem eos ita dictos esse Iunius, Trebatius et Fenestella dixerunt." et post alia "verum postea excepti sunt candidati principis quaestores, qui solis principalibus libris legendis vacabant. iidem autem et sententias uni-

βουλῆς ἀνεγίνωσκον ὑπὲρ τῶν εἰς ἀξιώματα προαγομένων.» ταῦτα μὲν ὁ Ἰούνιος, ὁ νομικὸς δὲ Οὐλπιανὸς ἐν τῷ de officio quaestoris (ἀντὶ τοῦ περὶ κυαίστωρος) ἀποχρώντως διαλέγεται.

25. Ζητῆσαι δὲ ἀξιόλογον εἶναι νομίζω, τί μέν ἐστι κυαίστωρ, τί δὲ κυαισίτωρ, καὶ τί μὲν σημαίνει διὰ τῆς διφθόγγου γραφόμενον, τί δὲ ψιλῆς. κυαίστωρ τοίνυν ὁ ζητητής, ἀπὸ τοῦ quaerere οἷον ἐρευνᾶν· οἱ γὰρ παρ' Ἕλλησιν ἐρευνάδες παρὰ Ῥωμαίοις κυαίστωρες ὠνομάσθησαν. κυαισίτωρ δὲ ὁ τιμωρός (τὸ μὲν γὰρ πρῶτόν ἐστι παρὰ Ῥωμαίοις δισύλλαβον, τὸ δὲ τρισύλλαβον)· ἐπὶ γὰρ τοῦ μόνου Μίνωος τοῦ Κρητός, ὃς γενέσθαι τιμωρὸς κατὰ τὸ μυθικὸν τῶν ἐν Ἅιδου ψυχῶν ἐνομίσθη, τὸ κυαισίτωρος ὄνομα ὁ Ῥωμαίων ποιητὴς ἐν ἕκτῳ τῆς Αἰνηΐδος τέθεικεν. ὅθεν καὶ κυαστίωνας τὰς τιμωρίας καὶ κυαστιωναρίους τοὺς τῶν ποινῶν ὑπηρέτας Ῥωμαῖοι ἔγνωσαν καλεῖν. ὁ μὲν γὰρ κυαίστωρ ζητητής ἐστιν ἐπὶ χρήμασιν, ὁ δὲ κατ' ἐπέκτασιν καὶ συλλαβῆς προσθήκην ἐπ' ἐγκλήμασιν· ἑκάτερον δὲ διὰ τῆς διφθόγγου γραφήσεται, κἂν εἰ τὸν ταμίαν διασημαίνῃ, ὅτι κυαίστους ὁ πόρος παρὰ Ῥωμαίοις καλεῖται. ὅτε δὲ μὴ δίφθογγος ᾖ ἐν προοιμίοις ἡ λέξις ἀλλὰ ψιλῇ γράφεται, οὐδέτερον μὲν τῶν εἰρημένων σημαίνει, τὸν δὲ μέμψιμον καὶ βλάσφημον διὰ τῆς γραφῆς ἐπιδείξει, ὅτι queror μέμφομαι, ῥήματι κοινῷ, πάθος ἅμα καὶ

1 προσαγομένων C. 3 κυαισίτωρος C. sed hiat locus, ita fortasse supplendus: (ἀντὶ τοῦ περὶ τῆς τοῦ κυαίστωρος τάξεως) περὶ κυαίστωρος. cf. c. 28. 6 excidit forte διά. F. an ψιλῇ, ut c. extr.? 10 τοῦ ante *Μίνωος* aut delendum aut cum καί mutandum. 20 an *μεμψίμοιρον?*

versi senatus de iis qui ad honores provehebantur legebant." haec Iunius. prolixe de quaestore explicat Ulpianus iurisconsultus in libro de Officio quaestoris.

25. Quaerere autem operae pretium existimo, quid quaestor et quid quaesitor, quidque sonet cum diphthongo, quid, cum simplici vocali scribitur. quaestor igitur est qui quaerit, a quaerere, id est ἐρευνᾶν: qui enim apud Graecos ἐρευνάδες, apud Romanos quaestores dicti sunt. quaesitor vero est vindex (scilicet prius apud Romanos dissyllabum, hoc autem trisyllabum est): etenim soli Minoi Cretensi, qui animarum apud inferos vindex secundum fabulam credebatur, vates Romanus, in libro sexto Aeneidos, quaesitoris nomen tribuit. unde etiam quaestiones poenas et quaestionarios poenarum ministros Romani dixerunt. nempe quaestor est qui de facultatibus, quaesitor autem, quod fit extenta voce additaque syllaba, qui de criminibus quaerit. utrumque vero diphthongo scribendum; neque minus quaestor, quoniam quaestus a Romanis reditus vocatur. cum autem non diphthongo prima vocis syllaba, sed simplici vocali scribitur, neutrum illorum quae diximus, sed querulum et calumniatorem vi scripturae significabit, quia queror

ἐνέργειαν παραδηλοῦντι, λέγουσι, καὶ κυριμονίας καὶ κυερίλλας τὰς μέμψεις.

26. Ὅπως δὲ μὴ τυχὸν τεχνολογίαις τάληθὲς δόξωμεν σοφίζεσθαι, πρὸς τῶν περὶ ταῦτα ἠσχολημένων μάθωμεν. Γάϊος τοίνυν ὁ νομικὸς ἐν τῷ ἐπιγραφομένῳ παρ' αὐτοῦ ad legem 12 tabularum (οἷον εἰς τὸν νόμον τοῦ δυοκαιδεκαδέλτου) αὐτοῖς ῥήμασι πρὸς ἑρμηνείαν ταῦτά φησιν. "ὡς δὲ τὸ ταζοφυλάκιον τοῦ δήμου εἰς ἐπίδοσιν ἦλθε, προεχειρίσθησαν κυαίστωρες ὑπὲρ τῆς αὐτοῦ φροντίδος, ἀπὸ τῆς περιποιήσεως καὶ φυλακῆς τῶν χρημάτων οὕτως ὀνομασθέντες. ἐπειδὴ δὲ περὶ κεφαλικῆς τιμωρίας οὐκ ἐξῆν τοῖς ἄρχουσι κατὰ Ῥωμαίου πολίτου ψηφίσασθαι, προεβλήθησαν κυαίστωρες παρρικίδιοι" ὡσανεὶ κριταὶ καὶ δικασταὶ τῶν πολίτας ἀνελόντων. παρρικίδας δὲ Ῥωμαῖοι ὁμωνύμως τούς τε γονέων τούς τε πολιτῶν φονέας ἀποκαλοῦσι, παρέντης ἑκατέρους προσαγορεύοντες. διαφορὰν δὲ ἐπὶ τῆς ἐπωνυμίας ταύτην παρέχουσί τινα· συστέλλοντες γὰρ τὴν πρώτην συλλαβὴν καὶ βραχεῖαν ποιοῦντες τοὺς γονέας, ἐκτείνοντες δὲ τοὺς ὑηκόους σημαίνουσιν.

27. Τῷ δὲ τριτῳ καὶ διακοσιοστῷ τῶν ὑπάτων ἐνιαυτῷ, ἐπὶ τῆς ὑπατείας Ῥηγούλου καὶ Ἰουνίου, κρινάντων Ῥωμαίων πολεμεῖν τοῖς συμμαχήσασι Πύρρῳ τῷ Ἠπειρώτῃ, κατεσκευάσθη στόλος καὶ προεβλήθησαν οἱ καλούμενοι κλασσικοὶ (οἱονεὶ ναυάρ-

7 forsitan et hic Lydus erravit, ac Pomponii verba (Digest. 1 tit. 2 2) Caio tribuit. F. 16 βραχεῖαν ποιοῦντες F, βροχὴν πορροῦντες C. 22 προσεβλήθησαν vulgo.

τὸ μέμφομαι, verbo communi, affectum simul actionemque declarante, dicunt, nec non querimonias et querelas τὰς μέμψεις.

26. Ne autem forte verborum argutiis veritatis speciem quaerere videamur, ab iis qui in hoc argumento versati sunt discamus. Caius igitur iurisconsultus, in libro quem inscripsit *ad legem 12 tabularum*, haec ait. "cum autem aerarium populi auctius esse coepisset, ut essent qui ei praecessent, constituti quaestores, dicti ab eo quod conquirendae et conservandae pecuniae causa creati erant. et quia de capite civis Romani non licebat magistratibus ius dicere, propterea constituebantur quaestores parricidii (quasi quaesitores iudicesque eorum qui cives occidissent)." parricidas autem Romani et parentem et civium interfectores iuxta vocant, parentes utrosque appellantes. discrimen autem nominis afferunt hoc: nempe primam syllabam cum corripiunt, parentes, cum producunt, cives indicant.

27. Tertio autem et ducentesimo a consulatu anno, Regulo et Iunio consulibus, cum Romani iis qui Pyrrhi Epirotae socii fuerant bellum inferre statuissent, aedificata classis, et additi sunt qui vocantur classici (id est navarchi), numero duodecim quaestores, distributores

χαι) τῷ ἀριθμῷ δυοκαίδεκα κυαίστωρες, οἷον ταμίαι καὶ συναγωγεῖς χρημάτων· τίνι δὲ διαφέρει κυαίστωρ κυαισίτωρος, πρυειρήκαμεν. καὶ διεφυλάχθη ἡ τοιαύτη συνήθεια καὶ συναγωγὴ τῶν πόρων τοῖς τε ὑπάτοις τοῖς τε πραίτωρσιν ἐκδημοῦσιν.

28. Περὶ δὲ τῶν τοῦ παλατίου κυαιστώρων πυθέσθαι χαλεπὸν οὐδὲν Οὐλπιανοῦ τοῦ νομικοῦ· λέγει δὲ ὧδε ἐν μονοβίβλῳ περὶ τῆς τοῦ κυαίστωρος τάξεως. "πλὴν ἐξῄρηντο οἱ κυαίστωρες οἱ καντιδάτοι τοῦ Καίσαρος· οὗτοι γὰρ μόνοις τοῖς βιβλίοις τοῖς ἐπὶ τῆς βουλῆς ἀναγινωσκομένοις ἐσχόλαζον, καὶ ταῖς ἐπιστολαῖς τῶν βασιλέων ὑπούργουν." καντιδάτους δὲ τοὺς λευχείμονας Ῥωμαίοις ἔθος καλεῖν· οὐδεὶς δὲ λόγον ὁντινα οὖν ἀναγνωσόμενος, καὶ μάλιστα ἐκ προσώπου βασιλέων, μὴ λευχείμων ἐπέβη τῆς ἀναγνώσεως. καντιδάτοι δὲ καὶ οἱ μέλλοντες εἰς ἀρχὰς τῶν ἐπαρχιῶν παριέναι ἐλέγοντο, ὅτι καὶ αὐτοὶ λευχειμονοῦντες προῄεσαν, ταύτῃ παραδηλοῦντες ὡς ἀρχοντιῶσιν. καὶ τούτων μάρτυς πᾶς ὁ Ῥωμαϊκῆς οὐκ ἄμοιρος ἱστορίας. τὸ γὰρ μηδένα τῶν ἀρχόντων ἑτέρᾳ παρὰ τὴν ἐν ἑορταῖς στολῇ χρήσασθαι πᾶσίν ἐστι γνωριμώτατον· καὶ οὐκ ἐπὶ τῆς Ῥώμης μόνης ἀλλὰ μὴν κἀν ταῖς ἐπαρχίαις τοῦτο κρατῆσαν αὐτὸς ἐγὼ διαμέμνημαι, ἕως ἂν τὰ βουλευτήρια διῴκουν τὰς πόλεις, ὧν ἀπολομένων συνεξώλισθε τοῖς ἐν γένει τὰ ἐν εἴδει.

29. Τοσούτους ἄρχοντας τὰ Ῥωμαίων ἰθῦναι ὑπὸ τοῖς

1 συναγωγῆς C. 7 Ulpianus Digest. 1 tit. 13: *verum excepti erant candidati principis: hi etenim solis libris principalibus in senatu legendis vacant.* F. 8 μόνοι C.

videlicet exactoresque pecuniarum. quaestor et quaesitor quo differant, supra diximus. et servata haec consuetudo ac reditus colligendi ratio tum a consulibus tum a praetoribus, cum in exteras regiones proficiscerentur.

28. De palatii quaestoribus autem licet Ulpianum iurisconsultum audiamus: ait autem sic in libro singulari de Officio quaestoris. "verum excepti erant quaestores candidati principis: hi etenim solis libris in senatu legendis et epistolis imperatorum vacabant." candidatos autem Romani candidam vestem gerentes vocare solent. nemo autem orationem qualemcunque lecturus, ac praesertim coram imperatore, non cum candida veste ad lectionem accedebat. candidati vero ii quoque dicebantur qui in provinciis magistratus erant gesturi, quia et hi cum candida veste prodibant, hoc se studiosos magistratuum esse indicantes. testatur haec quisquis Romanae haud expers historiae: nam e magistratibus neminem, praeterquam solennibus diebus, alia veste usum esse, omnibus notissimum est. neque vero id Romae tantum, sed in provinciis etiam moris fuisse ipse memini, quamdiu quidem a curialibus civitates regebantur: quibus sublatis cum universis singula simul evanuerunt.

29. Tot magistratus rem Romanam sub regibus, per annos ducen-

ῥηξὶν ἐπὶ τοὺς τρεῖς καὶ τεσσαράκοντα καὶ διακοσίους ἐνιαυτούς, ἐφ' ὅσους οἱ ῥῆγες ἐκράτησαν, ἡ καθόλου ἱστορία παραδέδωκεν. καὶ τὸ λοιπὸν ὥσπερ ἐν σκότῳ τὸ τῆς ἐλευθερίας ἐξέλαμψεν ὄνομα.

30. Ὑπάτους Ἕλληνες τοὺς ὑψηλοὺς καὶ μεγάλους λέγουσιν, οὐ στοχασάμενοι τῆς ἀληθοῦς τοῦ ὀνόματος προσηγορίας. τὸ γὰρ κόνσουλ, ὡς Ἰταλοῖς ἡ φύσις παραδέδωκεν, οὐ τὸν ὑψηλὸν ἀλλὰ τὸν πρύτανιν σημαίνει. Κόνσος γὰρ αὐτοῖς ὁ Ποσειδῶν ἐνομίσθη· κρύφιος δὲ αὐτὸς καὶ ὑποβρύχιος, καὶ ὡς τοῖς ποιηταῖς ἤρισεν, ἐννοσίγαιος καὶ ἐνοσιχθών· ἔτι δὲ κρύφιον τοῦτο λεληθῶς. ταύτῃ καὶ κονσίλια τὰ βουλεύματα καὶ μυστικὰ σκέμματα λέγεται παρ' ἐκείνοις, ἀπὸ τοῦ κόνδιρε οἱονεὶ τοῦ κρύπτειν, καὶ κόνσουλ ὁ κρυψίνους, ἀπὸ τοῦ προνοεῖν καὶ καθ' ἑαυτὸν ὑπὲρ τῶν κοινῶν σκεπτόμενον ἀγρυπνεῖν. ταύτῃ καὶ κονσουάλια τὰ ἱπποδρόμια καλοῦσιν οἱ ἀρχαῖοι· Ἵππιον γὰρ ὁ μῦθος τὸν Ποσειδῶνα λέγει. τοιαῦτα μέν τινα περὶ τῆς Ἰταλικῆς τῶν ὑπάτων προσηγορίας.

31. Ὅτι δὲ τῶν πάντων ἠγνόησεν οὐδεὶς τὰ ὀνόματα τῶν πρώτως ὑπατευσάντων, μέτριά τινα περὶ Βρούτου λεκτέον. Ἰούνιος μὲν κύριον ὄνομα τἀνδρὶ γέγονε, Βροῦτον δὲ αὐτὸν κατὰ τὸν τῆς ἐπωνυμίας τρόπον ἔλεγον ἀπὸ τῆς ὑποκεκριμένης αὐτῷ μωρίας· βροῦτον γὰρ τὸν μωρὸν ἐπεχωρίαζον Ἰταλοὶ τὸ πάλαι ἀπὸ τῆς βαρύτητος τῶν φρενῶν. οὗτος, ὡς ἔφην, εὐήθειαν σκη-

8 κόνσον C. 9 αὐτὸς] οὗτος? 10 ἔτι] ἔστι F. an ἀληθῶς? 12 κονδόρε C. 21 ὑποκεκρυμμένης vulgo.

tos quadraginta tres, quos penes reges imperium fuit, rexisse in universum historia tradidit. ac deinde velut in tenebris libertatis nomen eluxit.

30. Ὑπάτους Graeci excelsos magnosque vocant, neglecta vera nominis significatione. etenim τὸ consul Italorum, ut res ipsa fert, non excelsum sed prytanem significat. Consum enim illi Neptunum dicebant: occultus vero ille, sub undis latens, atque, ut poetis placuit, terrae quassator .... eadem ratione consilia ab iis consultationes deliberationesque secretae a condere (id est occultare) dicuntur, et consul tanquam mentem celans, quippe qui prospiciat proque re publica secum cogitans vigilet. hinc etiam consualia antiqui cursus equestres ludicros dicunt: equestrem enim fabula appellat Neptunum. haec de Italo consulum nomine.

31. Quoniam vero primorum consulum nomina nemo ignorat, pauca quaedam de Bruto dicenda. Iunius proprium viri nomen erat, Brutum autem, secundum cognominandi morem, eum a simulata eius stultitia vocabant: Brutum enim Itali olim patrio sermone stultum a torpore mentis appellabant. hic, ut dixi, stultitiam fingens tempus quaerebat Tar-

νεύμενος ἐζήτει καιρὸν τὸν Ταρκύνιον, ἄνδρα τῶν πώποτε τυράννων ἀπηνέστατον, ἐξωθῆσαι τῆς ἀρχῆς. ὡς δὲ βραδύνων Ἀθήνησι διὰ τοὺς νόμους σὺν τοῖς μετ' αὐτοῦ πρὸς τοῦτο σταλεῖσαν ὑπὸ Ῥωμαίων ᾔτει τὸν θεὸν ὁδὸν ὑποδεῖξαι καὶ συλλαβεῖν αὐτῷ πρὸς τοῦτο, ἔχρησεν αὐτῷ τὸ δαιμόνιον ὅτι εἰ τῆς πατρίδος ἐπιβὰς πρὸ πάσης τάξεως τὴν μητέρα περιπτύξηται καὶ λιπαρῶς περιβάλοι, περίεσται τοῦ σκοποῦ. καὶ δὴ ἐπανελθὼν ἐν τῇ Ῥώμῃ καὶ τὴν γῆν περιβαλὼν (αὕτη δὲ μήτηρ τῶν πάντων) ἠλευθέρωσε Ῥωμαίους τυραννίδος, ἀρχὴν ἐξευρὼν παρ' οὐδενὶ τῶν ἐθνῶν γνωριζομένην, καὶ εἰ παρ' Ἑβραίοις Δανιὴλ ὁ προφητῶν θειότατος ὑπάτων παρὰ Ἀσσυρίοις γενομένων ποτὲ μνημονεύει. οὐδὲ γὰρ οὗτος αὐτὸς ἐπὶ τῆς Ἑβραΐδος ἀπίθετο φωνῆς, ὡς Ἀρισταῖος λέγει· ἀλλ' οἱ ἑρμηνεύσαντες παρὰ Πτολεμαίῳ τὰ λόγια ποτε ἀντὶ δυναστῶν καὶ βουλευτῶν ὑπάτους εἶπον, μήπω τότε παρὰ Ῥωμαίοις ἀνισχούσης τῆς ἀρχῆς καὶ παρὰ πᾶσιν ἐπὶ τῷ καινῷ μεγέθει [τῆς ἀρχῆς] θαυμαζομένης. τούτων οὕτως ἐχόντων περὶ τῶν τῆς ὑπατείας συμβόλων ῥητέον.

32. Λευκοὶ φαινόλαι ποδήρεις, καὶ κολοβοὶ μετρίως παρὰ τοὺς φαινόλας ἀνεσταλμένοι, πλατύσημοι, πορφύρα διάσημος ἐξ ἑκατέρων τῶν ὤμων, τοῖς μὲν φαινόλαις πρόσθεν τοῖς δὲ κολοβοῖς καὶ ἐξόπισθεν, καὶ ὑποδήματα λευκὰ (ἀλούταν δὲ τὸ ἀπὸ στυπτηρίας δέρμα καλοῦσιν οἱ Ῥωμαῖοι, ὅτι ἄλουμεν κατ' αὐτοὺς ἡ

5 ὅτι vulgo om. 6 pro τάξεως malim πράξεως. 12 οὕτως? ἐπέθετο vulgo: cf. 3 70. 14 immo μήποτε. 19 διάσημα vulgo. 22 ἄλουμον C.

quinium, virum omnium, qui unquam tyranni fuere crudelissimum, regno expellendi. qui cum (Athenis cum iis degens qui legum causa cum eo a Romanis erant missi) deum rogasset ut viam monstraret seque in eo adiuvaret, respondit ei numen, si in patriam ingressus matrem ante omnia amplectatur avideque osculetur, voti compotem futurum. et vero, Romam reversus, terramque (est autem haec omnium mater) osculatus, tyrannide Romanos liberavit, magistratumque repperit nulli populorum cognitum; quamvis apud Hebraeos Daniel, prophetarum sanctissimus, ὑπάτων, qui olim apud Assyrios fuere, mentionem faciat. neque enim hic ipse, ut ait Aristaeus, in Hebraeo sermone ita scripserat: sed qui apud Ptolemaeum sacras literas olim vertere, principes et senatores ὑπάτους dixerunt, necdum tum eminente apud Romanos imperio, neque nova magnitudine omnium admirationem in se convertente. restat ut de insignibus consulatus dicamus.

32. Consulum insignia toga alba talaris, et colobus, paenula aliquanto restrictior, laticlavius, purpura ex utroque humero insignes, et paenula quidem in adversa, colobus autem in aversa etiam parte; calceamenta alba (alutam autem alumine subactum corium appellant Romani,

συνταγμα λέγεται), καὶ ἐκμαγεῖον ἐπὶ τῆς δεξιᾶς ἀπὸ λίνου λευκόν, τὸ ἐπίσημα τῶν ὑπάτων ἦν (μάππαν καὶ φακιόλην ἐπιχωρίως ὀνόμασαν, ὅτι φακὸς παρ' αὐτοῖς ἡ ὄψις λέγεται), καὶ πελέκεις ἡγούμενοι, εἰς ὕψος ἀρθέντες, καὶ πλῆθος ἀνδρῶν ῥάβδους ἐπιφερομένων, ἐξ ὧν ἅπαντες φοινικῷ χρώματι βεβαμμένοι ἐξήρτηντο, ἢ ἀπὸ Σερανοῦ τοῦ δικτάτωρος, ὃς ἐν ὕλαις ξυλοτομῶν καὶ πέλεκυν εἰκότως ἐπιφερόμενος ῥάβδον τε ἐξηρτημένην ἡνίας πρὸς ἔλασιν τῶν βοῶν τῆς ἁμάξης ἐπὶ τὴν Ῥωμαίων ἀρχὴν μετεστάλη, ὡς Πέρσιος ὁ Ῥωμαῖος σατυρικὸς ἔφη, ἢ καὶ ὅτι πέλεκυς ἐξουσίας ἐστὶ δεικτικός· πρὸς τούτοις καθέδρα (ἐλέφαντος, ἐφ' ἧς καθήμενον τὸν ὕπατον οἱ πολῖται, σχίδακας ἐπιμήκεις ὑποβαλόντες, ἄγεσθαι προῄντα.

33. Ὅπως δὲ μὴ τῇ τοῦ ἑνὸς ἐξουσίᾳ ἀδυσώπητος ἡ ἀρχὴ τοῦ ὑπάτου γένοιτο, δύο καὶ ἐπὶ μόνον ἐνιαυτὸν προεχειρίσαντο, ὡς εἴρηται, Βροῦτον τὸν τῆς ἐλευθερίας ἔκδικον, σὺν αὐτῷ Ποπλικόλαν (τὸ δὲ ὄνομα τὸν δημαγωγὸν σημαίνει)· οἷς ἐξῆν καὶ νόμους γράφειν καὶ αὐτοκρατῶς τοὺς πολέμους διοικεῖν, οἷα τὴν τῶν ὅλων διοίκησιν ἀνημμένοις. τελευτήσαντος δὲ τὸν βίον τοῦ Βρούτου δημοσίᾳ πένθει ἐτίμησαν τὸν νεκρόν, καὶ βρούτας τὰς σφῶν γυναῖκας ὠνόμασαν ἐξ αὐτοῦ διὰ τὴν σωφροσύνην· τὸν δὲ ἕτερον ὁ θάτερος ἔτι περιὼν ἐπαχθεῖ πρώτως ἐτίμησε. λέγεται

4 πλῆθους C. 6 ἢ ἀπὸ Σιρανοῦ F, μησεράννου C. 7 ῥάβδου – ἡνίαν F. 9 locum Persii, quem certe haec scribens non inspexit Lydus, vide in Sat. 1 37. F. 12 ὑπομήκεις vulgo. προιόντα F, προσιόντας C. 15 lego καὶ σὺν F.

quia alumen eorum sermone ἡ συνταγμα vocatur); sudarium in dextra lineum, candidum (mappam et faciolem patrio sermone dixerunt, quia facies apud eos vultus dicitur); secures, quae praeferebantur alte elatae, et multitudo hominum fasces gestantium, a quibus lora puniceo tincta colore pendebant; sive a Serano dictatore, qui in silvis ligna caedens, ideoque securim, et quo boves plaustri pelleret, lorum virgae alligatum ferens, ad Romanorum imperium, ut refert Persius Romanus satyrarum scriptor, accersitus est, sive etiam quia securis potestatis indicium. ad haec sella (ut illi καθέδραν vocant) eburnea, in qua sedentem recens creatum consulem cives, subiectis perticis longioribus, ferebant.

33. Ne autem singulari potestate immite consulis imperium evaderet, duos eosque in annum tantum creavere, Brutum, ut diximus, libertatis vindicem, et cum eo Publicolam (quod nomen popularem virum significat); quibus licebat et leges ferre et suo arbitrio bella administrare, quippe quibus summa rerum tradita esset. Bruti autem vita functi corpus publico luctu honoraverunt, et Brutas uxores suas ab illo propter pudicitiam appellarunt; mortuumque consulem superstes funebri oratione

δὲ παρ' αὐτοῖς τὸ ἐπιτάφιον νηνία, ἐξ Ἑλληνικῆς μᾶλλον ἐτυμολογίας, ὅτι νήτην τὴν ἐσχάτην τῶν ἐν κιθάρᾳ χορδῶν Ἕλληνες καλοῦσιν.

34. Γάϊος ὁ νομογράφος μετὰ τὴν τῶν κυαιστώρων τὴν δεκανδρικὴν ἀρχὴν ἀναφέρει, ῥήμασι πρὸς ἑρμηνείαν τούτοις. "πολλῆς δὲ συγχύσεως τῶν νόμων, οἷα μὴ γράμμασι τεθειμένων, τοῖς πράγμασι γινομένης ἐκ τῆς τῶν ἀρχόντων καὶ τοῦ δήμου διαφορᾶς, δόγματι κοινῷ τῆς βουλῆς καὶ τοῦ δήμου πάντες μὲν οἱ ἄρχοντες ἐκινήθησαν, δέκα δὲ μόνοις ἀνδράσι τὴν φροντίδα τῆς πολιτείας παρέδοσαν. αὐτοὶ δὲ στέλλουσιν (ἡ ἱστορία φησὶν) εἰς Ἀθήνας Σπούριον Ποστούμιον, Αὖλον Μάρκιον καὶ Πούπλιον Σουλπίκιον. τῶν δὲ ἐπὶ τριετῆ χρόνον ἐκεῖ βραδυνόντων, ἕως καὶ τοὺς λειπομένους Ἀθηναίων νόμους ταῖς δέκα δέλτοις ἀναλάβωσι, δέκα προεβάλετο ὁ δῆμος ἄνδρας ἀνθεξομένους τῶν πραγμάτων, ὧν ὁ πρῶτος τῆς πόλεως φύλαξ προσηγορεύθη, ὁ καθ' ἡμᾶς πολίαρχος. ἐπίσημα δὲ τῆς ἐξουσίας ἦν αὐτῷ δυοκαίδεκα ῥάβδοι, τοῖς δὲ λοιποῖς οὐχ οὕτως, ὁπλοφόρος δὲ ἀν' ἕκαστον εἷς καὶ μόνος. τῷ γε μὴν πολιάρχῳ καὶ τάξις ἀνδρῶν τογατηφόρων καὶ ῥαβδοῦχοι καὶ δεσμά, καὶ ὅσα ἴσμεν, παρῆν." ἀπέτρεψον δὲ αὐτοὺς οἱ κτῆσιν εὔφορον κεκτημένοι· ὅθεν τὸ γλέβης προσέλαβον ὄνομα, ὅτι γλέβαν τὴν λείαν γῆν, ἀντὶ τοῦ τὴν κάρπιμον, οἱ Ῥωμαῖοι καλοῦσι. τὸ γὰρ τῶν ἔργων σκρινίον, οὐκ

9 ἀπεκινήθησαν? 11 καὶ Πούπλιον] πούπλιον καὶ C. 13 ἀναλάβουσι C. ut saepe ου pro ω. F. 18 legendum τογάτη (ἀντὶ τοῦ φαινολοφόρων). F. 21 λίαν C.

tum primus ornavit. dicitur autem apud eos funebris cantus nenia, a graeco potius etymo, quia νήτην Graeci imam citharae chordarum vocant.

34. Caius iurisconsultus post quaestorum magistratum de decemvirali his verbis, secundum versionem, explicat. "magna autem perturbatione legum, quippe quae scriptae non essent, in re publica e discordia magistratuum plebisque coorta, communi senatus populique voluntate omnes magistratus sublati ac decem tantum viris cura civitatis mandata est. hi, teste historia, Athenas miserunt Sp. Postumium, A. Marcium et P. Sulpicium; qui dum ibi per triennium commorantur, donec reliquas etiam Atheniensium leges decem tabulis collegissent, plebs decem viros rei publicae praefuturos creavit, quorum primus custos urbis dictus est (quem nunc praefectum urbis vocamus). insignia autem potestatis illi erant duodecim fasces: at ceteris non item, sed singulis unus tantum armatus. praefecto urbis vero cohors ... quoque et lictores et vincula, et quae alia scimus, aderant. sustentabant autem eos qui divites possessiones habebant; unde glebae nomen acceperunt, quia glebam Romani aequam, id est fertilem, terram dicunt. nam operum

ὧν ἀπ' ἀρχῆς, ὁ Αὔγουστος προσένειμε τῇ ἀρχῇ, τὴν ἐν τῇ Ῥώμῃ βασιλικὴν ἀνεγείρων, ὡς ὁ Τράγκυλλος εἶπε φιλολόγος. τῶν δὲ εἰρημένων ἀρχόντων πρὸς ἀλαζονείαν ἀρθέντων καὶ τυραννικῶς διαγινομένων, ταραχθεὶς ὁ δῆμος τὴν πόλιν ἀπέλιπε καὶ περὶ τὸν βουνὸν τὸν λεγόμενον Ἀβεντῖνον ᾤκησεν· ὁ δὲ τόπος ἔλκει τὴν προσηγορίαν ἐξ ἑνὸς τῶν Ἡρακλειδῶν, ὡς ὁ Ῥωμαίων ποιητὴς παραδέδωκε. καὶ διέτριβεν ἐκεῖ ὁ δῆμος ἀγανακτῶν πλείστων μὲν ἕνεκα, ἐξαιρέτως δὲ Βεργινίου χάριν καὶ τῆς αὐτοῦ παιδὸς ἔναγχος βιασθέντων. τὴν δὲ ἱστορίαν οἶμαι πρόδηλον εἶναι.

35. Ἄρχοντες μὲν οὗτοι, πλὴν εἰ μή τις καὶ τοὺς λεγομένους παρ' αὐτοῖς ποντίφικας (ἀντὶ τοῦ ἀρχιερεῖς νεωκόρους) εἰς ἄρχοντας ἀριθμεῖν ἐθελήσοι· γνώμῃ γὰρ αὐτῶν καὶ κρίσει τοὺς νόμους ἔγραφον οἱ ἀρχαῖοι καὶ τὰ ὤνια διετύπουν· ὅθεν aediles τοὺς ἀγορανόμους ἔτι καὶ νῦν συμβαίνει καλεῖσθαι, καθὸ τοὺς ναοὺς οἱ Ῥωμαῖοι αἴδης καλοῦσιν. μετὰ δὲ τὴν ἐκβολὴν τῶν ῥηγῶν καὶ προβολὴν τῶν ὑπάτων θορύβων ἐνισταμένων, ὡς εἴρηται τοῖς συγγραφεῦσιν ἑκατέρας φωνῆς, ἐπὶ πεντήκοντα σύνεγγυς ἐνιαυτοὺς χιλίαρχοι τῶν πραγμάτων ἐξηγήσαντο· εἶτα ἐπὶ πενταετίαν ἀναρχίαν ἐδυστύχει τὸ πολίτευμα, καὶ τὸ λοιπὸν τρεῖς νομοθέτας καὶ δικαστὰς προβληθῆναι πρὸς βραχὺ συμβέβηκε διὰ τὰς ἐμφυλίους στάσεις.

36. Οὕτως οὖν Ῥωμαίοις ταραττομένων τῶν πραγμάτων

2 locum Suetonii frustra quaesivi. F. 4 ἀπέλειπε C. 6 Virgil. Aen. 7 657. 11 καὶ νεωκόρους F. praestat fortasse γεφυραίους, coll. 2 4. 15 ἀιδεις C. 17 συγγράφουσιν vulgo.

scrinium, cum initio non fuisset, Augustus magistratui addidit, basilicam Romae condens, ut Tranquillus philologus refert. memorati autem magistratus cum ad arrogantiam provecti tyrannorum more agerent, territa plebs, relicta urbe, circa collem quem Aventinum vocant consedit; qui locus ab Heraclidarum aliquo, ut narrat vates Romanus, nomen invenit. et commorata ibi plebs infensa cum ob plurima alia, tum praecipue Virginii eiusque filiae gratia, quibus nuper vis illata fuerat; quam historiam satis notam esse existimo.

35. Magistratus quidem hi, nisi quis pontifices quoque (id est summos sacerdotes) et aedituos connumerare magistratibus velit: horum enim sententia iudicioque leges ferebant veteres et res venales constituebant, unde agoranomi etiamnum aediles vocantur, quatenus templa Romani aedes vocant. post exactos reges autem consulesque creatos turbatae rei publicae, quemadmodum utriusque linguae scriptores tradidere, tribuni militares per quinquaginta fere annos praefuerunt: deinde per quinquennium afflictata est civitas, principe carens; posteaque tres legislatores ac iudices creati sunt, iique propter domesticas factiones ad breve tempus.

36. Tali igitur modo perturbatis Romanorum rebus complacuit,

συνήρησε τὸν καλούμενον προστήσασθαι δικτάτωρα, ἐπεὶ οὐκ ἀγαθὸν πολυκοιρανίη. δισσαῖς οὖν ταῖς φροντίσιν ἐταλαιπώρουν, καὶ τὸ βασιλέων διδιότες ὄνομα, μὴ λάθοιεν αὖθις Ταρκυνίοις περιπίπτοντες ἢ πολλοῖς καὶ μὴ συμφωνοῦσιν ἄρχουσι διασπαθιζόμενοι. ἔδοξε τοιγαροῦν αὐτοῖς, ὡς εἴρηται, τὸν καλούμενον δικτάτωρα (ἀντὶ τοῦ μεσοβασιλέα) προστήσασθαι, ἓξ καὶ μόνοις μησὶ τοῦ κράτους αὐτῷ περιγραφομένου. καὶ τέως ἀρμόδιον εἶναί μοι δοκεῖ ἑρμηνεῦσαι τοῖς Ἕλλησι τὸ δικτάτωρος ὄνομα. πατρίως τοίνυν οἱ Ῥωμαῖοι τὸν ἐπὶ καιρὸν μονάρχην οὕτω καλοῦσι, τὸν μὴ νόμων γραφαῖς τὰ τῶν ὑπηκόων διατιθέντα προϊστάμενα, οἷα ἐν βραχεῖ τῆς ἀρχῆς πανόμενον. δίκαιον γὰρ τὴν ἐξουσίαν αὐτὴν καλοῦσιν οὐ τὴν καθόλου, ἀλλὰ πρὸς τὸ λυσιτελοῦν τοῖς πράγμασιν ἐπὶ χρόνον βραχὺν διδομένην, ὥστε λόγῳ καὶ μόνῳ διορθωθέντων τῶν μὴ καθεστηκότων τὸ λοιπὸν τὸν προαγόμενον εἰς τὴν προτέραν τύχην ἀναστρέφειν. ἅμα γὰρ τὰ πεπονηκότα ἐθεράπευσεν ὁ δικτάτωρ, ἅμα τῆς ἀρχῆς ἀπεπαύσατο.

37. *Χειροτονοῦσι τοίνυν δικτάτωρα πρῶτον οἱ Ῥωμαῖοι Τίτον Μάρκιον, ὃς ἅμα τῆς ἀρχῆς ἐπελάβετο, δύο ὑπάτους προεστήσατο. οὐ μὴν χρόνον ὥρισε καθ' ὃν ἂν χειροτονοῖντο οἱ ὕπατοι· νεώτερον γάρ ἐστι τὸ κατὰ τὸν Ἰανουάριον μῆνα προϊέναι τὸν ὕπατον. ἐνιαυτῷ δὲ μόνῳ τὴν ὕπατον ἐπίστευσε τιμήν, παντοχοῦ Ῥωμαίων ταῖς ἐναλλαγαῖς χαιρόντων. πάντα δὲ τὰ τῆς*

3 post *Ταρκυνίοις* omisi, quod ex postremis syllabis male iteratis enatum erat, *κοινοῖς*. 4 *διασπαθιζομένοις* C. 7 *περιγραφομένῳ* C. 10 an *πράγματα*? 11 *δικτατοῦραν*?

quem dictatorem vocant, creari, quia non bona multorum dominatio. duplici itaque cura angebantur, et regum nomen metuentes, ne opinione citius aut in Tarquinios iterum inciderent, aut a multis nec concordibus magistratibus dilacerarentur. quare visum iis, ut diximus, dictatorem (id est interregem) creare, cuius imperium sex tantum mensibus circumscriberetur. atque hoc loco consentaneum mihi videtur Graecis dictatoris nomen interpretari. patrio sermone igitur ita vocant Romani eum qui singularem potestatem ad tempus tenet, neque, dum praeest rei publicae, scriptis eam legibus ordinat, quippe brevi imperium positurus. instam enim illi potestatem vocant non omnem, sed pro rei publicae utilitate ad breve tempus datam; ut hac in integrum consilio tantum restituta, deinceps is, cui data sit, ad priorem condicionem revertatur. etenim simul ac laborantem rei publicae partem sanasset, dictator imperium ponebat.

37. Primum igitur dictatorem creant Romani T. Marcium, qui simul atque imperium capessivit, duos consules nominavit. neque tamen tempus constituit quo eligerentur consules: nam ut mense Ianuario crearetur consul, posterius institutum. annum vero amplius consulatui non concessit, mutationibus ubique gaudentibus Romanis. omnia autem re-

βασιλείας σύμβολα παρῆν τῷ δικτάτορι στεφάνου χωρίς, οἵ τε δυοκαίδεκα πελέκεις, πορφύρα καὶ σέλλα καὶ δόρατα, καὶ ὅσοις ἐπισήμοις οἱ ῥῆγες ἐγνωρίζοντο. ἱππάρχην τε πρῶτον Σπούριον Κάσιον ὕπαρχον ἑαυτῷ προεβάλετο, καθάπερ Ῥωμύλος τὸν Κελέριον τριβοῦνον τῶν ἱππέων. ἠγοῦντο δὲ αὐτῷ ῥάβδοι ἐπιμήκεις, λοφιῶν χωρίς· ὅπερ ἔτι καὶ νῦν ἔθος, καίπερ ἠγνοημένον, φυλάττεται· κινουμένοις γὰρ τοῖς τῶν ἱππέων στρατηγοῖς οὐκέτι μὲν ῥάβδοι ἡγοῦνται αὐτῶν ὡς τὸ πάλαι, ἐξόπισθεν δὲ δορυφόρος εἷς ῥάβδους ἐπιμήκεις καθ' ὁμαλοῦ συνδήσας εἴωθεν ἐπιφέρεσθαι, οὐδὲ αὐτὸς εἰδὼς τὴν αἰτίαν τῆς φορᾶς, μόνῃ δὲ συνηθείᾳ ἀκολουθῶν. πασῶν δὲ τῶν ἀρχῶν τῆς πολιτείας ὁ ἵππαρχος ἐκράτει. καὶ οὐκ ἦν ἐφιτόν τινι αὐτοῦ δικάζοντος ἐπὶ ἔφεσιν χωρεῖν. πλέον δὲ ἓξ μηνῶν οὐδεὶς τῶν δικτατώρων τοῦ κράτους τῆς μοναρχίας ἀντελάβετο, ἀλλὰ καὶ πολλῷ ἔλαττον, καὶ ἐπὶ μίαν μόνην ἡμέραν. καὶ χαλεπὸν οὐδὲν αὐτῶν τῶν δικτατώρων ἐπιμνησθῆναι, καὶ ὅσοι γεγόνασι καὶ ἐπὶ πόσον χρόνον.

38. Πρῶτος δικτάτωρ Τίτος Μάρκιος, ὁ τοὺς πρώτους ὑπάτους Τίτον καὶ Βαλέριον αὖθις προαγαγών. στάσεως δὲ γενομένης καὶ τῶν ὑπάτων ἀναχωρησάντων, ὁ δικτάτωρ ἑτέρους ἀντ' ἐκείνων προεβάλετο καλάνδαις Σεπτεμβρίαις. τῷ ἑπτακαιδεκάτῳ ἔτει τῶν ὑπάτων, στάσεως γενομένης οὐ μικρᾶς τῇ τε γερουσίᾳ τῷ τε δήμῳ, δύο τὸ πλῆθος προεχειρίσατο δημάρχους,

8 ῥαβδοῦχοι F. ἠγοῦντο vulgo. 9 ῥαβδούχους C. ὁμαλοὺς vulgo. 12 ἐφιτὸν recurrit 1 47. F. utrobique malim θεμιτόν.

giae potestatis insignia, praeter coronam, aderant dictatori, duodecim secures, purpura, sella, lanceae, et quaecunque regum insignia fuerant. idem primum magistrum equitum, Sp. Cassium, ministrum sibi elegit, sicuti Romulus Celerem equitum tribunum. praeferebantur autem huic, praeter iubas, fasces longi; qui mos hodieque, quamvis ignoratus, servatur: proficiscentibus enim equitum ducibus non amplius quidem lictores, ut olim, praecunt, sed a tergo armatus unus longarum virgarum fascem ferre solet, ne ipse quidem causam, cur ferat, scius, tantumque consuetudinem sequens. omnium vero civitatis magistratuum princeps erat magister equitum, neque cuiquam eo iudice ad appellationem progredi licebat. amplius sex menses nemo dictatorum singulare imperium tenuit; at fuit et multo brevius et unius tantum diei. ac nihil impedit quominus ipsos dictatores, et quot quamdiuque fuerint, commemoremus.

38. Primus dictator T. Marcius, qui primos consules, Titum et Valerium, denuo creavit. orta autem discordia cum consules abdicassent, dictator alios in eorum locum calendis septembribus nominavit. decimo septimo a consulatu anno, non parvo dissidio senatum inter plebemque coorto, plebs duos tribunos creavit, qui plebeiis ius dice-

ὥστε αὐτοὺς διαιτᾶν τοῖς δημόταις καὶ τὴν ἀγορὰν ἐπισκέπτεσθαι· οἳ πρὸς ἀλαζονείαν ἀρθέντες οὐκ ἠρυθρίων καὶ αὐτῶν τῶν πατρικίων καταψηφίζεσθαι. τῷ δὲ εἰκοστῷ τρίτῳ τῶν ὑπάτων ἔτει εἰς τρεῖς μοίρας τὰ τῆς ἀρχῆς διῃρέθη, εἰς τοὺς ὑπάτους, εἰς τὸν τῆς πόλεως ὕπαρχον καὶ τὸν δῆμον· καὶ οἱ μὲν ὕπατοι διῴκουν τοὺς πολέμους, ὁ δὲ δῆμος ἐστρατεύετο, ὅ γε μὴν ὕπαρχος τὴν πόλιν ἐφύλαττε, custos urbis προσαγορευόμενος ὡσανεὶ φύλαξ τῆς πόλεως. τῷ δὲ ὀγδόῳ καὶ εἰκοστῷ τῶν ὑπάτων ἔτει, διαφερομένων τοῦ δήμου καὶ τῆς βουλῆς, Αὖλος Σεμπρώνιος προσηγορεύθη δικτάτωρ, ὃς ἐκ μὲν τῆς βουλῆς Γάϊον Ἰούλιον ἐκ δὲ τοῦ δήμου Κόϊντον Φάβιον χειροτονήσας ὑπάτους ἀπέθετο τὴν δικτατοῦραν. αὖθις ἐπὶ τοῦ τεσσαρακοστοῦ καὶ ὀγδόου τῶν ὑπάτων ἔτους προεβλήθη δικτάτωρ Γάϊος Μάμερκος. τοῦ δὲ δήμου παλινστατοῦντος προεβλήθησαν χιλίαρχοι τρεῖς· ὧν σαλευόντων τὰ πράγματα ἀνηγορεύθη δικτάτωρ Τίτος Κύντιος, ὃς ἐν μόναις τρισὶ καὶ δέκα ἡμέραις κατεννασθείσης τῆς στάσεως ἀπέθετο τὴν ἀρχήν. τῷ δὲ ἑβδομηκοστῷ τετάρτῳ τῶν ὑπάτων ἐνιαυτῷ, τῶν Τυρρηνῶν ταραττόντων τὰ πράγματα, διὰ τὸ μέγεθος τοῦ πολέμου ἀνηγορεύθη δικτάτωρ Μάρκος Αἰμίλιος· μεθ' ὃν Πούπλιος, ὃς ἐν ἓξ καὶ δέκα μόναις ἡμέραις τὸν πρὸς τοὺς Τυρρηνοὺς διοικήσας πόλεμον ἀπέθετο. αὖθις δὲ τοῦ δήμου προστησαμένου χιλιάρχους καὶ τῆς βουλῆς ἀνθισταμένης ἀνηγορεύθη δικτάτωρ Κόϊντος, ὃς ἐν ὀκτὼ ἡμέραις διαλλάξας τὴν πόλιν ἀπεπαύσατο·

9 λύλος C. 11 κόϊνθον vulgo, et infra κόϊνθος. 18 τοῦ μεγέθους vulgo. 19 μέσον C, uti et alibi. F.

rent foroque praecessent; qui ad arrogantiam provecti ipsos patricios condemnare non erubuere. anno autem a consulatu vigesimo tertio trifariam imperium divisum est, inter consules, praefectum urbi et plebem; et consules quidem bella administrabant, plebs militabat, praefectus vero urbem custodiebat dicebaturque custos urbis. vigesimo autem octavo a consulatu anno, plebe a senatu dissentiente, dictator dictus est A. Sempronius, qui cum e senatu C. Iulium, e plebe Q. Fabium consules nominasset, dictaturam deposuit. rursus anno a consulatu quadragesimo octavo dictator creatus est C. Mamercus. plebe vero iterum ... tribuni militum tres creati sunt; qui cum rem publicam agitarent, dictator dictus est T. Quintius, qui intra tredecim tantum dies sedato dissidio imperium posuit. anno autem a consulatu septuagesimo quarto, Tyrrhenis rem publicam perturbantibus, propter belli magnitudinem dictator creatus est M. Aemilius, et post eum Publius, qui intra sedecim tantum dies, cum bellum contra Tyrrhenos administrasset, abdicavit. rursus a plebe creatis tribunis, et senatu obnitente, dictator dictus est Quintus, qui intra octo dies reconciliata civitate abdicavit.

μεθ' ὃν Πούπλιος Κορνήλιος Κόσσος· μεθ' ὃν Κύντιος. ἀπὸ δὲ τοῦ ἑκατοστοῦ τριακοστοῦ ἕκτου τῶν ὑπάτων ἐνιαυτοῦ, τρίτης καὶ ἑκατοστῆς ὀλυμπιάδος ἐνισταμένης, ἄναρχος ἡ πόλις διετέλει ἐπὶ πενταετῆ χρόνον. αὖθις δὲ προαχθέντων ὑπάτων προεβλήθησαν ἐκ τῶν πατρικίων ἀγορανόμοι τέσσαρες καὶ ταμίαι δύο, καὶ πραίτωρ οἱονεὶ στρατηγός, λεγάτοι οἱονεὶ ὑποστράτηγοι, καὶ δυοκαίδεκα χιλίαρχοι, διὰ τὸ προσδοκᾶσθαι Ἀλέξανδρον τὸν Μακεδόνα κατὰ Ῥωμαίων στρατεύειν. ταραχθέντες δὲ οἱ Ῥωμαῖοι Παπίριον μὲν Κούρσορα στρατηγὸν ὑπαντῆσαι Ἀλεξάνδρῳ ἐψηφίσαντο, καὶ προεβάλοντο οἰωνοσκόπους καὶ ἱεροσκόπους· σαφὴς δὲ προσδοκία ἦττης τοῖς ἐν καιρῷ πολέμου πρὸς λιτὰς καταφεύγουσιν. ἐπὶ δὲ τοῦ τρίτου καὶ ἑξηκοστοῦ καὶ διακοσιοστοῦ ἐνιαυτοῦ πραίτωρ ἕτερος προεχειρίσθη, ὁ λεγόμενος οὐρβανὸς ἀντὶ τοῦ πολιτικός, καὶ ὁ λεγόμενος περεγρῖνος οἱονεὶ ξενοδόκης· τοῦ δὲ δήμου εἰς μέρη μὲν τέσσαρα εἰς πέντε δὲ καὶ τριάκοντα φυλὰς διῃρημένου, τοῖς μνημονευθεῖσι τρεῖς ἕτεροι προσετέθησαν πραίτωρες. τῷ δὲ ἐνενηκοστῷ τῶν ὑπάτων ἐνιαυτῷ, Ἀννίβου ἐνσκήψαντος τῇ Ἰταλίᾳ, διὰ τὸν ὄγκον τοῦ πολέμου οὐ μόνον δικτάτωρ ἀλλὰ καὶ ἀντιδικτάτωρ, ἱππάρχης τε καὶ ἀνθιππάρχης προεχειρίσθησαν, ὥστε θάτερον τῇ θατέρου γνώμῃ ἑπόμενον μὴ ἐκ μονήρους αὐθεντίας βλάβην ἐπενεγκεῖν τῇ πολιτείᾳ. τούτων καὶ μόνων τῶν δικτατώρων ἤτοι μεσοβασιλέων μνήμην ἀναφέρει ἡ Ῥω-

1 ἀπὸ F, ἐπὶ C. 5 πατρίων C. 11 ἥττας C. 17 patet aliquid excidisse. F. 18 δικτάτορα et ἀντιδικτάτορα C.

hunc secutus P. Cornelius Cossus, quem T. Quintius. ab anno autem a consulatu centesimo tricesimo sexto, qui est Olympiadis centesimae tertiae primus, quinquennium principe caruit civitas. postquam vero iterum consules creati, e patriciis quattuor aediles duoque quaestores et praetor (id est dux), legati (id est inferioris ordinis duces) et duodecim tribuni electi sunt, quia Alexander Macedo bellum illaturus Romanis putabatur. conturbati autem Romani, ut Papirius Cursor obviam imperator Alexandro iret, decrevere, auguresque et pontifices creaverunt. aperte autem cladem exspectant, qui tempore belli ad preces confugiunt. anno autem ducentesimo sexagesimo tertio praetor alius, quem urbanum, alius etiam, quem peregrinum, id est peregrinos recipientem, vocant, creati sunt. postquam vero populus quattuor in partes et triginta quinque in tribus divisus est, memoratis praetoribus alii tres adiuncti. anno autem a consulatu nonagesimo, cum Hannibal Italiam invasisset, propter belli molem non tantum dictatorem sed et prodictatorem, nec non magistro equitum vicarium creavere, ut, altero alterius sequente consilium, nullum rei publicae e singulari potestate malum existeret. hos solos dictatores commemorat Romanorum historia:

μαϊκὴ ἱστορία. μετὰ δὲ τούτους Γάϊος Ἰούλιος Καῖσαρ κατὰ τῆς συγκλήτου καὶ Πομπηΐου τὸν ὀλέθριον τοῖς πράγμασιν ἀναζωσάμενος πόλεμον, αὐτὸς ἑαυτὸν μόναρχον ἀπέδειξε, Λεπίδῳ ἱππάρχῃ χρησάμενος.

39. Ὁ δῆμος ἀνέκαθεν καὶ σύμπαν ἁπλῶς τὸ πολίτευμα ἐστρατεύετο, καὶ αὐτῶν τῶν ἱερέων τοῖς πολεμίοις ἐπεξιόντων· καὶ πάντες ἀπέτρεφον ἑαυτούς. ἐδέησε τοίνυν Ῥωμαίοις προβαλέσθαι τοὺς λεγομένους παρ' αὐτοῖς κήνσωρας, οἳ τὰς τῶν πολιτῶν οὐσίας ἀπεγράφοντο, διὰ τὰς ἐν πολέμῳ δαπάνας· οὔπω γάρ, ὡς νῦν, τὸ δημόσιον ἐχορήγει τοῖς στρατιώταις, οἷα οὐκ ὄντων αὐτοῖς τέως ὑποτελῶν. ὅθεν τοὺς κήνσωρας Ἕλληνες τιμητὰς καθ' ἑρμηνείαν ἐκάλεσαν.

40. Τότε Τίνιος ὁ Ῥωμαῖος κωμικὸς μῦθον ἐπεδείξατο ἐν τῇ Ῥώμῃ. ὁ δὲ μῦθος τέμνεται εἰς δύο, εἰς κρηπιδάταν καὶ πραιτεξτάταν, ὧν ἡ μὲν κρηπιδάτα Ἑλληνικὰς ἔχει ὑποθέσεις ἡ δὲ πραιτεξτάτα Ῥωμαϊκάς. ἡ μέντοι κωμῳδία τέμνεται εἰς ἑπτά, εἰς παλλιάταν τογάταν Ἀτελλάνην ταβερναρίαν Ῥινθωνικὴν πλανιπεδαρίαν καὶ μιμικήν· καὶ παλλιάτα μέν ἐστιν ἡ Ἑλληνικὴν ὑπόθεσιν ἔχουσα κωμῳδία, τογάτα δὲ ἡ Ῥωμαϊκὴν ἀρχαίαν· Ἀτελλάνη δέ ἐστιν ἡ τῶν λεγομένων ἐξοδιαρίων, ταβερναρία δὲ ἡ σκηνωτὴ ἢ θεατρικὴ κωμῳδία, Ῥινθωνικὴ ἡ ἐξωτική, πλανιπεδαρία

9 δαπάνας vulgo post ἐχορήγει 11 ὄντος C. 13 Τιτίνιος F, Λίβιος Reuvens Collectan. literar. p. 20. 14 post δύο Reuvens εἰς τραγῳδίαν καὶ κωμῳδίαν, καὶ ἡ μὲν τραγῳδία. κρηπιδώτην καὶ πρετέξαντα C. 15 κρηπιδώτη C. 16 πρετέξατα C.

post eos vero C. Iulius Caesar, suscepto contra senatum Pompeiumque exitiali rei publicae bello, ipse se solum principem constituit, Lepido usus magistro equitum.

39. Initio populus ac tota omnino civitas militabat, vel ipsis sacerdotibus in hostem euntibus; omnesque se ipsi sustentabant. itaque necesse fuit Romanis, quos censores ipsi vocant, creare, qui facultates civium perscribebant propter belli sumptus; necdum enim e publico eos, ut nunc, militibus praebebant, quippe quibus nulli tum vectigales essent. inde censores Graeci τιμητάς (aestimatores) dixerunt.

40. Illo tempore Tinius Romanus comicus fabulam Romae dedit. dividitur autem fabula bifariam, in crepidatam et praetextatam; habetque crepidata Graecum, praetextata Romanum argumentum. comoedia vero in septem genera dividitur, in palliatam, togatam, Atellanam, tabernariam, Rhinthonicam, planipedariam et mimicam; et palliata quidem est, quae Graecum, togata, quae vetus Romanum argumentum habet: Atellana illorum est quos exodiarios vocant; tabernaria est scenica sive theatralis, Rhinthonica alienigena, planipedaria ..., mimica ea quae

ἡ καταστολαρία, μιμικὴ ἡ νῦν δὴθεν μόνη σωζομένη, τεχνικὸν μὲν ἔχουσα οὐδέν, λόγῳ μόνον τὸ πλῆθος ἐπάγουσα γέλωτι.

41. Ὅτι δὲ ἀναγκαῖον οἶμαι ἐμβραδῦναι τῷ λόγῳ, προσθήσω καὶ τοῦτο. Ῥίνθωνα καὶ Ἀσκήραν καὶ Βλέσον καὶ τοὺς ἄλλους τῶν Πυθαγόρων ἴσμεν οὐ μικρῶν διδαγμάτων ἐπὶ τῆς μεγάλης Ἑλλάδος γενέσθαι καθηγητάς, καὶ διαφερόντως τὸν Ῥίνθωνα, ὃς ἑξαμέτροις ἔγραψε πρῶτος κωμῳδίαν· ἐξ οὗ πρῶτος λαβὼν τὰς ἀφορμὰς Λουκίλιος ὁ Ῥωμαῖος ἡρωϊκοῖς ἔπεσιν ἐκωμῴδησε. μεθ' ὃν καὶ τοὺς μετ' αὐτόν, οὓς καλοῦσι Ῥωμαῖοι σατυρικούς, οἱ νεώτεροι τὸν Κρατῖνον καὶ Εὐπόλιδος χαρακτῆρα ζηλώσαντες, τοῖς μὲν Ῥίνθωνος μέτροις τοῖς δὲ τῶν μνημονευθέντων διασυρμοῖς χρησάμενοι, τὴν σατυρικὴν ἐκράτυναν κωμῳδίαν, Ὁράτιος μὲν οὐκ ἔξω τῆς τέχνης χωρῶν, Πέρσιος δὲ τὸν ποιητὴν Σώφρονα μιμήσασθαι θέλων τὸ Λυκόφρονος παρῆλθεν ἀμαυρόν· Τοῦρνος δὲ καὶ Ἰουβενάλιος καὶ Πετρώνιος, αὐτόθεν ταῖς λοιδορίαις ἐπεξελθόντες, τὸν σατυρικὸν νόμον παρέτρωσαν. καὶ ταῦτα μὲν περὶ τῆς ἀρχαίας κωμῳδίας τε καὶ τραγῳδίας.

42. Τῆς δὲ τύχης τὰ Ῥωμαίων εἰς ὕψος ἀναφερούσης ἠκολούθησαν εἰκότως καὶ παίσματα, καὶ διαφερόντως ἀσωτία, ὥστε μετὰ τῶν δυόδεκα δέλτων καὶ τὸν περὶ ἀσωτίας νόμον, παρὰ Κορινθίων πάλαι τεθέντα, γράψαι Ῥωμαίους. τίτλος δὲ ἦτοι

1 καταστολαρία quid sit, nescio. F. convenire eam riciniatis apud Festum mimis docebat Reuvens. 2 οὐδὲν λόγῳ, μόνον δὲ τὸ Osannus Analect. crit. p. 78. 4 Σκίραν καὶ Βλαῖσον καὶ τοὺς ἄλλους τῶν φλυακογράφων Reuvens. 5 οὐ μικρῶν] κωμικῶν Adolphus Langius (Schriften und Reden p. 99). 15 Τοῦρνος corruptum putat F, tuetur Reuvens. 20 τὸν δυοδεκάδελτον F. νόμον F, μόνον C.

nunc sola restat comoedia, artificiosi nil habens, sermone tantum risum movens multitudini.

41. Quoniam vero in argumento immorandum existimo, hoc etiam addam. Rhinthonem Asceram et Blesum aliosque Pythagoreorum constat egregiarum disciplinarum in magna Graecia auctores fuisse, ac praecipue Rhinthonem, qui primus hexametris comoediam scripsit; quem primus imitatus Lucilius Romanus heroicis versibus comoedias composuit. post hunc et qui eum secuti, quos satyricos Romani vocant, recentiores, Cratini et Eupolidis aemuli characteris, Rhinthonis metro et memoratorum dicacitate usi, satyricam comoediam firmarunt: et Horatius quidem ab arte non aberravit, Persius autem, Sophronem poetam imitari cupiens, Lycophronis caliginem superavit; Turnus, Iuvenalis et Petronius, continuo conviciis irruentes, satyrici carminis legem violarunt. haec de vetere comoedia tragoediaque.

42. Fortuna autem extollente rem Romanam, secuta, ut fieri amat, vitia sunt, ac praesertim luxuria, ut praeter duodecim tabulas legem quoque de luxuria, a Corinthiis olim latam, scripserint Romani. cuius

προγραφὴ τῷ νόμῳ de nepotibus· οἱονεὶ ἡ σημασία τοῦ ὀνόματος τουτέστι παρὰ Ῥωμαίοις (νέπωτας γὰρ καὶ τοὺς ἐγγόνους καὶ τοὺς ἀσώτους ὁμωνύμως καλοῦσιν), ἤρεσεν ἐμοὶ διὰ βραχέων τὴν διαφορὰν εἰπεῖν. νέπως (ὁ νέος παῖς) ἐξ Ἑλληνικῆς ἐτυμολογίας ὁ ἔγγονος λέγεται, ὡς καλῶς ὁ Φιλόξενος εἶπεν. νέπως δὲ καὶ ὁ ἄσωτος, ὅπερ καὶ αὐτὸς τροπικῶς, καὶ κατὰ θεωρίαν τάχα τοῖς Ἕλλησι παραχωρητέον, ὅτι τὸν σκορπίον οἱ Ῥωμαῖοι πατρίῳ νέπαν καλοῦσιν οἱονεὶ ἄποδα, κατὰ στέρησιν (τὴν γὰρ νῆ συλλαβὴν στερητικῷ τρόπῳ λαμβάνουσι Ῥωμαῖοι, ὥσπερ Ἕλληνες νήλιπος, νήχυτος, νήγρετος, νήδυμος), ἐκ τοῦ κατὰ φύσιν συμβαίνοντος τῷ θηρίῳ. ὥρᾳ γὰρ χειμῶνος καὶ αὐτὸς εἰκότως ὁ σκορπίος τῇ γῇ, καθάπερ καὶ τὰ ἄλλα τῶν ἑρπετῶν, ὑπονεκρωθεὶς κεῖται, μηδὲν ἕτερον παρ' αὐτὴν ἐσθίων. ἡνίκα οὖν πᾶσαν τὴν περὶ ἑαυτὸν ἐδώδιμον γῆν ἑαυτῷ δαπανήσῃ, τῶν ἰδίων καθάπτεται πλεκτανῶν καὶ πάσας αὐτὰς ἀνεπαισθήτως καταναλίσκει. ἤρος δὲ ἀναπαλοῦντος αὐτὸν μετὰ τῶν ἄλλων εἰς φῶς νόμῳ τῆς φύσεως ἀναποδοῦται, καὶ πρὸς καλαμίνθην τὸ φυτὸν ἐρχόμενος μόνῃ τῇ ἁφῇ τῆς βοτάνης ἀναλαμβάνει τὸ δριμὺ καὶ στεγανοῦται, καθάπερ ὄφις τῇ μαράθῳ· ὅθεν καὶ νέπεταν τὴν καλαμίνθην Ῥωμαῖοι καλοῦσιν. ταύτῃ σκορπιστὰς νεώτας ἀποκαλοῦσιν αὐτοί, οἷα τῶν ἰδίων μελῶν διαφθορεῖς. τοιαῦτα μέν τινα παρατραπεὶς τοῦ σκοποῦ εἴποιμ' ἂν περὶ τούτων.

1 οἱονεὶ — τουτέστι] sententia haec fere postulat: ἐπεὶ δ' οὐχ ἁπλῆ (vel οὐ μία) ἡ σημασία τοῦ ὀνόματος τούτου ἐστί. 4 ὁ] οἱονεί? 5 ὡς] vulgo καὶ. 10 νήλυπος vulgo. 11 ὥρᾳ] σαῦρα vulgo. 20 σκορπίους τοὺς ἀσώτους F. fuit cum τοὺς σκορπιστὰς νέπωτας mallem.

legis titulus sive inscriptio est *de nepotibus*: ita scilicet Romani luxuriosos appellant: nepotes enim et ἐγγόνους et ἀσώτους (luxuriosos) pariter vocant. nobis differentiam paucis explicare visum est. nepos ὁ ἔγγονος a graeco etymo dicitur quasi νέος παῖς (iuvenis puer); quod recte dixit Philoxenus. nepos vero et luxuriosus, isque tropice dicitur (videtur enim in investigatione Graecis assentiendum), quoniam scorpium Romani patrio sermone nepam, id est pedibus carentem, syllaba privativa (ne enim privativo utuntur Romani, quemadmodum Graeci in νήλιπος, νήχυτος, νήγρετος, νήδυμος) vocant, ex eo quod natura huic animanti accidit. hieme enim, ut cetera reptilia, sic et ipse scorpius sub terra torpens iacet, nil praeter eam edens. ubi igitur circum se omnem esculentam sibi terram consumpsit, cirros suos aggreditur, omnesque sine sensu depascit. vere autem cum ceteris naturae lege in lucem revocatus pedes recipit; progressusque ad calamintham plantam solo tactu acre eius trahit, adstringiturque, quemadmodum serpens marathro; unde etiam nepetam Romani calamintham dicunt. scorpios itaque illi luxuriosos vocant, utpote membra sua consumentes. talia quaedam, a proposito aberrantes, de his dicenda habebamus.

43. *Βαρεῖς δέ τινες καὶ ἀναιδεῖς ἀστεμφεῖς τε καὶ στιβαροὶ τὸν τρόπον οἱ κήνσωρες τοῖς ἀσώτοις ἐτύγχανον, μὴ τύχης, μὴ ἀξιώματος ἐξαιρουμένου τὸν αἴτιον. ὅτι δὲ ἀληθῆ ταῦτα, μάρτυς ἡ ἱστορία. λέγει δὲ οὕτως. πρῶτος Ἄππιος Κλαύδιος κήνσωρ προεβλήθη. ἀρχὴ δὲ ἦν αὕτη τῶν μεγίστων, καὶ ἔργον ἦν αὐτοῖς τοὺς τῶν πολιτῶν διερευνᾶσθαί τε καὶ κρίνειν βίους, τιμωρίας τε ἐπάγειν τοῖς ἁμαρτάνουσι κατὰ πάσης δυναστείας· καὶ οὐδεὶς ἦν ἔξω τῆς τοῦ κήνσωρος ἐξουσίας. κύριοι δὲ ἦσαν οἱ κήνσωρες καὶ ἔργοις κοινοῖς κατακοσμεῖν τὴν πόλιν.*

44. *Οὕτως οὖν τῶν τιμητῶν ἐκταραττόντων τοὺς ὑπηκόους καὶ πικρότερον ἐπιξιόντων τοῖς πολίταις, καὶ διαφερόντως ἀδυσωπήτως διακειμένων τῶν δανειστῶν περὶ τοὺς χρήστας, ἐχειροτόνησεν ὁ δῆμος δύο δημάρχους ἑαυτῷ, Γάϊον Λικίνιον καὶ Λούκιον Ἄλβῖνον, διαιτήσοντας τῷ πλήθει καὶ τὴν ἀγορὰν ἐποψομένους. αὐτοὶ δὲ οἱ δήμαρχοι μαχαίρας διεζώνννυντο, δημοσίους δὲ οἰκέτας πρὸς ὑπηρεσίαν εἶχον, οὓς ἐκάλουν βερνάκλους· σημαίνει δὲ τοὔνομα τοὺς οἰκογενεῖς οἰκέτας. ἐφ' ὧν τὸ μέτριον ὁ δῆμος ἐκβὰς καὶ αὐτοὺς τοὺς εὐπατρίδας καλεῖσθαι πρὸς τῶν βαναύσων εἰς δίκην ἐνομοθέτησεν, ὥστε τὸν ὕπατον πρὸς θεραπείαν τοῦ πλήθους νόμον ἐνεγκεῖν, μὴ ἐξεῖναι τοῖς ἄρχουσι δίχα ψήφου τοῦ δημάρχου τιμωρεῖσθαι πολίτην.*

45. *Εἶτα αὖθις διαφερομένων τῶν λογάδων πρὸς τὸ πλῆθος, ψήφῳ κοινῇ τοὺς μὲν ὑπάτους ἀπεκίνησαν, δέκα δὲ νομοθέτας τὴν διάσκεψιν τῶν κοινῶν ἐπέτρεψαν. ἀπὸ δὲ τοῦ ἑξηκο-*

43. Graves autem atque impudentes immotosque et duros censores se luxuriosis praebebant, neque fortuna neque dignitate noxium tuente. quae vera esse his verbis historia testatur. primus App. Claudius censor creatus est. erat autem unus de maximis hic magistratus, munusque eius inquirere et iudicare civium mores, data omni peccantes puniendi potestate; cui nemo non erat obnoxius. erat vero etiam penes censores publicis operibus civitatem ornare.

44. Tali igitur modo cum populum terrerent censores, acerbiusque in cives animadverterent, ac praecipue feneratores immites sese debitoribus praeberent, plebs duos sibi tribunos, C. Licinium et L. Albinum, creavit, qui ius dicerent multitudini foroque praecessent. hi tribuni gladios gerebant, utebanturque ministerio servorum publicorum, quos vernaculos vocabant (significat autem vox servos domi natos). qua in re modum excedens plebs, ut ipsi patricii a sordido vulgo in ius vocarentur, lege sanxit; unde consul, quo gratificaretur multitudini, legem tulit ne liceret magistratibus sine tribuni suffragio civem plectere.

45. Deinde, cum iterum a plebe primores dissentirent, communi suffragio amotis consulibus, decem legislatoribus curam rei publicae mandarunt. ab anno autem a consulatu sexagesimo per annos quinqua-

στοῦ ἔτους τῶν ὑπάτων ἐπὶ πεντήκοντα ἐνιαυτούς, ποτὲ μὲν χιλιάρχων ποτὲ δὲ μισοβασιλέων προβαλλομένων, ἐθορυβεῖτο τὰ πράγματα. τότε σιτηρέσιον τὸ δημόσιον πρῶτον τοῖς στρατιώταις ἐπιδέδωκεν ὡρισμένον, τὸ πρὶν ἑαυτοὺς ἀποτρέφουσιν ἐν πολέμῳ. ἔνθεν ἀναρχίαν ἐδυστύχησε τὸ πολίτευμα ἐπὶ πενταετῆ χρόνον· καὶ πάλιν ὕπατοι, εἶτα ἀγορανόμοι τέσσαρες ἐκ τῶν πατρικίων καὶ ταμίαι δύο καὶ πραίτωρ ἕτερος· καὶ πάλιν ὁ δῆμος προεχειρίσατο πέντε μὲν οἰωνοσκόπους τέσσαρας δὲ ἱεροφάντας. ἐπὶ δὲ τοῦ τρίτου καὶ ἑξηκοστοῦ καὶ διακοσιοστοῦ τῶν ὑπάτων ἔτους ἕτερος προεβλήθη πραίτωρ, ὥστε τοῖς ξένοις διαιτᾶν. τὸν δ' ἐνιαυτὸν οἱ πραίτωρες ἐπὶ τῆς ἀρχῆς οὐ παρέβαινον. ἄχρι δὲ Καίσαρος ὕπατοι μὲν τὰ τῶν πολέμων, τὰ δὲ κατ' οἶκον οἱ πολιτικοὶ διῴκησαν ἄρχοντες.

46. Τῷ πέμπτῳ καὶ ἑξηκοστῷ καὶ τριακοσιοστῷ τῆς πόλεως ἔτει, Λουκίου Γενουκίου καὶ Κοΐντου Σερβιλίου ὑπάτων, πολεμούντων Βηΐοις τοῖς γείτοσι τῶν Ῥωμαίων, ἀνάγκη γέγονε μὴ διαθερίσαι μόνον ἀλλὰ μὴν καὶ διαχειμάσαι αὐτοῖς παρὰ τοῖς πολεμίοις. τότε πρῶτον διωρίσθη τοῖς στρατιώταις παρασχεῖν τὸ δημόσιον καὶ ὑπὲρ ἵππου δαπάνης τὰ λεγόμενα καπιτά· οὕτω δὲ τοὺς ἀπὸ ῥάβδων κοφίνους ἐκάλεσαν, ἀπὸ τοῦ κάπερε οἱονεὶ χωρεῖν. ἔνθεν ὑποκοριστικῶς τὰ λεγόμενα καπιτούλια πατρίως οἱ Ῥωμαῖοι ὀνομάζουσι. τοῦ δὲ δήμου ἀνέκαθεν στρατευομένου παντός, συνεῖδον ὡρισμένην καὶ εὐτρεπῆ συστήσασθαι βοήθειαν,

12 μὲν] C με, recentior manus μετήρχοντο. 15 vulgo Γενουκτίου et Κοΐνθου.

ginta, modo tribunis militaribus modo interregibus creatis, perturbata est res publica. tum primo militibus, qui antea de suo se in bello sustentaverant, certum stipendium e publico datum. deinde quinquennium afflictata civitas, principe carens; iterumque consules, ac deinceps quattuor aediles, duo censores alterque praetor e patriciis creati; rursusque plebs quinque augures et quattuor pontifices constituit. anno autem a consulatu ducentesimo sexagesimo tertio alter praetor creatus est, qui peregrinis ius diceret. annum praetores in magistratu non excedebant. ad Caesarem vero usque res bellicas consules, domesticas civiles magistratus administrarunt.

46. Anno urbis trecentesimo sexagesimo quinto, L. Genucio et Q. Servilio consulibus, Romanis adversus Veios vicinos bellum gerentibus necesse fuit non aestivare tantum, sed et hiemare apud hostes: tum primo statutum ut militibus etiam ad equum alendum, quae capita dicuntur (sic autem corbes vimineas vocabant a verbo *capere*, unde diminutiva voce capitulia patrio sermone Romani appellant), de publico praeberentur; cumque inde ab initio populus universus militasset, certas

σπείρας μὲν ἀπὸ τριακοσίων ἀσπιδιωτῶν, ἃς καλοῦσι κοόρτης, ἄλας δὲ (ἀντὶ τοῦ ἴλας) ἀπὸ ἑξακοσίων ἱππέων, βηξιλλατίωνας ἀπὸ πενταχοσίων τοξοτῶν ἱππέων, καὶ λεγιῶνας ἀπὸ ἑξακισχιλίων πεζῶν καὶ ῥητῶν ἱππέων. τομαὶ δὲ ταῖς λεγιῶσιν αὗται.

ἴλαι ἀπὸ χ' ἱππέων,
βηξιλλατίωνες ἀπὸ φ' ἱππέων,
τοῦρμαι ἀπὸ φ' τοξοτῶν ἱππέων,
λεγεῶνες ἀπὸ ἑξακισχιλίων πεζῶν.
τριβοῦνοι, δήμαρχοι.
ὀρδινάριοι, ταξίαρχοι.
σιγνηφέραι, σημειοφόροι.
ὀπτίωνες, αἱρετοὶ ἢ γραμματεῖς.
βηξιλλάριοι, δορυφόροι.
μήνσορες, προμέτραι.
τούβικες, σαλπισταὶ πεζῶν.
βουκινάτορες, σαλπισταὶ ἱππέων.
κόρνικες, κεραῦλαι.
ἀνδραβάται, κατάφρακτοι.
μητάτορες, χωρομέτραι.
ἀρκύτεις καὶ σαγιττάριοι, τοξόται καὶ βελοφόροι.
πραιτωριανοί, στρατηγικοί.
λαγκιάριοι, ἀκοντοβόλοι.
δεκέμπριμοι, δεκάπρωτοι.
βενεφικιάλιοι, οἱ ἐπὶ θεραπείᾳ τῶν βετεράνων τεταγμένοι.
τουρκουάτοι, στρεπτοφόροι, οἱ τοὺς μανιάκας φοροῦντες.
βραχιάτοι ἤτοι ἁρμιλλιγέροι, ψελιοφόροι.
ἁρμιγέρροι, ὁπλοφόροι.
μουνεράριοι, λειτουργοί.
δηπουτάτοι, ἀφωρισμένοι.
αὐξιλιάριοι, ὑπασπισταί.

2 ἄλλας C. 5 εἶναι C, σπεῖραι F. 18 legendum suspicor ἀνδαβάται: quippe et hic errasse Lydus videtur. F. 24 μετεράνων C. 25 οἱ — φοροῦντες] in C haec referuntur ad βραχιάτοι, male utique; unde deinceps ψελιοφόροι ad ἁρμιγέρροι ἤτοι ἁρμιλλιγέροι, ὁπλοφόροι ad μουνεράριοι et λειτουργοί ad δεπουτάτοι ἀφωρισμένοι referuntur. F.

expeditasque copias constituere statuerunt, cohortes scilicet scutatorum trecentorum, alas (id est ἴλας) equitum sexcentorum, vexillationes equitum sagittariorum quingentorum, legiones sex milium peditum, addito certo equitum numero. partes autem legionum hae.

κουσπάτορες, φυλακισταί· κούπους γὰρ Ῥωμαῖοι τὰς ξυλοπέδας καλοῦσιν ὡσανεὶ κουστώδης ποδῶν, οἱονεὶ ποδοκάκας καὶ ποδοφύλακας.

ἱμαγινεφέρης, εἰκονοφόροι.

ἀχρεάτοι πεζοί, σιδήρῳ τὰς κνήμας περιπεφραγμένοι.

ἁρματοῦρα πρίμα, ὁπλομελέτη πρώτη.

ἁρματοῦρα σημισσάλια, ὁπλομελέτη μείζων.

ἀστάτοι, δορυφόροι.

τεσσεράριοι, οἱ τὰ σύμβολα ἐν τῷ καιρῷ τῆς συμβολῆς τῷ πλήθει περιφημίζοντες.

δρακονάριοι, δρακοντοφόροι.

ἀδιούτορες, ὑποβοηθοί.

σαμιάριοι, οἱ τῶν ὅπλων στιλπνωταί.

βαγινάριοι, θηκοποιοί.

ἀρκονάριοι, τοξοποιοί.

πιλάριοι, ἀκοντισταί.

βερουτάριοι, δισκοβόλοι.

φουνδίτορες, σφενδονῆται.

βαλλιστάριοι, καταπελτισταί· καταπέλτης δέ ἐστιν εἶδος ἑλεπόλεως, καλεῖται δὲ τῷ πλήθει ὕναγρος.

βινεάριοι, τειχομάχοι.

πριμοσκουτάριοι, ὑπερασπισταί, οἱ νῦν λεγόμενοι προτίκτορες.

πριμοσαγιττάριοι, τοξόται πρῶτοι.

κλιβανάριοι, ὁλοσίδηροι· κηλίβανα γὰρ οἱ Ῥωμαῖοι τὰ σιδηρᾶ καλύμματα καλοῦσιν, ἀντὶ τοῦ κηλάμινα.

φλαμουλάριοι, ὧν ἐπὶ τῆς ἄκρας τοῦ δόρατος φοινικᾶ ῥάκη ἐξήρτηντο.

ἐξπεδίτοι, εὔζωνοι, γυμνοί, ἕτοιμοι πρὸς μάχην.

φερεντάριοι, ἀκροβολισταί.

χιρκίτορες, οἱ περὶ τοὺς μαχομένους περιιόντες καὶ χορηγοῦντες ὅπλα, μήπω ἐπιστάμενοι μάχεσθαι.

ἀδωράτορες, βετερανοί, τίρωνες· περὶ ὧν εἰς πλάτος οἶμαι δεικτέον.

2 πεδῶν vulgo. 9 συμβουλῆς C. 26 vel κηλίμινα i incertum enim.

adoratores, veterani, tirones; de quibus prolixius explicandum esse censeo.

47. Ἀδωράτορας οἱ Ῥωμαῖοι τοὺς ἀπομάχους καλοῦσιν (ἀδωρέα γὰρ κατ' αὐτοὺς ἡ τοῦ πολέμου λέγεται δόξα, ἀπὸ τῆς ζείας καὶ τῆς τιμῆς τῶν ποτὲ τιμηθέντων αὐτοῖς), βετερανοὺς δὲ τοὺς ἐγγεγηρακότας τοῖς ὅπλοις (μάρτυρες Κέλσος τε καὶ Πάτερνος καὶ Κατιλίνας, οὐχ ὁ συνωμότης ἀλλ' ἕτερος, Κάτων πρὸ αὐτῶν ὁ πρῶτος καὶ Φροντῖνος, μεθ' οὓς καὶ Ῥενάτος, Ῥωμαῖοι πάντες, Ἑλλήνων δὲ Αἰλιανὸς καὶ Ἀρριανός, Αἰνείας, Ὀνόσανδρος, Πάτρων, Ἀπολλόδωρος ἐν τοῖς Πολιορκητικοῖς, μεθ' οὓς Ἰουλιανὸς ὁ βασιλεὺς ἐν τοῖς Μηχανικοῖς, ὧν ὁ Φροντῖνος ἐν τῷ de officiali, ἀντὶ τοῦ ἐν τῷ περὶ στρατηγίας, μνήμην ποιεῖται, καὶ Κλαυδιανὸς δὲ οὗτος ὁ Παφλαγών, ὁ ποιητής, ἐν τῷ πρώτῳ τῶν Στιλιχῶνος ἐγκωμίων), τίρωνας δὲ τοὺς ταπεινούς, ὁποίους εἶναι συμβαίνει καθ' ἡμᾶς τοὺς λεγομένους Τριβαλλούς· οὕτως δὲ τοὺς Βέσους Ἀρριανὸς ἐν τοῖς περὶ Ἀλεξάνδρου προσηγόρευσε. διὰ γὰρ πενίαν καὶ μόνην διδοῦσιν ἑαυτοὺς οἱ λεγόμενοι τίρωνες εἰς ὑπηρεσίαν τῶν ἀληθῶς στρατευομένων, οὐ μὴν ἄξιοι τέως στρατιῶται καλεῖσθαι ἢ ὅλως ἐν ἀριθμῷ [τέως] τετάχθαι διὰ [δὲ] τὸ πτωχὸν τῆς τύχης καὶ ἄπειρον τῆς μάχης. οὐδὲ γὰρ ἐφιτὸν ἦν ὑπὲρ πατρίδος εἰ μή γε τοὺς εὐπατρίδας ἀγωνίσασθαι. Διόδωρος γοῦν ἐν δευτέρᾳ Βιβλιοθηκῶν φησὶ Σόλωνα, ἐν Αἰγύπτῳ μα-

7 ὁ νησανδρος C. 9 Ἰουλιανὸς] nomen aperte depravatum, si vera sunt quae sequuntur. F. 10 legendum forte *de officio legati* (id est ducis). ceterum hic novo ac valido argumento constat Frontinum praeter stratagemata aliud de scientia militari opus scripsisse. cf. 3 3. F. 11 locum, quem Lydus respicere videtur, v. in carmine de cons. Mall. Theod. v. 181. F. 14 προηγόρευσε C. 15 δίδωσιν C. 18 v. ad 1 37.

47. Adoratores Romani emeritos milites vocant (adorea enim illorum sermone belli gloria dicitur, a farre et honore eorum quos quondam honoraverunt), veteranos autem, qui armis insenuere. testes sunt Celsus, Paternus, Catilina (non coniuratus ille, sed alius), ante illos Cato maior et Frontinus, post quos et Renatus, qui omnes Romani; e Graecis vero Aelianus, Arrianus, Aeneas, Onosander, Patron, Apollodorus in Poliorceticis, post quos Iulianus imperator in Mechanicis (quorum Frontinus mentionem facit in libro de scientia militari), nec non Claudianus ille Paphlagon, poeta, in libro primo de laudibus Stilichonis. tirones autem appellant humiles, quales nunc sunt qui Triballi vocantur (quo nomine Bessos Arrianus in iis quae de Alexandro scripsit appellavit). etenim solam propter egestatem, qui tirones vocantur, vere militantibus serviunt; neque vero milites iam appellandi sunt aut omnino aliquo in numero ponendi, tum propter fortunae humilitatem tum propter pugnandi inscitiam. neque enim pro patria pugnare cuiquam licebat nisi honesto genere nato. Diodorus quidem, in libro secundo Bibliothecae, ait Solonem hanc, quam in Aegypto didicisset, legem Athenien-

θόντα, νόμον Ἀθηναίοις γράψαι τοιοῦτον ὥστε εἰς τρεῖς μοίρας τὴν πολιτείαν διατάττεσθαι, εἰς εὐπατρίδας, οἳ περὶ σοφίαν καὶ λόγους ἐσχόλαζον, δευτέραν δὲ τὴν γεωργικὴν ἅμα καὶ πρόμαχον, τρίτην τὴν βάναυσον καὶ τεχνουργόν· τὴν δὲ μετὰ ταύτας ἄτιμον, ἐξ ἧς οἱ δῆθεν χρειωδέστεροι ἐν τοῖς γεωργικοῖς ἅμα καὶ μαχίμοις προσήδρευον, δουλεύοντες αὐτοῖς καὶ τὸ πολεμεῖν καὶ γεωργεῖν διδασκόμενοι. τούτους Ἰταλοὶ τίρωνας ἐκάλεσαν ἀπὸ τοῦ τείρεσθαι καὶ ταλαιπωρεῖν ἐν τῷ δουλεύειν. Ἀθηναίους γὰρ ἐν ἅπασιν οἱ Ῥωμαῖοι ζηλώσαντες οὕτω καὶ αὐτοὶ τὸν δῆμον διέθηκαν. ταύτῃ γὰρ καὶ τρίβους τὰς φυλὰς ἐπωνόμασαν ἐκ τῆς εἰς τρεῖς μοίρας τῆς πολιτείας διανομῆς.

48. Καὶ οὗτοι μὲν ἐκ προσθήκης ἐτάχθησαν, ὥς τινες τῶν ἱστορικῶν φασιν, ὑπὸ Μαρίου τοῦ ὕστερον τυραννήσαντος. οἱ δὲ ἀνέκαθεν τῷ ἱππάρχῳ ἑπόμενοι προμῶται καθ' ὁμιλοῦ προσηγορεύθησαν, συνεστῶτες εἰς τάγματα τέσσαρα, βιάρχους, δουκηναρίους, κεντουρίωνας
μὲν πάντων δέκα μὲν δήμαρχοι, δύο δὲ ὕπατοι καὶ ὀκτὼ πραίτωρες καὶ ἓξ ἀγορανόμοι ἐπὶ τῆς πόλεως ἀπέμειναν καὶ μόνοι. ταῦτα ὁ Πομπώνιος, ὡς ἔοικε, τὸ πλῆθος καὶ ποικίλον τῆς ἱστορίας διαφυγών. ὅ γε μὴν Οὐλπιανὸς ἐν τοῖς προγραφομένοις Προτριβουναλίοις λεπτοτέρως τοὺς περὶ τῶν πραιτώρων διεξῆλθε λόγους,

14 ἀνέθηκαν C. 15 προηγορεύθησαν C. 16. cf. 3 2 et 21. desideratur huius capitis extrema et sequentis (de praetoribus) maior pars. in codice, ut videre licet, duo folia resecta sunt. F. 19 nonne διαφεύγων?

sibus dedisse, ut tres partes civitatis constituerent, unam generosorum, qui sapientiae literisque vacabant, alteram eorum qui agricolae simul et milites, tertiam opificum atque artificum, ceteris ab honore exclusis; e quibus si qui erant utiliores, agricolis iisdemque militibus iuncti serviebant, bellumque et agriculturam docebantur. hos Itali tirones, quasi aerumnosa in servitute tritos, dixerunt. Athenienses enim in omnibus imitati Romani et ipsi civitatem ita constituere. etenim hinc quoque tribus populi partes appellavere, scilicet a civitatis in tres partes divisione.

48. Et hi quidem tanquam additamentum, ut nonnulli historici referunt, a Mario, qui tyrannus postea evasit, constituti. ii vero qui inde ab initio magistrum equitum secuti, communi nomine promoti appellati sunt; quorum erant quattuor ordines, biarchi, ducenarii, centuriones
decem tribuni, duo consules, octo praetores et sex aediles tantum in urbe manebant. haec Pomponius, evitata, ut videtur, copia et varietate historiae. Ulpianus autem, in iis quae Protribunalia inscribuntur,

τοὺς μὲν τουτελαρίους τοὺς δὲ φιδεϊκομμισσαρίους ὀνομάζων· ὧν ἅπαξ σχολαζόντων οὐ συνεῖδον μνησθῆναι.

49. Τοσούτων ἀρχόντων ἐκ προοιμίων τῆς Ῥωμαϊκῆς πολιτείας μέχρι τῆς ἐπιεικεστάτης βασιλείας Τίτου μνήμην ἐν ταῖς ἱστορίαις εὑρὼν πέρας ἐπιθήσω τῷ λόγῳ. οὐδὲ γὰρ τῶν Δομετιανοῦ δυοκαίδεκα πολιάρχων, οὐδὲ μὴν τῶν Βασσιανοῦ τοῦ ἐπίκλην Καρακάλλου νεωτερισμῶν μνήμην ποιήσασθαι συνεῖδον· τὰ γὰρ παρὰ τῶν κακῶς βεβασιλευκότων γενόμενα, κἂν ὦσι χρησιά, καταφρονείσθω.

50. Τρίβυρις, ἔθνος Γαλατικόν, ταῖς ὄχθαις τοῦ Ῥήνου παρανεμόμενοι, ὅπου καὶ Τρίβυρις ἡ πόλις, (Συγάμβρους αὐτοὺς Ἰταλοί, οἱ δὲ Γαλάται Φράγκους καθ' ἡμᾶς ἐπιφημίζουσιν) ἐπὶ Βρέννου ποτὲ διὰ τῶν Ἄλπεων σποράδην ἁλώμενοι ἐπὶ τὴν Ἰταλίαν ἐξηνέχθησαν διὰ τῶν ἀνοδεύτων καὶ ἀκανθωδῶν ἐρημιῶν, ὡς φησιν Οὐεργίλιος. εἶτα καὶ διὰ τῶν ὑπονόμων ἐπελθόντες τὴν Ῥώμην καὶ αὐτὸ δὲ τὸ Καπετώλιον ἐκράτησαν, ὅτε τῶν ἐν τῷ ἱερῷ χηνῶν ταραχθέντων ὑπὸ τῶν βαρβάρων ἀκράτῳ νυκτὶ φανέντων διεγερθεὶς Μάλλιος ὁ στρατηγὸς (γείτων δὲ ἦν) τοὺς μὲν βαρβάρους ἐξώθησε, τοῖς δὲ χηνὶν ἑορτὴν καὶ ἱπποδρομίαν ἄγειν Ῥωμαίοις, τοῖς δὲ κυσὶν ὄλεθρον κατὰ τὸν ἐν λέοντι ἥλιον διώρισε. τούτων οὕτως τότε γενομένων νόμος ἐτέθη ὁ προάγων τοὺς φύλακας τῶν νυκτῶν. καὶ ὅσον μὲν πρὸς τὸ μῆκος τοῦ χρό-

6 τοῦ F, τὸ C. 11 *συμγάβρους* C. 12 οἱ F, οἷον C.
15 Aen. 8 657: *Galli per dumos aderant.* F.

subtilius de praetoribus disseruit, alios tutelarios, alios fideicommissarios appellans; de quibus, quoniam semel abrogati, nolui commemorare.

49. Expositis magistratibus, quorum ab incunabulis Romanae rei publicae ad mansuetissimum Titi imperium, in historiis memoriam reperi, finem libro imponam. neque enim Domitiani duodecim praefectorum urbis, neque vero Bassiani cognomine Caracallae innovationum mentionem facere volui: quae enim a pravis principibus facta, quamvis utilissima sint, contemnuntor.

50. Treveri, gens Gallica, ripas Rheni accolentes, ubi et Treviri urbs, (Sygambros eos Itali, Galli autem nunc Francos appellant) Brenno duce quondam per Alpes sparsim errantes in Italiam irruerunt per deserta invia et dumosa, ut ait Virgilius. deinde per cuniculos ingressi Romam atque ipsum Capitolium tenuere, cum a barbaris intempesta nocte apparentibus territi, qui in templo erant anseres, Manlium ducem (vicinus autem erat) excitarunt, qui barbaros deiecit, anseribus autem ut festum et cursus equestres ludicros Romani celebrarent, canibus vero perniciem sole leonem percurrente, decrevit. quae cum ita tum accidissent, lex lata est custodes nocturnos instituens. et quantum

νου, ἐχρῆν ἡμᾶς ἔμπροσθεν τούτων ἐπιμνησθῆναι· ἀλλ' ἐπειδὴ μὴ ταῖς ἀρχαῖς τῆς πολιτείας καὶ τουτὶ συναριθμεῖσθαι τὸ φρόντισμα νόμος, σύστημα δὲ καὶ σῶμα τυγχάνει λειτουργίας χάριν ἐπινοηθέν, εἰκὸς ἦν καὶ αὐτὸ ὡς γοῦν πέρατι τῶν ἀρχῶν παραθέσθαι. οὐ γὰρ μόνον τὴν πόλιν ἐξ ἐπιδρομῆς καὶ λανθανούσης ἐφόδου πολεμίων ἀπήμαντον καὶ ἀστασίαστον ἐμφυλίου βλάβης φυλάττουσιν, ἀλλὰ καὶ τοῖς ἀπὸ τῶν ἐμπρησμῶν βλαπτομένοις ἀμύνουσι. καὶ μάρτυς Παῦλος ὁ νομοθέτης αὐτοῖς ῥήμασι καθ' ἑρμηνείαν οὕτως. "τὸ τριανδρικὸν σύστημα παρὰ τοῖς παλαιοῖς διὰ τοὺς ἐμπρησμοὺς προεβάλοντο· οἳ καὶ νυκτερινοὶ ἐκ τοῦ πράγματος ἐλέγοντο. συνῆσαν δὲ αὐτοῖς καὶ οἱ ἀγορανόμοι καὶ δήμαρχοι ὑπουργοί, κολλήγιον (ἀντὶ τοῦ σύστημα), ὅπερ τὰς πύλας τῆς πόλεως ᾤκει καὶ τὰ τείχη, ὥστε τῆς χρείας καλούσης εὐχερῶς εὑρισκομένους συντρέχειν." οὕτω μὲν ὁ Παῦλος· ὅτι δὲ ἀληθὴς ὁ λόγος ἐστί, καὶ νῦν τοιούτου τινὸς ἀπει συμβαίνοντος ἀνὰ τὴν πόλιν οἱ τυχὸν ἐπικαίρως ἐξ αὐτῶν εὑρισκόμενοι βοῶντες τῇ πατρίῳ Ῥωμαίων φωνῇ omnes collegiati, οἷον εἰπεῖν "πάντες ἑταῖροι συνδράμετε."

51. Τούτων οὕτω προαχθέντων ἕκτον καὶ ἑπτακοσιοστὸν ἔτος τῇ πόλει κεχωρήκει. Καῖσαρ δὲ μοναρχῶν πάσας μὲν ἀπέπαυσε τὰς ἀρχάς, τὴν δὲ τῶν ὅλων δύναμιν ἀρχῶν ἀνεζώσατο

9 ipsis Pauli verbis (Digest. 1 tit. 15) in versione usus sum, excepto tantum *familia publica*, pro quo in textu quem Lydus vertit *collegium* fuisse, ex eius versione intelligitur. F. 11 an δήμαρχοι, ὑπούργει δὲ κολλήγιον? et mox ὅ περὶ vel παρὰ. 17 omnis colliciatas C. ἑταῖροι F, ἕτεροι C. 19 προαχθέντων F, προσαχθέντων C.

quidem ad temporis spatium, nos prius de his commemorare oportebat: verum quoniam hoc munus magistratibus rei publicae annumerari non solet, estque collegium et corpus ministerii causa inventum, par erat quasi extremo utique magistratuum illud adiungere. etenim non tantum ab incursu et clandestina irruptione hostium ac domesticarum factionum malo incolumem civitatem praestant, verum etiam incendio afflictis succurrunt. testis est Paulus iurisconsultus, cuius ipsa verba secundum versionem haec sunt. "apud vetustiores incendiis arcendis triumviri praecerant, qui ab eo quod excubias agebant nocturni dicti sunt. interveniebant nonnunquam et aediles et tribuni plebis. erat autem collegium circa portas et muros dispositum, unde, si opus esset, vocabatur." ita Paulus; quem verum dixisse argumento est, quod etiamnum, ubi tale quid in urbe accidit, qui ex illis opportune forte inveniuntur, patrio Romanorum sermone clamant "omnes collegiati!" id est, omnes collegae adeste!

51. Sub hisce magistratibus annum septingentesimum sextum urbs implevit. Caesar autem rerum potitus, omnibus abrogatis magistratibus,

μόνος· καὶ τρισὶν ἐνιαυτοῖς διαρκέσας αὐτὸς μὲν ἐν τῇ βουλῇ κατεσφάγη, τὸ δὲ λοιπὸν Καῖσαρ ὁ νέος, ἀδελφιδοῦς ἐκείνου, μεθ' ὃν τὸ κράτος εἰς τοὺς Καίσαρας περιέστη.

2 scilicet Augusti mater Lydo est soror Caesaris. cf. 2 3 ἀδελφῆς. F.

universam rem publicam imperio solus rexit; quod cum triennium tenuisset, ipse in curia caesus est; Caesar vero deinde factus adolescens, sororis eius filius, post quem imperium ad Caesares pervenit.

Λ Ο Γ Ο Σ Β.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΛΟΓΟΥ.

Περὶ Καίσαρος καὶ τῶν Καίσαρος ἐπισήμων. (1). *περὶ Αὐγούστου, καὶ ὅτι πρῶτος αὐτός, ἐνβαλὼν τὴν ὕπαρχον ἐξουσίαν, τὴν πραιτωριανὴν ἐπαρχότητα προσέλαβε.* (2). *περὶ τῶν βασιλικῶν στολῶν.* (3). *περὶ τοῦ ἐπάρχου τῶν πραιτωρίων καὶ τῆς πεθομένης αὐτῷ τάξεως. περὶ τῶν ἐπισήμων τῆς ἐπαρχότητος καὶ τῶν αὐτῆς μεγίστων διακτηρίων. ὅτι οὐκ ἦν ἀνέκαθεν πραιτώριον ὡρισμένον τῇ πρόεδρῳ τῶν ἀρχῶν.* (4). *περὶ τῶν μαγίστρων, καὶ τίνα πρῶτον προαχθῆναι ἡ ἱστορία ἀναφέρει. ὅτι οἱ καθ' ἡμᾶς λεγόμενοι μαγιστριανοὶ τὸ πρὶν φρουμενταρίοι ἐκαλοῦντο.* (5). *περὶ τοῦ ἐπάρχου Σκυθίας καὶ τοῦ Ἰουστινιανοῦ πραίτωρος καὶ τοῦ μάγιστρου τῶν κήνσων καὶ τοῦ κυαι-*

L I B E R II.

LIBRI SECUNDI CAPITA.

De Caesare et eius insignibus. (1). *de Augusto. cum primum sublata magistrorum equitum quaestura praefectum praetorio creasse.* (2). *de vestibus imperatoriis.* (3). *de praefecto praetorio et apparente ei officio. de insignibus praefecturae praetorii, deque summis eius iudiciis. prima magistratui destinatum praetorium olim non fuisse.* (4). *de magistris, et quem primum electum esse historia referat. olim frumentarios vocatos esse, quos nunc magistrianos vocant.* (5). *de praefecto Scythiae, de praetore Iustiniano, de magistro censuum et de quaestore; hos magi-*

εἰτωρος, καὶ ὅτι οὐ πρώτως αἱ ἀρχαὶ αὗται ἐπενοήθησαν, ἀλλ' ἠμελημέναι ἀνεκλήθησαν. (6). περὶ τῆς ταξεως τῶν ἐπάρχων, καὶ τῶν ἐν αὐτῇ καταλόγων ἠθῶν τε καὶ σχημάτων καὶ γραμμάτων καὶ τῶν ἄλλων τῆς ἀρχαιότητος γνωρισμάτων, καὶ ἐκ ποίων αἰτιῶν ἠμέληται. (7). διὰ τί τὸν ποταμὸν νῦν μὲν Ἴστρον νῦν δὲ Δανούβιον συμβαίνει προσαγορεύεσθαι. πῶς Πέρσαις πολεμητέον κατὰ τοὺς τακτικους. (8). ποτε καὶ τίνος χαριν ἐξηυρέθη τὸ τῶν σκριναρίων σῶμα. πόθεν εἰσηνέχθη τὸ τῶν καγκελλαρίων ὄνομα, καὶ διὰ τί οὕτως ὠνομάσθησαν. ἐκ ποίων αἰτιῶν ὑπεσύρη ἡ τάξις, καὶ ὅτι Ἀναστάσιος ὁ βασιλεὺς διὰ Μαρίνου αἴτιος τούτου. (9). πόθεν Δυρράχιον ἡ πάλαι Ἐπίδαμνος. (10). ὑποτύπωσις τῆς Ἀναστασίου βασιλείας. (11). διὰ τί Πέρσαι Ῥωμαίους παρὰ τὴν παλαιότητα χρυσίον ἐφ' ἑκάστης ὥσπερ ὀφειλόμενον εἰσπράττουσι. περὶ τοῦ πτώματος Ἀντιοχείας τῆς πρὸς Δάφνην, καὶ τῆς Περσῶν ἐφόδου. (12). περὶ τῆς εὐτυχεστάτης βασιλείας Ἰουστινιανοῦ τοῦ ἀηττήτου βασιλέως, καὶ ὅσοις ἀγαθοῖς τὰ Ῥωμαίων ἐκόσμησε, καὶ ὅπως ἐν βραχεῖ Λιβύην ὅλην Ῥωμαίοις ἀπέσωσιν. (13). περὶ τῶν παρὰ τὴν βασιλέως εὐμένειαν οὐ καλῶς τοῖς πράγμασιν ἀποχρησαμένων, ῥᾳστωνῇ δὲ συζησάντων· ἐν ᾧ καὶ περὶ ἀσωτίας καὶ τοῦ λεγομένου ἀκιπησίου. ποῖον εἶδος ἐσθήματος ὁ λεγόμενος σάνδυξ, καὶ πόθεν οὕτως ὠνομάσθη. (14). περὶ τῆς κακοδαιμονίας τοῦ δήμου, καὶ ὅπως ἐνέπρησε τὴν πόλιν· ἐν ᾧ καὶ περὶ τοῦ λεγομένου Ζευξίππου, καὶ τίνος χαριν οὕτως ὠνομάσθη. ὅπως ὁ βασιλεὺς μετὰ τοῦ θεοῦ καὶ τὸ πρῶτον ἱερὸν καὶ πᾶσαν ὁμοῦ τὴν πόλιν ἀνέστησεν. περὶ τῶν εὐσεβῶς καὶ δικαίως τὰς ἀρχὰς διανυσάντων. περὶ τῆς εὐσεβοῦς βασιλίδος Θεοδώρας, καὶ ὅπως τὰ κοινὰ ὠφέλησεν. (15). περὶ τοῦ ἀπευκταιοτατου λοιμοῦ, καὶ ὅπως ἀπεπαύσατο. (16).

18 περὶ ἀσωτίας vulgo bis ponunt. 19 ἄνδυξ C, sed 3 64 σάνδυξ F.

stratus non tum primum excogitatos, sed neglectos revocatos fuisse. (6). de officio praefectorum praetorio, eiusque catalogis, consuetudine, institutis, chartis, deque reliquis antiquitatis ornamentis, et quas ob causas neglecta fuerint. (7). cur idem flumen nunc Ister nunc Danubius appelletur. quomodo cum Persis pugnandum secundum tacticos. (8). quando et quam ob causam inventum scriniariorum corpus. unde introductum cancellariorum nomen, et cur ita appellati fuerint. quas ob causas corruerit officium; huius rei Anastasium imperatorem per Marinum causam fuisse. (9). unde Durrhachium dicatur quae olim Epidamnus. (10). regni Anastasii descriptio. (11). cur Persae a Romanis, cum antiquitus id factum non sit, pecuniam perpetuo quasi debitam exigant. de lapsu Antiochiae Daphnae adiacentis, deque Persarum invasione (12). de felicissimo imperio Iustiniani, invicti imperatoris; quantis rem Romanam bonis ornarit, et quomodo brevi totam Romanis Africam restituerit. (13). de iis qui contra imperatoris benevolentiam prave abusi sunt re publica seque ignaviae dederunt; in quo et de luxuria. de luxuria et de acipense. quale genus vestimenti sandyx, et cur ita appellatus. (14). de furore populi, et quomodo urbem incenderit; in quo et de Zeuxippo, et quare ita dictus. quomodo imperator cum deo et princeps templum et universam simul urbem restituerit. de iis qui pie iusteque magistratus gessere. de pia imperatrice Theodora, et quomodo rem publicam adiuvarit (15). de funestissima peste, et quomodo cessarit. (16).

Οἱ τυραννίδα καθ' ὁντινοῦν καιρὸν τολμήσαντες οὐ μόνον τοὺς ἐν οἷς ἐγένοντο καιροῖς ἐλυμήναντο, ἀλλὰ καὶ τοῖς μεταγενεστέροις πρὸς βλάβης ἐγένοντο, ζηλωτὰς κακῶν τοῖς ὑπηκόοις ἀπολιμπάνοντες. Μαρίου τοίνυν τυραννήσαντος καὶ ὑποργήσαντος Σύλλας ἀναστὰς ἀντετυράννησεν· αὐτῶν δὲ ἀλλήλοις ἀντιφερομένων ἡ Ῥωμαίων μεταίχμιον οὖσα τοῖς τυράννοις ἐσπαθίζετο πολιτεία. καὶ Μάριος μὲν ἐν προοιμίοις τῶν Σύλλου ἐκράτει δυνάμεων, τῆς δὲ τύχης ἑκάτερον διαφθεῖραι σπουδαζούσης νῦν μὲν ὁ Σύλλας νῦν δὲ ὁ Μάριος ἐκράτει. πέρας δὲ ἑκατέροις ὄλεθρος· Μάριος γὰρ ἐλαττωθεὶς εἰς τεμάχη λεπτὰ πρὸς τοῦ Σύλλου κατετμήθη, Σύλλας δὲ μετὰ τὴν νίκην σκώληκας ἀναβλύσας καὶ ἕτερον οὐδὲν παρὰ τὴν εὐτυχοῦς προσηγορίαν ἐκ τῆς νίκης λαβὼν ἀπεφθάρη. περιόντι δὲ ἔτι τῷ Σύλλᾳ προσπελάσας ὁ Πομπήϊος ἐζήλου τε αὐτὸν καὶ γαμβρὸς ἐγένετο, Ἀντιστίαν τὴν ἐγγόνην αὐτοῦ πρὸς γάμον ἑλών, καὶ ὅλος ἦν ἐκείνου. νοσῶν δὲ Καῖσαρ ἐξ ἀρχῆς πρὸς Πομπήϊον, Ἰουλίας ἤδη τῆς αὐτοῦ θυγατρὸς τελευτησάσης, ἣν ἔτυχε πρὸς γάμον Πομπηΐῳ δούς, τὴν ἐναντίαν ἠσπάσατο καὶ Μάριον ἐτίμα καὶ τοῖς αὐτοῦ τρόποις ἀπήγετο. συγχέονται οὖν ἄμφω κατ' ἀλλήλων ὡσεὶ κληρονόμοι τῶν τυράννων, ἔθνους μὲν παντός, ὅσον ἦν πρὸς ἀνίσχοντα ἥλιον, Πομπηΐῳ, βαρβάρων δὲ πάντων, ὅσοι πρὸς δύνοντα ἥλιον καὶ τὴν ἄρκτον ἐνέμοντο, τῷ Καίσαρι ἅμα τῷ στρατιωτικῷ συναιρομένων·

10 τε μαχην C. 14 τὰ ἑαυτῶν C, τε αὐτὸν F. 15 νεύων? 22 συναιρουμένων vulgo.

Tyrannidem quotquot unquam ausi sunt, non solum quibus ipsi vixere tempora afflixere, sed posterioribus quoque nocuerunt, aemulos pravitatis civibus relinquentes. sic Marii tyrannide adiutus Sylla prodiit, seque tyrannum tyranno obiecit; qui dum inter sese confligebant, Romana res publica tyrannorum armis interiecta dilacerabatur. ac Marius quidem initio copias Syllae superavit: fortuna autem perdere utrumque studente, modo hic modo ille superior discessit; finis vero utrique exitium. victus enim Marius a Sylla minutatim concisus est; Sylla autem post victoriam vermibus gemens, nec quicquam ea praeter felicis nomen adeptus, interiit. cui cum se immixisset Pompeius, superstitem etiam aemulatus est, ductaque in matrimonium nepte eius Antistia socerum habuit, seque totum ei dedit. Caesar autem, qui initio Pompeii studio laborasset, mortua iam Iulia filia, quam in matrimonium ei dederat, contrarias partes amplexus Marium coluit eiusque aemulatus est mores. igitur ambo inter se congrediuntur, quasi heredes tyrannorum, praeter copias, populis quotquot ad orientem solem, a Pompeio, barbaris autem, quotquot ad occidentem solem et septentriones degebant, a Cae-

καὶ δῆλα τὰ λοιπά. (2) κρατεῖ δὲ τῶν ὅλων ὁ Καῖσαρ, καὶ ἐπὶ τριακοσίοις αἰχμαλώτοις θριαμβεύων βασιλεῦσιν ἀναβὰς εἰς τὴν Ῥώμην οὐ βασιλέως (τί δ' ἂν εἴη μεῖζον;) ἤγουν μονάρχου τινὸς ὑπέμεινεν ὑπελθεῖν προσηγορίαν, ἄλλην δέ τινα καὶ τῇ τύχῃ ἠγνοημένην ἐζήτει τιμήν. ὡς γὰρ ἐκ τοῦ Καπιτωλίου μετὰ τὸν θρίαμβον ἐπὶ τὴν βουλὴν ἐφέρετο, ἐκδραμόντος τινὸς τῶν ἐν τέλει τῆς στρατιᾶς καὶ στέφανον ἀγνοοῦντι περιθεμένου λαβὼν αὐτὸς ἔρριψεν ἀγανακτῶν, ὡς ὕβριν ὑπομένειν ὑπολαβών, εἰ βασιλεὺς χρηματίσοι ὁ τοσούτους βασιλέας εἰς δουλείαν ὑπαγαγὼν καὶ αὐτὴν δὲ τὴν τύχην ἑλών. οὕτως ἐμφορηθεὶς ταῖς εὐπραγίαις ἠξίωσε μόλις θεός τε ἅμα καὶ ἀρχιερεὺς καὶ ὕπατος καὶ μόναρχος ἐσαεί, καὶ Ῥωμαίων μὲν πρῶτος ἐπίτροπος δὲ τῶν ἁπανταχοῦ βασιλέων, καὶ ἵππαρχος καὶ πατὴρ πατρίδος καὶ στρατηγὸς καὶ φύλαξ πόλεως καὶ πρῶτος δημάρχων χρηματίσαι, στολὴν ταῦτα πάντα σημαίνουσαν ὑποδύς. καὶ ὄνομα μὲν αὐτῇ τριουμφάλια (οὐδὲ γὰρ ἦν εὔπορον οὕτω πολυσήμαντον ἐξευρεῖν τῇ στολῇ προσηγορίαν), χιτὼν δὲ ἦν ἔνδον μὲν ἐκ πορφύρας, ἄνωθεν δὲ χρυσὸς ὅλως, ὥσπερ ἐλασθέντος διαστηκὼς τοῦ χρυσοῦ, καὶ λῶρος ἄνωθεν· οὕτω δὲ τὴν χρυσήλατον ἐπωμίδα Ῥωμαίοις ἀρέσκει καλεῖν. ταύτην τὴν στολὴν ἔθος ἐκράτησεν ἐξ ἐκείνου τοὺς Ῥωμαίων αὐτοκράτορας ἀμπέχεσθαι, ὅταν ἐπὶ βασιλεῦσιν αἰχμαλώτοις θριαμβεύσωσι. καὶ τοῦτο δῆλον ἐν ἡμῖν ἀπεδείχθη, ὅτε Γελίμερα τὸν

17 χρυσοῦς ὅλος? τὸν F, Γελίμερτῶν C. 21 nonne θριαμβεύωσι? 22 Γελίμερα

saro stantibus. reliqua nota. (2) rerum vero potitur Caesar; qui cum de trecentis captis regibus triumphans Romam rediisset, non principis (quid autem maius foret?) aut summi rectoris nomen subire sustinuit, verum alium quendam et fortunae ignotum honorem quaesivit. nam e Capitolio post triumphum in curiam vehens, cum e principibus exercitus quidam procurrisset coronamque ignaro imposuisset, ipse prehensam iratus proiecit, quasi ignominiosum sibi ratus, si, qui tot reges in servitutem redegisset ipsamque fortunam superasset, rex appellaretur. ita felicitate repletus, vix deus simul et pontifex et consul et perpetuus rector, Romanorumque primus, tutor vero omnium orbis terrarum regum, et magister equitum et pater patriae et imperator et custos urbis et primus tribunorum plebis appellari voluit, vestem haec omnia indicantem indutus; quae quidem triumphalis dicta est: neque enim facile erat tam multa significans nomen vesti reperire. erat autem tunica interius purpurea, exterius vero tota aurea, quasi ducto auro rigida, nec non loro superne ornata: ita autem ex auro factum humerale ornamentum Romani vocare solent. hanc vestem induere Romanorum imperatores, cum de captivis regibus triumpharent, ex illo moris fuit; quod apud nos manifeste patuit, quo tempore Gelimerem, Vandalorum et Libyae re-

Βανδήλων καὶ Λιβύης βασιλέα πανεθνεὶ θεὸς αἰχμάλωτον τῇ καθ' ἡμᾶς παρεστήσατο βασιλείᾳ. οὐδὲ γὰρ ἦν ὁμοσχήμονα τὸν νικητὴν πορφύραν περικειμένῳ γίνεσθαι τῷ κρατηθέντι. τοιούτοις τὸν Καίσαρα τῆς τύχης ἐπὶ τριετῆ χρόνον διαπαιζούσης φρυάγμασιν, ἡ φύσις ἔπεισεν ἄνθρωπον εἶναι.

3. Ὀκταβιανὸς δὲ μετ' αὐτόν, ἀδελφιδοῦς ἐξ Ἀτίας τοὔνομα τῆς ἀδελφῆς αὐτῷ γενόμενος καὶ θετὸς παῖς, διαδεξάμενος τὴν αὐτοκράτορα τιμήν, θεὸς μὲν δῆθεν εὐσεβῶς μετριάζων ὀνομάζεσθαι παρῃτεῖτο, θεῖος δὲ μᾶλλον (καὶ τοῦτο πᾶσι τοῖς μετ' αὐτὸν τὸ ἀξίωμα περιετέθη)· τὸ μὲν γὰρ τῶν φύσει πεφυκότων ἐστί, τὸ δὲ τῶν θέσει, τιμῆς ἢ μᾶλλον βλασφήμου κολακείας χάριν τοῖς βασιλεῦσι περιτιθέμενον. τοῖς δὲ ἐπισήμοις χρήσασθαι οἷς Καῖσαρ ὁ μέγας, τέως οὐκ ἔσχε, πρῶτον μὲν ὅτι κοινωνοὺς εἶχε τῆς ἀρχῆς Ἀντώνιον καὶ Λέπιδον. νέος δὲ ὢν κομιδῇ, καὶ τὴν λεγομένην παρὰ Ῥωμαίοις βοῦλλαν οἱονεὶ ψῆφον, τῆς Καίσαρος ἠξιοῦτο προσηγορίας· ὅθεν ἔτι καὶ νῦν τοῖς εἰς βασιλείαν προαγομένοις οὐ πρότερον τὰ ταύτης ἐπιτίθεται σύμβολα, πρὶν στρεπτὸν τῷ τραχήλῳ περιτιθέντες αὐτῷ οἱ ἐν τέλει τῆς στρατιᾶς ἄξιον εἶναι τῆς βασιλείας ἀποφήνωσι, Καίσαρα δεικνύντες αὐτὸν καθάπερ τὸν νέον Καίσαρα, καὶ τῆς τοῦ πρώτου Καίσαρος ἄξιον τιμῆς τε καὶ προσηγορίας. ὥσπερ γὰρ Πέρσαις ἐστὶ νόμιμον τὸν ἐκ βασιλίως τεχθέντα προάγειν ἑαυτοῖς εἰς βασιλείαν, οὕτω Ῥωμαίοις τὸ πάλαι μὴ τῷ τυχόντι ἀλλὰ μόνοις τοῖς ἐκ τῆς Καίσαρος

15 ψῆφον] ψῆφον φορῶν? 17 τὰ ταύτης] ταῦτά τις vulgo.
23 τό] οἷς τὸ vulgo, ἦν τὸ F.

gem, cum universa gente deus captivum imperatoriae nostrae urbi exhibuit: neque enim fas erat victorem victo, purpura velato, habitu similem esse. sic superbientem Caesarem cum triennium fortuna lusisset, natura hominem esse persuasit.

3. Octavianus autem, quem ex Atia sorore natum Caesar adoptaverat, imperatoria dignitate post eum potitus, divinus (quod nomen omnes post eum imperatores habuere) potius quam deus, pia scilicet modestia, appellari voluit: illud quippe eorum est qui natura sua dii, hoc eorum qui adoptione, honoris seu potius ignominiosae adulationis gratia datum imperatoribus. insignibus vero uti, queis magnus Caesar, interim non poterat, primum quidem, quia socios imperii, Antonium et Lepidum, habebat. admodum vero adolescens, et quam bullam, id est gemmam, Romani vocant, gerens, Caesaris nomine honoratus est; unde etiamnum ad imperium provehendo non prius haec insignia imponuntur, quam principes exercitus, torque collum eius circumdantes, dignum esse imperio declaraverint, Caesarem eum ostendentes, veluti adolescentem Caesarem et primi Caesaris honore nomineque dignum. quemadmodum enim Persis mos est ex rege nato regnum deferre, sic Romanis olim fuit non cuilibet,

σειρᾶς κατιοῦσιν ἐγχειρίζειν τὸ κράτος. μέσος οὖν ἦν ὁ νέος Καῖσαρ, μήτε τῆς ὅλης ἐπειλημμένος τοῦ κράτους τιμῆς διὰ τοὺς κοινωνοὺς τῆς ἀρχῆς, μήτε μὴν ἀμοιρῶν, τὸ δὲ πλέον ἔχων παρ' ἐκείνους διὰ τὸ Καίσαρος ἐπώνυμον, ὃ περιὼν ἔτι ὁ Θεῖος αὐτῷ περιέθηκε, διάδοχον ἑαυτοῦ καταλεῖψαι ψηφισάμενος. ὡς δὲ Λέπιδος μὲν ἐτελεύτα, Ἀντώνιος δὲ πρὸς Κλεοπάτραν ἔρεψε, Φουλβίαν τὴν ἀδελφὴν τοῦ νέου Καίσαρος συνοικοῦσαν αὐτῷ τὸ πρὶν ἀποπτύσας, Αἴγυπτόν τε εἶλε μετ' Ἀντωνίου, καὶ τοὺς ἐμφυλίους ἔπαυσε θορύβους τῆς Ῥώμης, ὀγκωθεὶς καὶ αὐτὸς θεός τε ἐχρημάτισεν ὁ ἄρτι μετριάζων, καὶ ναοὺς ὡσιωμένους πρὸς τιμῆς αὐτῷ ἀπεδέξατο, καὶ ἀρχιερέα ὥσπερ θεὸς ἐπεμβόλιμος προεχειρίσατο, πρῶτον αὐτὸν τῶν ἱερέων τῶν τότε νομισθέντων θεῶν ἀποδείξας. ἐπισήμοις τε πᾶσιν ἐχρήσατο οἷς ὁ πατήρ, καὶ στρατείαις καὶ τάξεσι καὶ δορυφόροις ὅσοις ὁ Ῥωμύλος τε καὶ πάντες οἱ ἀπ' αὐτοῦ μέχρι τούτων ἐχρήσαντο, μόνον τὸν ἵππαρχον εἰς ἔπαρχον μεταβαλών, ὀχήματι τιμήσας ὑπερηφάνῳ, ἐξ ἀργύρου πεποιημένῳ, καὶ τάξιν πολιτικὴν ἀπορείμας αὐτῷ πειθαρχεῖν, Αὐγουσταλίους ἐξ αὑτοῦ καλέσας αὐτούς· περὶ ὧν ἐν τῷ περὶ τῆς τάξεως τῶν ὑπάρχων μικρὸν ὕστερον ἐροῦμεν. ἠπίως δὲ ὅμως ἐχρήσατο τοῖς ὑπηκόοις· ὥστε τοὺς Ῥωμαίους εἰπεῖν ἐπ' αὐτῷ τῇ πατρίῳ φωνῇ utinam nec natus nec mortuus fuisset! ἀπηύχοντο γὰρ αὐτοῦ τὴν γένεσιν, ὅτι μόνος ἐστήριξε τὴν τῶν Καισάρων ἡγεμονίαν, καὶ ὁμοίως τὴν τελευτὴν διὰ τὸ ἥπιον ἅμα καὶ τὸ τῶν

3 ἄμοιρον vulgo. 4 ἐκείνους F, ἐκείνοις C.

sed nonnisi a Caesaris stirpe ortis imperium tradere. medius igitur erat adolescens Caesar, neque expers imperii honoris, neque propter socios principatus omnem consecutus, prae illis vero praecipuum habens Caesaris cognomen, quod superstes etiam avunculus ei dederat, cum successorem sibi eum relinquere constituisset. postquam vero, mortuo Lepido, Aegyptum cum Antonio, qui, Fulvia sorore eius repudiata, Cleopatrae sese dederat, superavit, ac domesticas Romanorum turbas composuit, inflatus et ipse cum dei nomen usurpavit, qui nuper modeste egisset, tum templa honori suo consecrata recepit, et pontificem, tanquam intercalatus deus, creavit, quem primum inter sacerdotes deorum, qui tum colebantur, constituit. insignibus autem omnibus usus est quibus pater; militiis vero, officiis et satellitibus, quot Romulus et omnes deinceps ad eum usque usi erant. solum magistrum equitum in praefectum praetorio mutavit, curruque insigni, ex argento facto, honoravit, nec non civili officio eum praefecit, quos Augustales a semet nominavit; de quibus in libro de officio praefectorum praetorio paulo post disseremus. mansuetum tamen se civibus praebuit; unde Romani de eo patrio sermone dixerunt "utinam nec natus, nec mortuus fuisset!" optabant quippe natum non fuisse, qui solus Caesarum principatum firmasset; iidem mortuum

ἐμφυλίων στάσεων ἀναιρετικόν· οὐδὲ γὰρ μετ' αὐτὸν ἐμφύλιος ἀνήρθη πόλεμος.

4. Ἔχρῆτο δὲ στολῇ ἐπ' εἰρήνης, οἵα ποντίφιξ (ἀντὶ τοῦ ἀρχιερεὺς γεφυραῖος), πορφυρᾷ, ποδήρει, ἱερατικῇ, χρυσῷ λελογχωμένῃ, ἀμφιβλήματι δὲ ὁμοίως πορφυρῷ, εἰς χρυσοῦς αὐλακας τελευτῶντι· τήν τε κεφαλὴν ἔσκεπε δι' ἃς ἐν τῇ γραφείσῃ μοι περὶ μηνῶν πραγματείᾳ ἀποδέδωκα αἰτίας· ἐπὶ δὲ τῶν πολέμων παλουδαμέντοις (αἱ δέ εἰσι δίπλακες ἀπὸ κόκκου, πρωτείας μετάξης κλωστῆς, χρυσῇ περόνῃ λιθοκολλήτῳ ἀναρπαζόμεναι τοῖς ὤμοις· ἡμεῖς μὲν φίβουλαν ὡς Ἰταλοὶ καλοῦμεν, κορνοκόπιον δὲ ἰδίᾳ πως ἐν τοῖς βασιλείοις ἔτι καὶ νῦν λέγουσιν), ἐν δὲ ταῖς εὐωχίαις λιμβοῖς (πορφυροῖ δέ εἰσι τρίβωνες, ποδήρεις, μαιανδρίαις γραμμαῖς, ἐπὶ τῶν ὤμων χρυσοῖς τυμβαλαμένοις οἱονεὶ σωληνωτοῖς ὑφάσμασι διαλάμποντες) καὶ παραγώδαις αὐριγάμμοις, ἀντὶ τοῦ χιτῶσι χρυσοῖς γαμματίσκοις ἀναλελογχωμένοις, ἀπὸ τῆς περὶ τοὺς πόδας ὥας καὶ τελευτῆς τοῦ ἐσθήματος ἐξ ἑκατέρων τῶν πλαγίων εἰς γάμμα στοιχεῖον διαζωγραφοῦσι χρυσῷ τὸν χιτῶνα· ἐν δὲ τῇ βουλῇ χλαμύσι πορφυραῖς μὲν (πῶς γὰρ οὐχί;) πρὸς δὲ τὸ πέρας τῆς ποδήρους ὥας γραμμαῖς τετραγώνοις, διύλου χρυσῷ κοσμουμέναις (σημέντα αὐτὰς οἱ τῆς αὐλῆς καλοῦσιν ἀντὶ τοῦ χρυσόσημα, τὸ δὲ πλῆθος ἐπὶ τῶν ἰδιωτικῶν χλαμύδων σημέντα), βραττεολάταις καὶ γεμμάταις καὶ λαγκιολάταις, ἀντὶ τοῦ χρυσο-

6 de Mens. p. 1 19. tur excidisse δέ F. 20 αὐτὰς οἱ] αὐτὰρ C. 9 ἀναπαζόμεναι C. 13 post ἐπὶ vide 15 γαμματισκίοις? an γαμματισμοῖς? 22 βραττεολάτοις καὶ γεμμάτοις καὶ λακιολάτοις C.

non fuisse, qui et mansuetus fuisset et domesticas factiones sustulisset, neque enim post illum bellum civile conflatum est.

4. Veste autem utebatur, pace, utpote pontifex (id est ἀρχιερεὺς γεφυραῖος), purpurea, talari, sacerdotali, auro lanciolata, et pallio pariter purpureo, in aureos sulcos desinente; caputque operiebat, ob causas quas in libro meo de mensibus memoravi; bello autem paludamentis (quae sunt duplices laenae, e cocco, torta metaxa praestantissima, fibula aurea, gemmata, in humeris coercitae; quam fibulam nos, sicut Itali, vocamus, cornucopium vero peculiari quodam nomine in aula etiamnum vocatur): in conviviis limbis (sunt autem lacernae purpureae, talares, maeandris ornatae, circa humeros aureis tubulamentis, id est pannis canaliculatis, fulgentes) et paragaude aurigamma, id est tunica aureis gammis lanciolata, a limbo circa pedes imoque vestis, ab utroque latere, in formam literae gamma tunicam auro distinguentibus; in senatu chlamyde, purpurea (quidni enim?), in imo autem ad pedes pertinentis limbi figuris quadrangularibus (segmenta eas aulici, id est clavos aureos, vocant, vulgus autem in privatorum chlamydibus sementa), tota vero auro ornata, bracteolata, gemmata, lanceolata, id est aureis foliis, gemmis, lancio-

πετάλοις καὶ διαλίθοις καὶ λογχωταῖς, καὶ τοῖς λοιποῖς τῆς βασιλείας ἐπισήμοις, περὶ ὧν κατὰ λεπτὸν ἀφηγήσασθαι περιττὸν ὑπολαμβάνων παρίημι, τοῦ λόγου με τὸ λοιπὸν ἐπὶ τὴν ἀφήγησιν τῆς ποτὲ πρώτης τῶν ἀρχῶν κατὰ τάξιν ἄγοντος.

5. Τὸ μὲν περίβλεπτον τῆς ἀρχῆς καὶ μόνῳ τῷ σκήπτρῳ παραχωροῦν καὶ ἐξ αὐτῆς τῆς ἀμυδρᾶς σκιᾶς, ἣν ἔτι καὶ μόνην δοκεῖ διασώζειν, ἱκανοῖς ἄν τις καταλάβοι γνωρίσμασι· πέφυκε γὰρ τὰ τῶν πραγμάτων ὑπέροπτα καὶ ἐξ αὐτῆς καταλαμβάνεσθαι τῆς ἐλαττώσεως. δεινὸς δὲ ὁ χρόνος ἐκφαγεῖν τε καὶ ὑπεργάσασθαι τὰ γίνεσιν ἅμα καὶ φθορὰν εἰληχότα. ἀλλ' ἡ βασιλέως ἀρετὴ τοσαύτη τίς ἐστιν ὥστε παλιγγενεσίαν δι' αὐτοῦ τὰ πρὶν ἐξολωλότα καραδοκεῖν.

6. Οὕτως οὖν τῶν ἀρχῶν, ὡς ἔφθην εἰπών, ἄχρι τῆς Καίσαρος τοῦ πρώτου ἐπικρατείας προελθουσῶν, αὐτὸς μετὰ τῆς τύχης ἐπιστὰς τοῖς πράγμασι ξύμπαν ἐξηλλοίωσε τὸ πολίτευμα, ὑπάτοις μὲν μηδὲν παρὰ τὴν προσηγορίαν ἀπολιπὼν εἰς μήνυμα τοῦ χρόνου δῆθεν· ὑφ' ἑαυτῷ δὲ τάξας τὸν σύμπαντα στρατόν, δέδωκε τοῖς μετ' αὐτὸν ἢ δι' ἑαυτῶν, πλὴν εἰ μή γε τὸ τρυφᾶν προτιμῷεν, ἢ διὰ στρατηγῶν ὧν ἂν θέλωσιν, ἢ δι' ὑποστρατήγων τῶν παρὰ Ῥωμαίοις λεγομένων ληγάτων, τοὺς ἐνισταμένους διεργάζεσθαι πολέμους, μόνῳ τῷ ἱππάρχῳ, ὃς ἦν αὐτῷ Λέπιδος μοναρχοῦντι, καταλιπὼν μετὰ μείζονος αὐθεντίας τὴν δύναμιν· ὃν μετ' αὐτὸν Ὀκταβιανὸς Καῖσαρ, ὡς εἴρηται, ὕπαρχον ἑαυτῷ

1 λογχωτοῖς C. 18 τοὺς μετ' αὐτῶν C: corr F. 19 προτιμῶμεν vulgo. 22 καταλιπὼν F, καταλεπτον C.

lis distincta, et ceteris principatus insignibus; de quibus subtiliter explicare supervacaneum existimans, operis ordine ductus, ad primum quondam inter magistratus deinceps enarrandum transeo.

5. Illustre huius magistratus, soli sceptro cedentis, vel ex ipsa obscura umbra, quam unam nunc retinere videtur, sufficientibus indiciis colligas: solent quippe excelsa rerum vel ex ipsa imminutione intelligi. magna autem temporis vis consumendi ac subigendi, quae ortum simul et interitum sortita. verum ea est imperatoris virtus, ut novum ortum per eum ante exstincta exspectent.

6. Cum igitur, ut supra dixi, ad Caesaris primi principatum usque magistratus prodiissent, ipse comite fortuna rerum potitus, totam mutavit rem publicam, consulibus quidem nil praeter nomen, temporis videlicet indicandi gratia, relinquens, copias vero universas sibi subiiciens; unde successores eius vel per sese vel, si forte mollitiem praeferant, per quos volunt duces, vel per quos legatos Romani vocant, id est inferioris ordinis duces, obvia bella administrant. soli magistro equitum, quo solus regnans Lepido usus est, potestatem eamque auctoritate auctam reliquit; quem cum post eum Octavianus Caesar, uti diximus, praefe-

οὐ τῆς αὐλῆς μόνης ἀλλὰ μὴν καὶ στρατιᾶς ἁπάσης καὶ πολιτικῆς τάξεως, ἣν οὐκ εἶχε πρότερον, ἀναδείξας, ὡς βραχὺ παρατραπείσης τῆς λέξεως ἐξ ἀφυλάκτου συνηθείας, ἀντὶ ἱππάρχου ὕπαρχος προσηγορεύθη. καὶ ἐπὶ μὲν τῆς Ῥώμης, ἐφ' ἧς καὶ μόνης τὴν αὐλὴν παλάτιον καλεῖσθαι νόμος, ὕπαρχος τοῦ Καίσαρος ἐνόμιζεν οἱονεὶ δεύτερος μετ' ἐκεῖνον, ἐπὶ δὲ τῶν κάστρων (οὕτω δὲ τὰς ἐν πολέμῳ παρεμβολὰς Ῥωμαίοις ἔθος καλεῖν) πραίφεκτος πραιτωρίῳ οἱονεὶ προεστηκὼς τοῦ πραιτωρίου· τὸ γὰρ στρατηγικὸν ἐπὶ ξένης κατάλυμα πραιτώριον ἐκείνοις ἔδοξεν ὀνομάζειν, κἂν εἰ τυχὸν αὐτὸν τὸν Καίσαρα αὐλίζεσθαι ἐπ' ἐκείνου συμβαίνῃ. ἠῦρον δὲ καὶ στερεὰν αἰτίαν, ἧς ἕνεκα τῇ τοῦ ἐπάρχου προσηγορίᾳ καὶ τὸ τῶν πραιτωρίων προστίθεται γνώρισμα, ὡς εἶναι τὴν ἀρχὴν τῶν πρός τι, καὶ μὴ δοκεῖν ἀσήμαντον ἔχειν τὴν ἐξοχήν, συνώνυμον δὲ τῷ πολιάρχῳ, ὃν καὶ αὐτὸν ὕπαρχον ὀνομασθῆναι προδήλωται, πραίτωρα οὐρβανὸν τὸ πρὶν προσαγορευόμενον. Τράγκυλλος τοίνυν τοὺς τῶν Καισάρων βίους ἐν γράμμασιν ἀποτίνων Σεπτιμίῳ, ὃς ἦν ὕπαρχος τῶν πραιτωριανῶν σπειρῶν ἐπ' αὐτοῦ, πραίφεκτον αὐτὸν τῶν πραιτωριανῶν ταγμάτων καὶ φαλάγγων ἡγεμόνα τυγχάνειν ἐδήλωσεν. ὥστε οὐ μόνον ἄν τις λάβοι τὸν ὕπαρχον τῆς αὐλῆς, ἣν καὶ πραιτώριον πολλαχοῦ καλουμένην κατὰ τὸν ἑνικὸν ἀριθμὸν ἐδηλώσαμεν, ἀλλὰ μὴν καὶ κατὰ τὸν πληθυντικὸν καλῶς ὠνομασμένον (οὐ μόνον γὰρ λέγεται πραίφε

6 ἐχρημάτιζεν? 8 πραιτωρίων C. 15 videtur Suetonius, quod Lydus refert, in praefatione ostendisse, in qua vitas Caesarum Septimio dedicaverit. F. 16 ὑποτείνων? 21 ἐδηλώσαμεν post καλουμένην F.

ctum non aulae tantum verum etiam omnium copiarum, nec non civilis officii, cui antea non praefuerat, constituisset, quasi paululum immutata voce e consuetudine non observata, ὕπαρχος pro ἵππαρχος (praefectus praetorio pro magistro equitum) dictus est. ac Romae quidem, qua sola in urbe aula palatium vocari solet, praefectus Caesaris dicebatur utpote primus ab illo, in castris vero (ita autem Romani dicunt quod Graeci in bello παρεμβολάς) praefectus praetorio: ducis enim apud exteros domicilium praetorium illis vocare placuit, quamvis forte ipsum Caesarem in eo degere contingat. gravem vero etiam causam repperi, cur praefecti nomen etiam addito *praetoriorum* distinguatur, ut ad aliquid referatur magistratus, exprimaturque eius eminentia, neque idem praefecto urbis nomen habere videatur, quem pariter praefectum appellatum esse supra ostendimus, cum antea praetor urbanus dictus fuisset. Tranquillus igitur Septimio, qui tum erat praefectus praetorianarum cohortium, Caesarum vitas exponens, praefectum eum praetorianorum ordinum et phalangum ducem esse ostendit. quare praefectum aulae, quam et praetorium saepe vocari demonstravimus, non singulari tantum verum etiam plurali numero recte appellaveris (non enim praefectus praetorio tantum dicitur), vide-

κτος πραιτωρίου) οἱονεὶ ἡγεμόνα τῶν πραιτωριανῶν, ὑπακουομένου ταγμάτων ἢ σπειρῶν ἢ στρατευμάτων ἢ δυνάμεων.

7. Αἰτίας μὲν οὖν ἄν τις τοιαύτας οὐκ ἐξῶ λόγου ἐπὶ τῆς προσηγορίας τῆς ἀρχῆς ἀποδοίη, ἥτις καθάπερ ὠκεανός τις τῶν πραγμάτων τῆς πολιτείας ἐστίν, ἐξ ἧσπερ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα. σπινθῆρες γάρ τινες ὥσπερ ἀετοῦ πυρὸς αἱ λοιπαὶ τῆς πολιτείας ἀρχαὶ ἐκείνης τῆς ἀληθῶς ἀρχῆς τῶν ἀρχῶν δεικνυνται οὖσαι. οὐδὲ γὰρ εἶναι ἄνευ ἐκείνης δύναιντό ποτε, καθὸ μηδὲ αὐταὶ μηδὲ μὴν αἱ τελοῦσαι ὑπ' αὐτὰς ὡσανεὶ τάξεις τινὲς συνεστάναι δύναιντο μὴ τὴν δαπάνην αὐταῖς τε καὶ τοῖς σὺν αὐτῶν ἡγουμένοις χορηγούσης τῆς ἐπαρχότητος. ὃν γὰρ τρόπον τις σκεῦος μέγιστον ἐξ ἀργυρίου πεποιημένον οὐκ ἐξ ἑαυτοῦ ἀλλ' ἐκ προγόνων ἔχει κεκτημένος, εἶτα πρὸς πενίαν ὑποσυρόμενος καταλύει μὲν τὸ σκεῦος, ὀλίγα φροντίσας ἰσχύος τε καὶ κάλλους, πολλὰ δὲ καὶ ἀσθενῆ ἐξ αὐτοῦ σκευύφια κατασκευάζων πολὺν ἄργυρον ἐξ εὐτελείας ἢ μέγιστον ἐξ ἑνὸς καὶ ἀρχαῖον ἔχειν φαντάζεται, οὕτως τῆς μεγίστης ἀρχῆς καταλυομένης πολλαί τινες καὶ τάχα περιττὰι ἀνέφυσαν ἀρχαί, μᾶλλον τῆς τύχης ἀπαρισθείσης τῷ ποιητῇ εἰπόντι "οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω." οἱ μὲν γὰρ λεγόμενοι στρατηλάται τὴν τῶν κομήτων ἔχουσιν ἐκ τῆς ἀρχαιότητος καὶ μόνην τιμήν. ταύτῃ καὶ κομητιανοὺς τοὺς

1 ἡγεμὼν C. 5 lego οὗπερ. F. 6 lego ταυτοῦ. F. non nimis ineptum *Αἰτναίου*, si compares *τοὺς ἐν Λιπάρῃ κρατῆρας* 2 29. 8 εἶναι ἂν ἄνευ? 9 καθ' ὃν δὲ vulgo. 10 σὺν, ni fallor, delendum. F. 17 καταδυομένης vulgo. 18 ἀνεφύησαν? μετεφύησαν certe p. 120 2, μετεφύη de magistr. p. 2 23, παραφυέντων p. 3 10.

licet ducem praetorianorum, subintellecto ordinum vel cohortium vel exercituum vel copiarum.

7. Causas quidem tales haud absurde attuleris de nomine huius magistratus, qui quasi oceanus administrationis rei publicae est, e quo cuncta flumina mariaque ducuntur. scintillas enim quasi eiusdem ignis, reliquos civitatis magistratus illius vere magistratus magistratuum esse patet. neque enim sine illo esse unquam possent. quemadmodum vero ipsi, sic nec ipsis subiecti tanquam ordines quidam congregari possent, nisi iis eorumque praepositis sumptum praefectura praeberet. nam quemadmodum aliquis vas maximum, ex argento factum, non a sese sed a maioribus relictum possidet; deinde ad paupertatem delapsus dissolvit illud, parvi faciens firmitatem et pulchritudinem; multa autem et fragilia pocula ex eo fabricatus vilium multitudine quam uno maximo et antiquo magis gloriatur: sic intereunte maximo magistratu plurimi et fortasse supervacui prodiere, minime favente fortuna poetae dicenti "non bona multorum dominatio: unus dominus sit." nam qui στρατηλάται (duces) dicuntur, comitum honorem, eumque solum, ab antiquitate tenent. hinc

δευτεροστρατηλατιανοὺς ἢ παλαιότης οἶδε. κόμητας δὲ τοὺς φίλους καὶ συνεκδήμους Ἰταλοὶ λέγουσι, καὶ κομιτάτον ἁπλῶς τὴν βασιλέως συνοδίαν. ἡ δὲ τοῦ λεγομένου μαγίστρου φρονὶς ἀρχὴ μὲν οὐκ ἔστιν οὕτως ἐγκεκρυμμένη, μεγίστη δὲ ὅμως, καὶ ἐγγὺς τῆς ὑπάρχων ἀνίπταται τιμῆς τε καὶ δυνάμεως· περὶ ἧς πρὸς τὸ τέλος τῆσδε τῆς ἱστορίας ἐρῶ· δεῖ γὰρ αὐτὴν νεωτέραν οὖσαν μὴ ταῖς πρεσβυτέραις τῶν ἀρχῶν συναριθμεῖν, δοῦναι δὲ αὐτῇ χῶρον ὃν ὁ χρόνος αὐτῇ παρεχώρησεν.

8. Ἐξῄρηται δὲ ὅμως καὶ πάσας ἀναβέβηκε τὰς ἀρχὰς ἡ ὕπατος τιμή, καὶ τῇ μὲν δυνάμει τῆς ἐπαρχότητος μείων, τῇ δὲ τιμῇ μείζων· ἡ μὲν γὰρ τὴν ὅλην διέπει πολιτείαν οἴκοθεν μὲν οὐδὲν παρέχουσα, τὸ δὲ δημόσιον διοικοῦσα, ἡ δὲ πλοῦτόν τε βαθὺν οἴκοθεν νιφάδων δίκην ἐξανλακίζει τοῖς πολίταις, καὶ τῷ χρόνῳ τὴν προσηγορίαν χαρίζεται, καὶ πλάνης ἀπαλλάττει τὰ συναλλάγματα, πολέμους μὲν τὸ λοιπὸν οὐκ ἀναδεχομένη, μίτιρ δὲ ὥσπερ τῆς Ῥωμαίων ἐλευθερίας τυγχάνουσα. ἐναντίως γὰρ ἔχει πρὸς τυραννίδα, καὶ κρατούσης ἐκείνης οὐχ ὑφίσταται· τοιγαροῦν ἅμα Βροῦτος ὁ τῆς σωφροσύνης ἔκδικος καὶ τῆς ἐλευθερίας ὑπέρμαχος τὴν ὕπατον ἐξέλαμψε τιμήν, ἅμα Ταρκύνιος ὁ τύραννος ἀπολώλει. ὁ δὲ ἡμέτερος πατήρ τε ἅμα καὶ βασιλεὺς ἡμερώτατος ταῖς μὲν ἐπανορθώσεσι τῶν πραγμάτων καὶ δωρειαῖς τῶν ὑπηκόων ὕπατός ἐστιν ἐφ' ὅσον ἔστι, τῇ δὲ στολῇ γίνεται,

4 ἐκκεκριμένη? 9 ἀνεβέβηκε C.

et δευτεροστρατηλατιανοί ab antiquis comitiani appellati sunt. comites vero Itali amicos sociosque itineris vocant, et comitatum omnino, qui principem proficiscentem comitantur. magistri autem, quem vocant, munus tam abstrusus quidem magistratus non est, maximus tamen, atque ad praefecti praetorio honorem potestatemque prope accedit; de quo ad extremum huius historiae dicturus sum: recentiorem enim antiquioribus magistratibus annumerare non oportet, sed quem tempus concessit locum ei tribuere.

8. Exceptus tamen est omnesque magistratus super eminuit consulatus, potentia quidem praefectura minor, honore autem maior: illa enim totam rem publicam regit, domo nihil afferens et publicum administrans; hic vero ingentes domo opes nivis instar civibus profundit, et tempori nomen largitur, pactionesque errore prohibet; ac bella quidem non amplius administrat, parens vero quodam modo est Romanorum libertatis. contrarius enim tyrannidi est, neque eam dominari patitur: itaque simul atque Brutus, pudicitiae vindex et libertatis propugnator, consulis honore effulsit, Tarquinius tyrannus interiit. noster vero pater simul et mansuetissimus imperator, rem publicam emendando et cives donando

ὅταν κοσμεῖν τὴν τύχην ἐθελήσοι, βαθμὸν ἀνώτερον βασιλείας τὴν ὕπατον τιμὴν ὁριζόμενος.

9. Ὅτι δὲ κατὰ τὸ πρόσθεν εἰρημένον μόνῳ τῷ σκήπτρῳ ἀνέκαθεν ἡ ἀρχὴ παρεχώρησε, τὴν ἴσην ἐκείνῳ λαχοῦσα τιμήν, ἀντικρὺς ἐκ τῆς βασιλείας ἔστι λαβεῖν. συναγομένης γὰρ τῆς βουλῆς, πάλαι μὲν ἐν τοῖς καλουμένοις σενάτοις οἱονεὶ γερουσίαις, καθ' ἡμᾶς δ' ἐπὶ τοῦ παλατίου, οἱ τῶν ἐκεῖ πρωτεύοντες στρατευμάτων προϊόντες πορρωτέρω τῶν οἰκείων ἑδρῶν ἀποδέχονται γονυπετεῖς τὴν ἐπαρχότητα, ἡ δὲ φιλήματος ἀξιοῖ προσιόντας αὐτοὺς εἰς θεραπείαν τοῦ στρατοῦ. καὶ αὐτὸς δὲ ὁ Καῖσαρ, οἱονεὶ τῶν Ῥωμαίων βασιλεύς, τῆς βασιλείας ἐκλείπων πρόσεισιν ἐκ ποδός, δι' ἑαυτοῦ ἀποδεχόμενος τὸν ἄρχοντα· οὗ ἔνδον ἅμα αὐτῷ γενομένου φυλακὴ πᾶσα, μηδεμίαν μετ' αὐτὸν εἴσω γενέσθαι τῶν ἀρχῶν συγχωροῦσα, ἀλλ' οὐδὲ διαλυθέντος τοῦ συλλόγου πρὸ αὐτοῦ ἀναχωρεῖν τινὰ τῶν ἐκ τῆς βουλῆς ἐπιτρέπουσα. καὶ τοῦτο ἐγκρατῶς ἐφυλάχθη ἄχρι τῶν Θεοδοσίου τοῦ νέου καιρῶν, ὃς ἐπεὶ νέος ἦν καὶ δι' ἑαυτοῦ προϊὼν κατὰ τὸ συνειθισμένον τὴν τιμὴν προσφέρειν οὐκ ἴσχυσε τῇ ἀρχῇ, εἰκόνα στήσας ὥρισεν ἀντ' αὐτοῦ ἀποδέχεσθαι τὸν ὕπαρχον. καὶ τραπείσης τῆς ὀρθῆς ἐκφωνήσεως περσίκιον τὸ σκῆπτρον ὁ δῆμος καλεῖ, ὅτι περ ση κατὰ Ῥωμαίους τὸ δι' ἑαυτοῦ λέγεται. ταύτης δὲ τῆς τιμῆς καὶ ὁ τῆς πόλεως φύλαξ ἀπολαύει διὰ τοῦ μείζονος ἄρχοντος τῇ ὁμωνυμίᾳ τῆς ἰσο-

5 an forte ἐκ τῆς βουλῆς? 7 δ' add F. 10 αὐτοῖς C.
11 lego τὴν βασιλείαν. F. 12 αὐτοῦ C. 14 αὐτοῦ F, αὐτῆς C. 22 τὴν ὁμωνυμίαν?

consul est, ut magis non possit; veste autem est, cum ornare fortunam vult, altiorem imperio consulatus honori gradum decernens.

9. Soli autem sceptro, ut supra dictum est, olim cessisse praefecturam, parem cum eo honorem sortientem, in palatio manifeste cernere licet. congregante enim se senatu (olim quidem in senatis, id est γερουσίαις, nunc autem in palatio) primores degentium ibi copiarum, a sedibus suis longius progressi, praefectum in genua procumbentes excipiunt, qui osculo accedentes dignatur, exercitum colens; atque ipse Caesar, id est Romanorum imperator, relicto palatio pedibus accedit, magistratum ipse excipiens; qui cum ina intus sunt, severa custodia, nemini magistratuum post eum introire, neque soluta concione cuiquam e senatoribus ante eum exire permittens. atque hoc constanter observatum est ad Theodosii iunioris tempora; qui quoniam puer erat, neque ipse secundum consuetudinem obviam procedens honorem magistratui poterat exhibere, ut posita effigies ipsius loco praefectum exciperet decrevit. et mutata genuina pronuntiatione persicium vulgus sceptrum appellat, quia *per se* Romanorum sermone τὸ δι' ἑαυτοῦ dicitur. hoc ipso honore autem et praefectus urbi a maiori magistratu afficitur, nominis

τιμίας ἀξιωθείς. ξίφος δὲ ἐζώννυτο ἀνέκαθεν ὁ ὕπαρχος, οἷα καὶ τῶν ὅπλων ἔχων τὴν δύναμιν· καὶ τοῦτο δυνατὸν αὐτοπτῶς ὄψεσιν ἐπὶ τοῦ παρόντος εὑρεῖν, εἴγε τις φιλάρχαιος ὢν ἐπὶ τὴν Καλχηδόνα περαιωθεὶς τὴν Φιλίππου τοῦ ὑπάρχου εἰκόνα καταμάθοι. σίκην δὲ τὸ ὑποζώνιον ξίφος Ῥωμαῖοι καλοῦσιν, ἐξ οὗ σικαρίους τοὺς κρεουργοὺς καὶ σικάτα τὴν ἐκ σαρκῶν εἰς λεπτὰ κατακοπεῖσαν ἐδωδήν.

10. Ἀλλ' ἀρχὴν ὅσα λέλογχεν, ἔχει τέλος, τὸ ποιητικὸν εἰπεῖν. Κωνσταντίνου γὰρ μετὰ τῆς τύχης τὴν Ῥώμην ἀπολιπόντος, καὶ τῶν δυνάμεων, ὅσαι τὸν Ἴστρον ἐφρούρουν, ἐπὶ τὴν κάτω Ἀσίαν ψήφῳ τοῦ βασιλέως διασπαρεισῶν, Σκυθίαν μὲν καὶ Μυσίαν καὶ τοὺς ἐξ ἐκείνων φόρους ἐζημιώθη τὸ δημόσιον, τῶν ὑπὲρ Ἴστρον βαρβάρων μηδενὸς ἀνθιστημένου καταιρεχόντων τὴν Εὐρώπην, τῶν δὲ πρὸς τὴν ἕω παρὰ τὸ πάλαι δασμοῖς οὐ μετρίοις βαρυνθέντων ἀνάγκη γέγονε τὸν ὕπαρχον μηκέτι μὲν τῆς αὐλῆς καὶ τῶν ἐν ὅπλοις ἄρχειν δυνάμεων, τῆς μὲν τῷ λεγομένῳ μαγίστρῳ παραδοθείσης, τῶν δὲ τοῖς ἄρτι κατασταθεῖσι στρατηγοῖς ἐκτεθεισῶν, τὴν δὲ ἀνατολὴν πρὸς τῇ κάτω Ἀσίᾳ, καὶ ὅσα ταύτης, διοικοῦντα τὸ λοιπὸν τῆς ἀνατολῆς χρηματίζειν ὕπαρχον. διεσύρη δὲ οὐδὲν ἧττον ἡ τῆς ἀρχῆς δυναστεία ἄχρι τῶν Ἀρκαδίου τοῦ πατρὸς Θεοδοσίου τοῦ νέου καιρῶν, ἐφ' οὗ συμβέβηκε Ῥουφῖνον τὸν ἐπίκλην ἀκόριστον, ὃς ἦν ὕπαρχος αὐτῷ, τυραννίδα

8 ὅσα C. an ὅσσα? 9 a *Κωνσταντίνου* ad finem huius capitis usque enarrata, paucis exceptis, 3 40—42, ad verbum repetuntur. F. 20 ἧττον ἡ add F e 3 40.

communitate pari honore dignus habitus. ensem inde ab initio praefectus praetorio gerebat, quippe qui copiis etiam praeesset; quod hodieque ipso adspectu reperire licet, si quis antiquitatis amator Chalcedonem transvectus Philippi praefecti praetorio effigiem intueatur. sicam autem Romani ensem, qui sub cingulo geritur, vocant; unde sicarii qui carnem secant, et sicata cibus carne in frustula concisa constans.

10. Sed enim initium quaecunque sortita finem habent, ut ait poeta. posteaquam enim Constantinus cum fortuna Romam reliquit, atque omnes quae Istrum custodierant copiae decreto imperatoris per Asiam inferiorem sparsae sunt, Scythiam Mysiamque et illarum vectigalia aerarium amisit, barbaris, qui ultra Istrum habitabant, Europam nemine resistente incursantibus; Orientis autem populis contra pristinum morem tributis haud mediocribus oneratis, necesse fuit praefectum praetorio aulae et copiis, quarum illa magistro quem vocant, hae strategis nuper creatis traditae, non amplius praeesse, sed Orientem cum Asia inferiori, et quae ad eam pertinent, administrare, ac praefectum Orientis in posterum appellari. neque vero minus potestas magistratus dilacerata est ad Arcadii, patris Theodosii iunioris, tempora; sub quo Rufinus cognomine insatiabilis, quo praefecto praetorii ille utebatur, tyrannidem meditatus a

μελετήσαντα τοῦ μὲν σκοποῦ ὑπὲρ λυσιτελείας τῶν κοινῶν ἐκπεσεῖν, εἰς βάραθρον δὲ τὴν ἀρχὴν καταρρῖψαι. αὐτίκα μὲν γὰρ ὁ βασιλεὺς τῆς ἐκ τῶν ὅπλων ἰσχύος ἀφαιρεῖται τὴν ἀρχήν, εἶτα τῆς τῶν λεγομένων φαβρικῶν οἱονεὶ ὁπλοποιιῶν φροντίδος τῆς τε τοῦ δημοσίου δρόμου καὶ πάσης ἑτέρας, δι' ὧν τὸ λεγόμενον συνέστη μαγιστέριον. ὡς δὲ δύσεργον ἦν ἀποτρέφειν μὲν τὸν ὕπαρχον ἀνὰ τὰς ἐπαρχίας τοὺς δημοσίους ἵππους καὶ τοὺς αὐτοῖς ἐφεστῶτας, ἑτέρους δὲ κεκτῆσθαι τὴν ἐπ' αὐτοῖς ἐξουσίαν τε καὶ διοίκησιν, νόμος ἐτέθη θεσπίζων ἀντέχεσθαι μὲν τὸν ὕπαρχον τῆς τοῦ δημοσίου δρόμου φροντίδος, τὸν πρῶτον μέντοι τῶν φρουμενταρίων (πρίγκιπα αὐτὸν σήμερον συμβαίνει καλεῖσθαι) παρεῖναι διὰ παντὸς τῷ δικαστηρίῳ τοῦ τῶν πραιτωρίων ὑπάρχου καὶ πολυπραγμονεῖν, καὶ τὰς αἰτίας ἐξερευνᾶν ὧν ἕνεκα πολλοὶ ποριζόμενοι παρὰ τῆς ἀρχῆς τὰ λεγόμενα συνθήματα τῷ δημοσίῳ κέχρηνται δρόμῳ (ταύτῃ καὶ κουρίωσος ὠνομάσθη ἀντὶ τοῦ περίεργος, καὶ οὐκ αὐτὸς μόνος ἀλλὰ καὶ πάντες ὅσοι κἂν ταῖς ἐπαρχίαις τοῖς δημοσίοις ἐφεστήκασιν ἵπποις), προσεπιγράφοντος τοῖς ἐπὶ τῶν δρόμων συνθήμασι καὶ τοῦ λεγομένου μαγίστρου. ὅτι δὲ οὕτως, αὐτῆς δυνατὸν ἀκοῦσαι τῆς διατάξεως, ἐν μὲν τῷ πάλαι Θεοδοσιανῷ κειμένης, ἐν δὲ τῷ νεαρῷ παροφθείσης.

11. Οὕτως οὖν ὥσπερ δι' ὑποβάθρων τινῶν καταφερομένης τῆς ἀρχῆς, τοὺς μὲν στρατιωτικοὺς καταλόγους ἔταξεν ἡ βα-

3 πολλῶν C, sed 3 40 ὅπλων. 6 ἀποστρέφειν C. 10 τοι add F. 11 καλεῖσθαι add F e 3 40. 17 lego, ut 3 40, προϋπογράφοντος. τῷ δρόμῳ 3 40. 21 ὑποβαράθρων C.

proposito quidem, bono rei publicae, aberravit, in barathrum vero magistratum praecipitavit. namque imperator continuo potentiam ab armis magistratui adimit, deinde fabricarum, id est armorum conficiendorum, nec non cursus publici curam, et ceteras omnes, e quibus magisterium quod vocant conflatum est. cum autem incommodum esset praefectum praetorio equos publicos iisque praepositos in provinciis sustentare, aliorum vero sub potestate eos administrationeque esse, lex data est ut cursus publici curam praefectus praetorio retineret quidem, primus tamen frumentariorum (principem eum hodie vocant) in auditorio eius semper adesset, et cuncta curiose investigaret, causasque inquireret cur multi, impetratis a praefecto praetorio synthematis, cursu publico utantur (unde etiam curiosus dictus est; neque ille solus, sed quicunque equis publicis in provinciis praepositi), utque synthemata ad cursus et magister, quem vocant, isque primus subscriberet. quod ita esse ipsa constitutio docet, in vetere codice Theodosiano exstans, in novo autem praetermissa.

11. Sic igitur tanquam per gradus labente magistratu, militaribus catalogis imperator, quos comites tum vocabant sive duces, officiis autem

σιλεία ὑπὸ τοῖς τότε καλουμένοις κόμησιν ἢ στρατηγοῖς, τὰς δὲ ἐν τῷ παλατίῳ τάξεις ὑπὸ τῷ πρωτεύοντι τῶν δυνάμεων τῆς αὐλῆς, περὶ οὗ πρὸς τέλος, ὡς ὑπεσχόμην, ἐρῶ, ὃν καὶ αὐτὸν ἄρχοντα οὐ μικρόν, καθάπερ τοὺς λεγομένους στρατηλάτας, αἱ τῆς ἐπαρχότητος ἐλαττώσεις ἀπετέλεσαν· τὰ γὰρ πολυτελῆ τῶν οἰκοδομημάτων καταλυόμενα πολλοῖς ἐπαρκεῖ πρὸς οἰκοδομήν. καὶ ἕως μὲν τοὺς βασιλέας ἐπεξιέναι δι' ἑαυτῶν τοῖς πολέμοις συνέβαινεν, εἶχέ τινα ἡ ἀρχή, εἰ μὴ τοσαύτην, πλὴν ὑπὲρ πάσας τὰς ἄλλας ἰσχύν τε καὶ δύναμιν· ἐξότε δὲ Θεοδόσιος πρῶτος, τῆς τῶν οἰκείων παίδων ῥᾳστώνης προνοούμενος, νόμῳ [δὲ] τὴν ἀνδρίαν ἐχαλίνωσε, κωλύσας δι' ἐκείνους τὴν βασιλέως Ῥωμαίων ἐπὶ πολέμους ὁρμήν, τὸ λοιπὸν τοῖς μὲν στρατηγοῖς τὰ τῶν πολέμων τῷ δὲ μαγίστρῳ διοικεῖν τὰ τοῦ παλατίου γέγονε χώρα, ὡς μηδὲν ἕτερον ἔχειν τὴν ἐπαρχότητα ἢ μόνην τὴν ἐπὶ ταῖς δαπάναις φροντίδα, ἃς εἰκός ἐστι γίνεσθαι κατὰ τὸ ἀναγκαῖον περί τε τοὺς ἐξ αὐτῆς ἄρχοντας, ὡς ἔφην, καὶ περὶ ἐκείνους γε μὴν ὧν αὐτοὶ ἄρχειν ἐτάχθησαν.

12. Εἰ δέ τις καὶ τοὺς ἐκ τῶν προρρήσεων στοχασμούς, οὓς τινες καλοῦσι χρησμούς, ἐν ἀριθμῷ λόγων παραλαβεῖν ὑπομένοι, πέρας ἔλαβε τὰ Φωντηΐῳ τῷ Ῥωμαίῳ ῥηθέντα ποτέ· ἐκεῖνος γὰρ στίχους δοθέντας τινὰς δῆθεν Ῥωμύλῳ ποτὲ πατρίοις ῥήμασιν ἀναφέρει, τοὺς ἀναφανδὸν προλέγοντας τότε Ῥωμαίους τὴν τύχην ἀπολείψειν, ὅταν αὐτοὶ τῆς πατρίου φωνῆς ἐπιλάθωνται.

1 καὶ C, sed 3 41 ἤ. 14 ἃς F, ἣν C. 19 lego ἃς. F.
20 τὰ vulgo om. 21 immo τινὰς δοθέντας.

palatii principem aulicarum copiarum praefecit, de quo ad extremum, ut pollicitus sum, explicabo; quem ipsum magistratum haud parvum, sicuti quos στρατηλάτας vocant, praefecturae imminutiones reddidere: quippe magnifica aedificia dissoluta multis ad aedificandum sufficiunt. ac dum imperatores ipsi bella obiere, habuit quandam magistratus, etsi non tantam, super alias tamen omnes potentiam atque auctoritatem: ex quo autem Theodosius primus, filiorum suorum ignaviae prospiciens, lege frenum virtuti iniecit, imperatorem Romanum in bella ire per eos prohibens, deinceps quae ad bellum pertinent, ducum, quae ad palatium, magistri provincia fuere; ut nihil aliud praefectura habeat nisi solam sumptuum administrationem, quos perspicuum est fieri in obvias necessitates, inque magistratus ex illa, ut dixi, ortos, neque minus in eos quibus ipsi praepositi sunt.

12. Quodsi quis et coniecturas e praedictionibus, quae oracula a nonnullis vocantur, rationum in numero habere non recuset, exitum habuere a Fonteio Romano quondam dicta. ille enim versus quosdam olim scilicet Romulo datos patrio sermone refert, aperte praedicentes tum Romanos fortunam derelicturam, cum ipsi patriae linguae obliti fuissent;

καὶ τὸν μὲν λεγόμενον χρησμὸν τοῖς περὶ μηνῶν γραφεῖσιν ἐντεθείκαμεν, πέρας δὲ μᾶλλον ἔσχε τὰ τοιαῦτα μαντεύματα· Κύρου γάρ τινος Αἰγυπτίου, ἐπὶ ποιητικῇ καὶ νῦν θαυμαζομένου, ἅμα τὴν πολίαρχον ἅμα τὴν τῶν πραιτωρίων ἐπαρχότητα διέποντος καὶ μηδὲν ἄλλο παρὰ τὴν ποίησιν ἐπισταμένου, εἶτα παραβῆναι θαρρήσαντος τὴν παλαιὰν συνήθειαν καὶ τὰς ψήφους Ἑλλάδι φωνῇ προενεγκόντος, σὺν τῇ Ῥωμαίων φωνῇ καὶ τὴν τύχην ἀπέβαλεν ἡ ἀρχή.

13. Ὡς οὖν ἔφην, τοῦ μὲν ἱππάρχου πρὸς τοῦ Αὐγούστου ἐκ τῶν ἀρχῶν περιαιρεθέντος, τοῦ δὲ ἐπάρχου τῶν πραιτωρίων τὴν ἐκείνου δύναμιν διαδεξαμένου, εἰκὸς ὀγκωθῆναι πλέον τὴν ἀρχήν, τοῖς ὅπλοις προστεθείσης καὶ τῆς τῶν πολιτικῶν πραγμάτων διοικήσεως· οὐδὲν δὲ ἧττον ἴχνη τινὰ τῆς ἱππαρχίας παραπέμεινεν αὐτῇ, μικρᾶς τινὸς παραλλαγῆς ἐμπεσούσης. μανδύην μὲν γὰρ ὁ ἔπαρχος περιεβάλλετο Κῷον· ἐπ' ἐκείνης γὰρ τῆς νήσου καὶ μόνης ἡ βαθυτέρα βαφὴ τοῦ φοινικοῦ χρώματος τὸ πρὶν ἐπῃνεῖτο κατασκευαζομένη· ἡ γὰρ ἠρέμα πως ἐπὶ τὸ φλόγινον καὶ οὐ σφόδρα βαθὺ ἀναπτομένη πρὸς Παρθυαίων ἐξηύρηται, ὅθεν καὶ Παρθικὰ τὰ φλογοβαφῆ δέρματα συμβαίνει καλεῖσθαι. ὁ δὲ μανδύης χλαμύδος εἰδός ἐστι, τὸ παρὰ τῷ πλήθει μαντίον λεγόμενον, μὴ πλέον ἄχρι γονάτων ἐξ ὤμων ἠρτημένον, σηγμέντων οὐκ ἐπιβαλλομένων τῷ μανδύῃ, τῶν δ' ἐν ἡμῖν λεγομένων ταυλιῶν ἀντὶ τοῦ πτυχίων· ἐκείνων γὰρ ἐπιτιθεμένων οὐκ ἐξῆν ἑτέρῳ ἢ μόνῳ χρῆσθαι τῷ Καίσαρι. σηγμέντα δὲ τὰ χρυσόσημα Ῥωμαίοις

15 Κῶαν vulgo. 21 ἢ addit F. 22 δ' add F.

quod oraculum, ut vocant, nostro de mensibus tractatui inseruimus. exitum vero utique haec vaticinia habuere: postquam enim Cyrus quidam Aegyptius, quem ob poesin etiamnum admirantur, praefectura urbis et praetorii simul fungens, neque aliud quicquam praeter poesin sciens, veterem consuetudinem transgredi ausus est decretaque Graeco sermone protulit, cum Romana lingua fortunam quoque magistratus amisit.

13. Magistro equitum, ut dixi, ab Augusto e magistratibus exempto, eiusque potestate ad praefectum praetorio delata, necesse fuit magis efferri magistratum, armis adiuncta civilium rerum administratione: nihilo vero minus vestigia quaedam magistri equitum muneris, parva intercedente mutatione, ei manserunt. mandyen enim praefectus praetorio gerebat Coam (illa quippe insula, eaque sola, arte saturatiori puniceo colore inficiendi celebris olim fuit: nam qui flammeo quasi propior clariorque, a Parthis inventus est; unde etiam parthica pelles flammeo colore tinctae dicuntur. est autem mandyes chlamydis genus, quod mantium vulgus appellat, ab humeris haud altius quam ad genua promissum), non segmentis sed sinubus, quas taulias (tabulas) apud nos vocant, ornatam: illis enim ornare vestem nemini nisi uni Caesari licebat. segmenta

ἔθος καλεῖν, ὡς προέφαμεν. τοιαύτη μὲν ἡ χλαμύς, παραγώδης δὲ χιτὼν κατακόρφυρος, καὶ ζωστὴρ ἐκ φοινικοῦ δέρματος, ἐφ' ἑαυτὸν μὲν ἀνακεκολλημένος, ἐξ ἄκρων δὲ τῶν πλευρῶν εἰς λεπτὴν καταρραφὴν ἐσπονδασμένος, καὶ σεληνίσκον μὲν ἔχων τινὰ ἐξ εὐωνύμων χρυσῷ πεποιημένον, ἐκ δὲ τῆς ἑτέρας γλωσσίδα τινὰ ἤγουν διάβλημα, χρυσοτελὲς καὶ αὐτό, εἰς βότρυος σχῆμα πεποιημένον δι' ἣν ἐν τῇ περὶ μηνῶν συγγραφῇ ἀποδεδώκαμεν αἰτίαν· ὅπερ διάβλημα ἀπὸ δεξιᾶς φερόμενον καὶ ἐπὶ τὸν σεληνίσκον βαλλόμενον διαζώννυοι τὸν περιτιθέμενον ἀσφαλῶς, περόνης καὶ αὐτῆς χρυσῆς ἐνδυκνούσης τὸν ἱμάντα καὶ συναπτούσης τὸν βότρυν τῷ σεληνίσκῳ. φίβουλαν αὐτὴν πατρίως οἱ Ῥωμαῖοι καὶ βάλτεον τὸν ζωστῆρα λέγουσι. τὴν δὲ ὅλην κατασκευὴν τοῦ περιζώματος οἱ Γάλλοι καρταμέραν, ἣν τὸ πλῆθος καρτάλαμον ἐξ ἰδιωτείας ὀνομάζει. ὅτι δὲ οὐ Ῥωμαϊκὸν τοντὶ τὸ ῥημάτιον, μάρτυς ὁ Ῥωμαῖος Βάρρων ἐν βιβλίῳ πέμπτῳ περὶ Ῥωμαϊκῆς διαλέκτου, ἐν ᾧ διαρθροῦται ποία μέν τις λέξις ἐστὶν Αἰολικὴ ποία δὲ Γαλλική, καὶ ὅτι ἑτέρα μὲν ἡ Θούσκων ἄλλη δὲ Ἑτρούσκων, ὧν συγχυθεισῶν ἡ νῦν κρατοῦσα τῶν Ῥωμαίων ἀπετελέσθη φωνή.

14. Τοιαύτη μὲν τῆς ἀρχῆς ἡ παρ' αὐτοῖς καλουμένη παρατυῦρα, ἀντὶ τοῦ στολή· ὄχημα δὲ ὁποῖον ἴσμεν, καὶ θῆκαι. οὕτω δὲ τὸ λεγόμενον τῷ πλήθει καλαμάριον ἐκεῖνοι λέγουσιν·

12 φιζώματος C: corr F. 13 καρταμέρα et in Varrone et alibi frustra quaesivi. suspicor autem hanc vocem desiderari in lib. 4 de Ling. Lat. § 24, ubi mendose legitur: **postea succuderunt Galli e *ferro* sub *id vocabulum* etc. F.**

autem aureos clavos Romani solent appellare, ut supra diximus. haec chlamys. accedebant paragaudis, tunica purpurea, et balteus e corio puniceo, sibimet agglutinato, ex imis vero lateribus tenui sutura subtiliter elaboratus, habensque in sinistra parte lunulam quandam auream, in altera autem lingulam sive insertorium, pariter auream, in uvae formam elaboratam, ob eam quam in opere de mensibus rettulimus rationem; quae quidem lingula a dextra iuncta lunulaeque imposita firme cingit gerentem, fibula, et ipsa aurea, lorum mordente uvamque cum lunula coniungente. fibulam illam Romani patrio sermone, et balteum cingulum vocant. totum vero cinguli ornatum Galli cartameram, vulgus ignorantia cartalamum appellat. Latinum non esse hoc vocabulum, testis est Varro Romanus, in libro quinto de Lingua Latina, in quo explicat quaenam vox Aeolica, quaenam Gallica; atque aliam esse Thuscorum, aliam Etruscorum, quibus inter se mixtis quae nunc habetur Romanorum lingua conflata est.

14. Haec magistratus paratura, ut illi vocant, id est ornatus: currus vero, qualem scimus, et thecae. sic autem illi vocant, quod vulgus calamarium; quod quidem splendoris tantum causa (ea magnitudine ex auro ductum erat) centum auri libras pendere creditum est. aliud vero

ὅπερ ὄγκου καὶ μόνου χάριν εἰς τύπον τοιοῦτον χρυσήλατον κατεσκεύαστο· ἑκατὸν ἔχειν χρυσίου λίτρας ὑπείληπται. ἕτερον δὲ ἐξ ἀργυρίου βαθὺ πρὸς ὑποδοχὴν κοινοῦ μέλανος ἐξυπηρετεῖται τῷ δικαστηρίῳ (καλλίκλιον αὐτό, οἱονεὶ κυαθίσκον, ἀπὸ τοῦ κάλυκος καλεῖσθαι νόμος), καὶ κάνθαρος ὡς λεκάνη τις ἐξ ἀργύρου, ἐπὶ τρίποδος ἀργυρέου, καὶ κρατὴρ ὑπὲρ τῶν τὰς ἐμπροθέσμους δίκας ἐν τῷ δικαστηρίῳ λεγόντων κείμενος· περὶ οὗ μακρηγορεῖν ἀηδὲς εἶναι κρίνων ἐξ ἀνάγκης ἀναλαβεῖν τὴν ἀφήγησιν συνωθοῦμαι, ἐκεῖνο προλέγων, ὡς εἰσὶν ἔτι καὶ νῦν πορθμίδες τρεῖς τῇ ἀρχῇ πρὸς τὰς ἀντιπόρθμους διαπεραιώσεις ἐκ τῆς βασιλίδος ἐπὶ τὰς γειτονας ἠπείρους. βάρκας αὐτὰς ἀντὶ τοῦ δρόμωνας πατρίως ἐκάλεσαν οἱ παλαιότεροι, καὶ κήλοκας οἷον ταχινάς, ὅτι κέλερ κατ' αὐτοὺς ὁ ταχὺς λέγεται, καὶ σαρκιναρίας ἀντὶ τοῦ ὁλκάδας, ὅτι σάρκινα κατ' αὐτοὺς τὸ ἄχθος καλεῖται. τοιαῦτα μέν τινα καὶ ταῦτα· πρὸς δὲ τὸ προκείμενον ἐπανέλθωμεν.

15. Νόμος ἦν (καὶ γὰρ ἄρτι παριφθάρη) τοὺς μὲν ἀπὸ ψήφων τῆς ἀρχῆς ἐπὶ τῶν ἐπαρχιῶν τὰς δίκας λέγοντας μετὰ ἔφεσιν αὖθις ἐπὶ τὴν ἀρχὴν ἐμπροθέσμως αὐτὰς κατὰ τὸν ἔκκλητον νόμον ἀναπέμπειν, τοὺς δὲ ἐπὶ τῶν ἀρχαιοτικῶν δικαστηρίων ἀπὸ ψήφων αὐτῶν ἐπὶ τὴν βασιλείαν, κἀκείνας μὲν καλεῖσθαι τεμποραλίας ἀντὶ τοῦ ἐμπροθέσμους, ταύτας δὲ σάκρας οἱονεὶ θείας, διὰ τό, ὡς ἔφην, πρὸς τὴν βασιλέως ἀκρόασιν μετέκλητον ἀναπέμπεσθαι. θαῦμα μέγιστον καὶ πανευδαίμονος πολιτείας τεκμή-

2 ἑκατὸν γὰρ ἔχειν? 4 αὐτῳ C. 13 αὐτὰς C. 16 ἀπὸ — ἀρχῆς. post λέγοντας haec ponenda censeo. F. 19 τοὺς F, τὰς C.

profundum argenteum vas in auditorio erat, communi atramento recipiendo serviens (caliculus, id est parvum poculum, a calice appellari solet), nec non cantharus (quasi patina quaedam) argenteus, in tripode argenteo, et crater, iique illorum ergo qui temporales causas in iudicio dicebant; qua de re prolixe dicere odiosum reputans, necessitate enarrationem repetere cogor, illud praedicens, esse etiamnum naviculas tres magistratui ad transfretandum ex imperatoria urbe in vicinas terras. barcas illas, id est currentes, patrio sermone antiquiores vocabant, et celoces, id est celeres, quia celer eorum lingua ὁ ταχύς, et sarcinarias, id est onerarias, quia sarcina eorum sermone onus vocatur. hactenus de hoc: ad propositum revertamur.

15. Lex erat (etenim nuper interiit) ut qui in provinciis causas dicerent, a sententiis magistratus post appellationem iterum eas, intra praestitutum tempus, iuxta legem de appellationibus, ad magistratum mitterent; qui autem in archaeoticis dicasteriis, ab horum sententiis ad imperatorem; et illae quidem temporales vocari solebant, hae autem sacrae, quia, ut dixi, ad imperatoris audientiam post appellationem mittebantur: res summa digna admiratione, et fortunatissimae rei publicae in-

ριον. βασιλεὺς Ῥωμαίων ὑπέμενε χαμαιζήλου δικαστοῦ λειτουργίαν ὑφίστασθαι καὶ κρίνειν πράγματα ἴσως καὶ σφόδρα γλίσχρης ὑποθέσεως ἀνεχόμενος, καθάπερ ὁ ἡμερώτατος ἡμῶν βασιλεὺς διὰ τὴν περὶ τοὺς ὑπηκόους στοργήν, καίτοι τὰ πλεῖστα κατὰ πολεμίων ἀγρυπνῶν καὶ προκινδυνεύειν ἡμῶν διὰ σπουδῆς ἔχων, εἰ μὴ σφαλερωτέραν ἡμῖν τὴν εἰρήνην ὁ δῆμος θηλάτοις διχονοίαις ἀναπτόμενος ἀπετέλει, ὧν ἕνεκα βαρυτέραν τὸ δημόσιον δαπάνην ὑφίσταται πρὸς φυλακὴν τῆς εἰρήνης ἢ πρὸς ἀναχαιτισμὸν τῶν πολεμίων. ἔνθα ἡ τῶν λεγομένων νόβων ἀναλωμάτων ἀφορμὴ καὶ στένωσις τῶν ἀναγκαίων. εἰ γὰρ τοὺς ἔμπροσθεν βεβασιλευκότας ῥᾳστώνη διέλυσε, πῶς ἂν ἠρέμησεν οὗτος, ὕπνῳ μὲν μηδὲ ὅλως χαλώμενος, τροφῆς δὲ χάριν μηδὲ ἄρτου ξηροῦ πρὸς κόρον ἁπτόμενος;

16. Τῆς τοιαύτης οὖν συνηθείας ἤδη πρότερον εἰς τρυφὴν ἀναλυθείσης, καὶ τῶν ἔμπροσθεν ἅμα τοῖς ὅπλοις καὶ αὐτὴν τὴν μέχρι λόγων φροντίδα τῶν κοινῶν ἀποπτυσάντων, νόμος ἐφοίτησε τὸν ὕπαρχον ἀκροάσασθαι τῶν σακρῶν διατυπῶν, πρᾶγμα καὶ μετὰ τὴν ἐναλλαγὴν ἀρκοῦν ἐπιδεῖξαι τὴν οὖσαν αὐτῷ τὸ πάλαι θειότητα. λευχείμων μὲν γὰρ ὁ ὕπαρχος ἐπὶ τοῦ βήματος, καὶ τάξις ἁρμοδία ὡσαύτως ἐσταλμένη μετ' αὐτοῦ, καὶ αὐτοὶ δὲ οἱ τῶν δικῶν κύριοι λαμπροφανεῖς, καὶ σιγὴ κατασκέπουσα τὸ δικαστήριον, καὶ ῥητόρων οἱ διαφανέστατοι ἀξίας ἑορτῶν ἀμπεχόμενοι στολάς, καὶ ὁ τρίπους ἐν μέσῳ τοῦ ἀκροατηρίου, ἐξηρτημένου

6 διχονοίας C. 7 ἧς C. 9 ἔνθεν?

dicium. imperator Romanorum humilis iudicis munus subire, et lites vel minutissima forte in re iudicare non recusabat, quemadmodum mansuetissimus noster imperator amore in cives, quamvis plurimum contra hostes vigilans, ad pericula pro nobis subeunda intentus. utinam periculosiorem nobis pacem non reddat populus, fatalibus discordiis incensus, ob quas maior ex aerario sumptus ad pacem custodiendam quam ad hostes domandos erogatur. inde impensorum, quae nova vocantur, origo, et rerum necessariarum angustiae. nam si priores imperatores inertia fregit, quo tandem modo hic quiescat, quem ad vitam sustentandam ne sicco quidem pane ad satietatem vescentem somnus omnino non relaxet?

16. Haec igitur consuetudo cum iam antea mollitiei cessisset, et priores principes una cum armis vel sermone tenus curam rei publicae aspernati essent, lex prodiit, constituens ut praefectus praetorio sacras causas audiret: res vel post immutationem ad pristinam suam divinitatem declarandam sufficiens. candida scilicet cum veste in tribunali praefectus praetorio, et congruum cum eo officium pari ornatu, nec non ipsi causarum domini splendidissimi, et silentium tegens iudicium, et oratorum clarissimi, dignas festis diebus vestes gerentes, et tripus medio in

κατὰ μέσον τοῦ κανθάρου, καὶ κρατὴρ παρακείμενος, δι' οὗ ποτὲ πληρούμενος ὁ κάνθαρος ὕδατος τοσοῦτον ἐδίδου καιρὸν τῷ τῆς δίκης τέρματι ἐφ' ὅσον διά τινος γνώμονος τοῦ ἐνόντος αὐτῷ ὕδατος διηθουμένου ὁ κύαθος ἀπηλλάττετο, καὶ ὁ λόγος τοῖς λέγουσιν ὅλως πρὸς θεῖον δικαστὴν ἀνυφούμενος. τούτων πάντων ἀπολο- 5
μένων οὐδὲ ἴχνος τὸ λοιπὸν ἀπέμεινε τῷ δικαστηρίῳ, τῶν συνεδρευόντων μόνον ἐν παραβύστῳ, μετὰ γέλωτος τῶν περιεστηκότων, ὥσπερ ἐν μίμοις τινῶν δῆθεν δικῶν ἀκροωμένων. καὶ τάξις οὐδεμία ἢ μήνυμα κατὰ τὸ πρόσθεν συνειθισμένον παραδηλοῦν τὸν χρόνον τῆς ἡμέρας. ὁ γὰρ τῆς τάξεως προεστηκὼς (συβα- 10
διούβαν αὐτὸν ὠνόμασαν οἱονεὶ ὑποβοηθόν), πραττούσης τῆς ἀρχῆς ἑστὼς ἐπὶ κορυφῆς τῶν ὑπηρετουμένων τροχίσκους τινὰς οὐκ εὐτελεῖς, ἐξ ἀργύρου πεποιημένους, γραφὰς τῶν ὡρῶν ἔχοντας τῆς ἡμέρας τοῖς Ἰταλῶν ἀριθμοῖς καὶ γράμμασιν, ἐμβριθῶς ἀφεὶς ἐξαπίνης ἐπὶ τὸ ἔδαφος θροῦν ἀπετέλει σεμνόν, παραδηλοῦντος 15
τοῦ βαλλομένου τροχίσκου κατὰ τοῦ μαρμάρου τὴν τῆς ἡμέρας ὥραν. (17) καὶ τούτου τοῦ σεμνοῦ καὶ οὕτως ἀξιοπρεποῦς σχήματος ἀπολομένου, οἷα τῆς ἀρχῆς ἢ μηδ' ὅλως ὁρωμένης ἐπὶ τοῦ βήματος ἢ κατὰ τοὺς νόμους τοῦ Καππαδόκου, περὶ οὗ ὕστερον ἐρῶ, ἐν κοιτῶνί τινι λανθανούσης, οὐδεὶς τὸ λοιπὸν ἀξιόλογος 20
παρῆλθεν ἐπὶ τὴν τάξιν οὕτως ἀπερριμμένην καὶ μᾶλλον αἰσχύντην ἢ τιμήν τινα τῷ προσιόντι φέρουσαν. συγκατέπεσεν οὖν ἑαυτοῖς τὰ πράγματα, καὶ προσευτελίσθη παρὰ πᾶσιν ἡ πρώτη καὶ ἀνέσχουσα τῶν ἀρχῶν, καθ' ὁντιναοῦν καιρὸν ἐπὶ τὴν αὐλὴν εὐτελῶς

auditorio, suspenso in medio eius cantharo, appositusque crater; quo cum olim aqua impleretur cantharus, tantum temporis dabat causae transigendae quanto, aqua infusa per gnomonem quendam perfluente, crater vacuabatur; et dicentium oratio tota ad divinum iudicem conversa. quae omnia interiere, ut ne vestigium quidem eorum in iudicio exinde manserit, iudicibus nonnisi in occulto, cum risu adstantium, quasi in mimis causas quasdam audientibus. neque est ullum officium, neque, quod prioris erat consuetudinis, indicium temporis diei indicans. nam officio praepositus (subadiuvam eum vocabant, id est ὑποβοηθόν), munere fungente magistratu, apparitorum in fronte stans, globulos quosdam haud viles, ex argento factos, horas diei Italorum numeris literisque inscriptos, cum gravitate marmoreum in pavimentum subito demittens strepitum ciebat, iacto trochisco horam diei splendide indicante. (17) atque hac veneranda tamque decora institutione sublata, quippe magistratu vel omnino ne apparente quidem in tribunali vel secundum leges Cappadocis, de quo post dicturus sum, in cubiculo quodam latente, nemo porro egregius vir ad officium accessit adeo abiectum ac dedecus potius quam honorem accedenti afferens. itaque cuncta simul corruere; elevatusque prae omnibus primus atque eminentissimus magistratuum, quocunque tempore in aulam nulla observantia arcessitus est, qui antea

ἐλκομένη, τὸ πρὶν μηδέποτε, μήτε γε πάσης τῆς βουλῆς προτρεχούσης ἐν τοῖς λεγομένοις σιλεντίοις, ἐπὶ τῆς αὐλῆς φαινομένη κατὰ τὸ πρόσθεν εἰρημένον, τελευταία μὲν πασῶν εἰσιοῦσα τῶν ἀρχῶν, πρώτη δὲ προϊοῦσα, τῆς βασιλέως εἰκόνος ἀντ' αὐτοῦ παραπεμπούσης αὐτήν, ἔνθεν τοῦ πρώτου τῶν λεγομένων σιλεντιαρίων (ἀμισσιονάλιος καλεῖται) ἐξ ἑωθινοῦ πρὸς τῆς βασιλείας πρὸς αὐτὴν στελλομένου καὶ γοννπετῶς προτρέποντος ἐπὶ τὴν αὐλὴν παρελθεῖν· ἡ δὲ μόγις καὶ ἀπαξιοῦσα τὸν σκυλμὸν ἐκινεῖτο.

18. Ὑπόλοιπον περὶ τῆς τάξεως κατὰ λεπτὸν ἀφηγήσασθαι, πόσοις τε καὶ ποίοις συμπληροῦνται καταλόγοις, ἔθη τε καὶ νόμους ἀπαριθμήσασθαι. πέπεισμαι γὰρ ἤδη μηδὲ μνήμην τινὰ σώζεσθαι τῶν ἄρτι διαπεσόντων, ἀπαιδεύτων οἷα καὶ μηδεμίαν πεῖραν δικασηρίου παρειληφότων ἐπεμβαινόντων τοῖς ποτὲ μόγις πρὸς τῶν ἐμπειροτάτων καὶ πρὸς γῆρας ἤδη σεμνοφανὲς ἀφικομένων μετ' εὐχῆς χειριζομένοις. νόμος γὰρ ἦν, οὐ ψιλῶς ἀλλ' ἐν γράμμασι, μηδενὶ παντελῶς ἐπιτρέπων ἐπὶ τὸ τοῦ βοηθοῦ ἀναβαίνειν φρόντισμα, πρὶν ἂν γένους τε μετριότητι καὶ λόγων ἐλευθερίων παρασκευῇ κοσμούμενος καὶ ἕνατον ἐνιαυτὸν ἐπὶ τῆς δέλτου διατρέψας, δι' ὕλης τε ἐλθὼν τῆς τῶν πραγμάτων πείρας καὶ τὴν ἀπὸ τῆς νεότητος τόλμαν εἰς ἐπιείκειαν μεταβαλών, τιμῆς οὕτω σεμνῆς καὶ δύναμιν οὐ μικρὰν ἐχούσης καὶ κέρδος εἰς χιλίους ποτὲ συναγόμενον χρυσοῦς ἄξιος εἶναι φανείη.

1 εἰ μή γε. F. an μήτι γε? cf. μὴ γοῦν c. 22. 15 lego ψιλός. F.

nunquam nisi in silentiis quae vocant, toto praecurrente senatu, in aula apparebat, postremus omnium magistratuum, ut supra diximus, ingrediens, primusque egredieus, imperatoris effigie ipsius loco comitatus, mane inde imperatore primum silentiariorum (admissionalis vocatur) ad eum mittente, qui flexis genibus eum, ut in aulam veniret, invitabat; ille autem vix, et quod vexationem se indignam putabat, movebatur.

18. Restat ut de officialibus accurate explicemus, quot et quibus catalogis comprehendantur, consuetudinesque et mores enarremus. etenim persuasum habeo, iam ne memoriam quidem eorum qui nuper interierint superesse, quippe cum homines ignari, neque ullum iudicii usum habentes, iis insultent quae olim peritissimi ac venerandam iam ad senectutem provecti cum votis vix tractaverint. lex enim erat, eaque scripta, nemini prorsus ad munus adiutoris adscendere permittens, priusquam et generis honestate et liberalium literarum copia ornatus, novemque annos in codicillo (inter exceptores) egregie versatus atque omnem rerum usum adeptus, iuvenili quoque audacia in modestiam mutata, honoris tam splendidi, potestate non parva et lucro olim mille aureorum gaudentis, dignus videretur.

19. Ἀλλ' ἴσως τῶν ἀναγνωσομένων οἱ νουνεχέστεροι οὐκ ἔξω λόγου καταδραμοῦνται φήσοντες "τί δή ποτε περὶ τῶν ἐπισήμων τῆς ἀρχῆς ὑποσχόμενος εἰπεῖν, μὴ καὶ βηξίλλων καὶ πελέκεων καὶ κλημάτων ἐμνημόνευσας; ταῦτα γὰρ ἦν τῷ ἱππάρχῳ τὸ πάλαι, ἀντ' ἐκείνου δὲ τῶν πραιτωρίων ὕπαρχον ὁ πρῶτος τῶν βασιλέων ἤτοι Καισάρων ἐχειροτόνησεν." ἦν μὲν οὖν, φημί, καὶ ταῦτα γνωρίσματα τῶν πραιτωρίων ὑπάρχων ἄχρι Δομετιανοῦ. αὐτὸς δὲ Φοῦσκον τοὔνομα τῆς ἀρχῆς προστησάμενος ἐγγὺς ὅλην τὴν τῆς ἱππαρχίας μνήμην ἀπήλειψε, μὴ πέλεκυν, μὴ βήξιλλα μηδὲ τὰ λεγόμενα κλήματα καταλιπών. τὸ γὰρ ἐπὶ τοῦ παρόντος τῷ πρίγκιπι κλῆμα φερόμενον οὐδὲν ἕτερον παρὰ τὴν προσηγορίαν διασώζει τῆς ἀρχαιότητος. πάλαι γάρ, καὶ νῦν δὲ παρὰ τοῖς τῶν ὅπλων στρατεύμασιν ἐπιφέρεται ὁ τῶν λεγομένων βιάρχων πρῶτος ῥάβδον κλήματι ἐξ ἀργύρου πεποιημένῳ περιπεπλεγμένην, πρὸς τιμῆς τοῦ ποτὲ τιμηθέντος Διονύσου, ὡς ἐν τοῖς περὶ μηνῶν ἀποχρώντως ἡμῖν ἀνήνεκται. πέλεκυν δὲ μόνῳ τῷ ὑπάτῳ καὶ ταῖς ὑπατικαῖς ἀρχαῖς τῶν ἐπαρχιῶν καταλέλοιπεν ὁ χρόνος ἐναλλαγείς, ἴσως ἐρυθριάσας καὶ τούτου τοῦ γνωρίσματος τὴν ὕπατον ἀφελέσθαι τιμήν. βήξιλλα γὰρ αὐτὸς μόνος ὁ Καῖσαρ ἔχειν τὸ λοιπὸν γνωρίζεται· τίνα δὲ ταῦτα, ἐν τῷ περὶ μηνῶν ἐπεδείξαμεν. κενόδοξος γὰρ ὢν ὁ Δομετιανὸς τοῖς νεωτερισμοῖς ἔχαιρεν· ἴδιον δὲ τυράννου ἀνατρέπειν τὰ πάλαι καθεστηκότα. ὅθεν οὐ μόνον τὴν ἐπαρχότητα τῶν πραι-

2 δή F, δέ vulgo. 8 γῆν C, ut saepius γ pro τ. F. 11 οὐδέτερον vulgo. 12 παρὰ τοῖς F, παρ' αὐτοῖς C. 16 πελέκι C. 17 ἐναλλαγείς F, ἐναλλαγῆς C.

19. At fortasse prudentiores lectorum haud absurde occurrent, dicentes "quid tandem, de insignibus magistratus dicere pollicitus, non et vexillorum et securium et palmitum mentionem fecisti? haec enim magistro equitum olim fuere, pro quo praefectum praetorio primus imperatorum sive Caesarum creavit." fuere igitur, inquam, et haec praefectorum praetorio insignia ad Domitianum usque: is autem cum Fuscum quendam praefecturae praeposuisset, totam fere magistri equitum muneris memoriam exstinxit, non securim, non vexilla, neque palmites quos vocant, relinquens. nam qui hodie a principe fertur palmes, nihil praeter nomen de antiquitate servat. quippe ut olim, ita etiamnum apud armatam militiam primus biarchorum, quos vocant, virgam palmite ex auro facto circumplicatam gestat, in honorem quondam culti Bacchi, quemadmodum in opere de mensibus sufficienter exposuimus. securim autem soli consuli et consularibus provinciarum magistratibus mutata aetas reliquit, erubescens forte et hoc consulatum ornamento spoliare. nam vexilla quidem nunc solius imperatoris insignia; quae qualia sint, in opere de mensibus ostendimus. quippe in inanibus gloriam quaerens Domitianus innovationibus gaudebat: proprium autem tyranno antiqua instituta evertere. itaque non modo de praefecturae praetorii vetere honore detraxit, verum

τωρίων τῆς οὔσης αὐτῇ τὸ πρὶν τιμῆς ἐζημίωσεν, ἀλλὰ μὴν καὶ τὴν πολίαρχον ἐξουσίαν τό γε εἰς αὐτὸν ἧκον διεσπάθησε, δύο πρὸς τοῖς δέκα ὑπάρχους πόλεως ἀνθ' ἑνός, ὡς δὴ καθ' ἕκαστον τμῆμα τῆς Ῥώμης, προχειρισάμενος.

20. Οὐκ ἦν δὲ καταγώγιον ὡρισμένον ἀνέκαθεν οὐδεμιᾷ τούτων τῶν ἀρχῶν, οὐκ ἐπὶ τῆς πρώτης, οὐκ ἐπὶ τῆς καθ' ἡμᾶς βασιλίδος, ὡς ἐπὶ τοῦ παρόντος, ἀλλ' ἐπὶ τῶν οἰκείων ἑδρῶν ὃ τὴν ἀρχὴν ἔπων ἔπραττε. καὶ τοῦτο ἄχρι τοῦ καθ' ἡμᾶς Λέοντος διέμεινεν, ἐφ' οὗ Κωνσταντῖνος τὴν ὕπαρχον ἔχων τιμήν, ἀνὴρ εὐπατρίδης, ἐκ Μαζακῆς μὲν καὶ αὐτὸς ὁρμηθείς, ἀνάλογον δὲ τὴν ἀρετὴν τῇ κακίᾳ τοῦ πονηροῦ Καππαδόκου κεκτημένος, διὰ λόγων τε ἄριστα καὶ διαφερόντως τῶν παρ' Ἰταλοῖς τότε μάλιστα τιμωμένων ἠγμένος, ἀγορὰν ἐδείματο διαπρεπεστάτην, Λέοντος αὐτὴν προσαγορεύσας, ἐν ᾗ καὶ τὴν προαγωγὴν ἐκείνου ψηφῖδι κατεγράψατο. ταύτην, ὡς εἶπον, αὐτὸς οἰκείοις ἀναλώμασι κατασκευάσας, οἷα γειτνιῶν τῷ χωρίῳ καὶ Ῥούφῳ τῷ καθ' ἡμᾶς πάππος γενόμενος, παρεχώρησε τῇ ἀρχῇ, δίαιταν εὐτελῆ καὶ σώφρονα πρὸς θεραπείαν τοῦ κατὰ καιρὸν τὴν ἀρχὴν ἐκδεχομένου κατασκευάσας, πρᾶγμα πάσης ἀποδοχῆς ἄξιον. ἡ πρώτη καὶ ἀνέχουσα τῶν ἀρχῶν, ἡ μόνῳ τῷ σκήπτρῳ παραχωροῦσα, ἐπὶ μικρᾶς... οὕτως ἦν παρὰ τοῖς παλαιοτέροις τὰ τῆς τρυφῆς ἠμελημένα, οἳ μόνης ἀπέλαυον τῆς τῶν ὑποτελῶν εὐθυμίας.

8 lego διέπων. F. an ἔχων? 17 ἐν τῇ C. 21 patet ante οὕτως aliquid excidisse. F.

et praefecturam urbis, quantum quidem in ipso fuit, dilaceravit, duodecim pro uno praefectos urbis, singulos videlicet singulis Romae partibus, constituens.

20. Nulli vero horum magistratuum initio, ut nunc, certum domicilium fuit, neque in prima neque in nostra imperatoria urbe; sed in suis sedibus, qui magistratum gerebant, munere fungebantur. atque hoc usque ad Leonem nostrum mansit, sub quo Constantinus, vir claro genere, e Mazaca quidem et ipse oriundus, virtute autem improbi Cappadocis pravitatem aequiparans, literis quoque, ac praecipue iis quas tum Itali maxime colebant, optime eruditus, cum praefecturam praetorii gereret, curiam iudicialem splendidissimam condidit, Leonisque appellavit, in qua et electionem illius tessellis descripsit. hanc suo, uti diximus, sumptu exstructam, utpote vicinus loco, et Rufi nostrae memoriae avus, modicum magistratui modestumque domicilium concessit, succedentem tum in magistratu colens, remque fecit summa laude dignam. primus summusque magistratuum, qui soli sceptro cedebat, in parva.... adeo quae ad luxum pertinebant, neglecta apud veteres erant, qui sola civium laetitia perfruerentur.

21. Σέργιος δὲ ὕστερον ἐκ τῶν δικανικῶν ῥητόρων, ἀνὴρ σοφιστὴς καὶ διὰ τοὺς λόγους αἰδέσιμος Ἀναστασίῳ τῷ χρηστῷ, τὴν εἰρημένην δίαιταν ὑπερῴῳ φορτώσας καταγωγίῳ τὸ μὲν σῶφρον ὑπερεῖδε, μεῖζονα δὲ τρυφὴν τῆς ἀρχῆς ἤδη μαραινομένης εἰσήγαγεν, οὐ προθεωρήσας (οὐδὲ γὰρ ἀνθρωπίνης φύσεως τὸ ἐσόμενον στοχάζεσθαι) ῥᾳδιέον τῷ Καππαδόκῃ κατασκευάζειν. τῷ γε μὴν βαλανείῳ τῆς διαίτης ἠρκέσθη, ἐπὶ γοῦν αὐτοῦ τιμήσας τὸ μέτριον. ὁ δὲ Καππαδόκης (τίς δὲ οὗτος, μικρὸν ὕστερον ἐρῶ) ἐνοκήψας τῇ ἀρχῇ τὴν μὲν παλαιὰν καὶ οὕτω σεμνὴν τῆς ἀρχῆς δίαιταν ταῖς φάλαγξι τῶν θεραπόντων αὐτοῦ παριχώρησεν, αὐτὸς δὲ ἐπὶ τῆς ὑπερῴας κατακοιταζόμενος, οὔρου καὶ ἀφόδου περισκοποῦντος τὸν κοιτῶνα, γυμνὸς ἐπὶ τῆς κλίνης ἐξεκέχυτο, πάντας τοὺς ἀπὸ τῆς τάξεως ὡσεὶ πονηροὺς οἰκέτας πρὸ τοῦ κοιτῶνος παραφυλάττειν ἐγκελευόμενος, αὐτὸς δὲ τοὺς ἀρίσκοντας ἐπιλεγόμενος καὶ τοῖς θηριωδεστάτοις τῶν οἰκετῶν, βαρβάροις καὶ λύκοις ταῖς ψυχαῖς ἅμα καὶ ταῖς προσηγορίαις, πρὸς τιμωρίαν ἐκτιθέμενος. τρυφῶν οὖν ἐκτόπως, τὸ πάλαι βαλανεῖον εἰς ἔπαυλιν ὑποζυγίων μεταθέμενος ταῖς ἀγέλαις τῶν ἵππων εἰς μέρος βραχὺ παρεχώρησεν, ἕτερον δὲ ἐπὶ τοῦ ἀέρος κρεμάσας βαλανεῖον, καὶ τὴν φύσιν τῶν ὑδάτων εἰς ὕψος ἄτακτον ἀναρρεῖν συνωθήσας, ἐλούετο ἐν αὐτῷ οὕτως ὡς προτετραγῴδηται. εἶτα ἐκεῖθεν τά τε ἀέρος τά τε γῆς τά τε νηκτὰ πάντα μετὰ τῶν ἁπανταχόθεν οἴνων κατέπινε, καὶ μυρίαις συνδιεφθείρετο μίξεσιν ἀδιακρίτοις αὐτός· ἐπὶ τῆς χλαμύδος θεριστρίῳ ὡσεὶ κρηδέμνῳ τὴν κεφαλὴν περι-

24 lego ἐπί τε. F.

21. Postea vero Sergius, unus forensium oratorum, sophista, quem propter doctrinam optimus Anastasius verebatur, memorato domicilio deversorii molem imponens modestiam neglexit, maioremque luxum languescente iam magistratu introduxit, non praevidens (neque enim humanae naturae, futurum divinare) lustrum se Cappadoci exstruere. balneo tamen domicilii contentus fuit, in eo utique modestiam colens. at Cappadox (quis vero hic, paulo post dicam) cum in praefecturam irruisset, antiquum adeoque venerabile magistratus domicilium phalangibus ministrorum suorum permisit: ipse vero in supera illa parte cubans, urina et stercore circum cubile spectantibus, nudus in lecto extendebatur, apparitorum quemvis, veluti improbum servum, ante cubile praestolari iubens, quosque eligere ei visum, ferocissimis servorum, barbaris et lupis animis simul et nominibus, poena afficiendos tradens. luxurians igitur mirum in modum, vetus balneum, in stabulum iumentorum mutatum, gregum equorum parvae parti permisit; aliud autem in aere, aquarum natura ad enormem altitudinem adscendere coacta, balneum suspendit, in quo tragico illo, quo diximus, more lavabatur. inde porro terrestria nereaque ac natantia omnia cum vinis undique advectis devorabat, et mille promiscuis coitibus simul ipse consumebatur; cumque super chla-

δεσμῶν, καὶ τὰς τρίχας ἐνειλῶν τῇ καλύπτρῃ ὡς Πομπηΐου παράσιτος κατὰ τὸν Πλούταρχον ἢ τἀληθὲς εἰπεῖν ὡς οἱ τῆς σκηνῆς ἄρχοντες, διεβασταζετο ἐπὶ τὰς αὐλὰς ἃς αὐτὸς κατεσκεύασεν ἑαυτῷ· ὧν εἴ τις θέλοι τὴν ἀσωτίαν καὶ τὴν τῶν κτισμάτων διεξιέναι τῷ λόγῳ λαμπρότητα, Σεσώστριος ὁμοῦ καὶ Ἀμάσιος καὶ τῶν ἄλλων μαυσώλειά τε καὶ πυραμίδας, καὶ τἆλλα ὅσων οἱ τὰς Αἰγυπτιακὰς ἀναγράψαντες ὑπερηφανίας μνημονεύουσι, μέτριά καὶ φιλοσόφοῦσι πρέποντα κατανλήματα λέγων οὐ σφαλήσεται.

22. Ὑπόλοιπόν ἐστι κατὰ τὸ πρόσθεν ἐπηγγελμένον περὶ τῆς τάξεως εἰπεῖν, ποία τέ τις ἦν ποτὲ παρὰ τῷ ἱππάρχῳ καὶ ποία γέγονε μετ' ἐκεῖνον ὑπὸ τῷ τῶν πραιτωρίων ὑπάρχῳ, περί τε τῶν ἐν αὐτῇ καταλόγων προσηγοριῶν τε καὶ λειτουργιῶν, περί τε ἐθῶν καὶ συμβόλων καὶ τῶν ἐν τοῖς συνταττομένοις χάρταις ῥημάτων, καὶ ἁπλῶς ὅσα ἡμῶν ἄχρι τηρούμενα τῆς ἀρχῆς ἐλαττωθείσης καὶ τῆς ὑπηρετουμένης αὐτῇ τάξεως συμπεσούσης παραπόλωλεν, ὅπως μὴ τοῖς ἴχνεσι τῆς ἀρχαιότητος καὶ αὐτὴ ἡ τῶν ἀρετῶν μνήμη, μὴ γοῦν γράμμασιν ἀναφερομένη, παντελῇ λάχῃ τὴν ἀναίρεσιν. τέως δὲ περὶ τῶν ὑπολοίπων τῆς πολιτείας ἀρχῶν καὶ τὸ δὴ πέρας ἴδιόν τινα περὶ τῆς τάξεως λόγον ἐκθήσομαι· οὐδὲ γὰρ εὐπρεπὲς ταῖς ἀρχαῖς τοὺς ἀρχομένους συναριθμεῖν.

5 σεσώστριν ὁμοῦ καὶ ἄσμασιν C. τοῖς ἄλλοις C. 13 lego σχημάτων. F. 16 lego σὺν τοῖς. F. 20 τοῦ ἀρχομένου vulgo.

myde caput aestiva veste quasi vitta cinxisset, capillosque calyptrae, veluti Pompeii parasitus secundum Plutarchum, sive, ut verum dicamus, veluti scenae magistri, involvisset, in aulas, quas ipse sibi aedificaverat, ferebatur; quarum si quis luxuriam velit et aedificiorum magnificentiam describere, Sesostris una Amasisque et aliorum mausolea ac pyramides, et quaecunque alia commemorant qui Aegyptiorum superbiam literis prodidere, modesta ac philosophos decentia domicilia appellans non falletur.

22. Restat, quod supra promisimus, ut de officio explicemus, quale quondam sub magistro equitum fuerit, et post illum quale sub praefecto praetorii exstiterit, nec non de catalogis eiusdem appellationibusque et muneribus, deque consuetudine et instrumentis institutisque ad chartarum compositionem spectantibus, atque omnino quae ad nos usque servata, imminuto magistratu, et officio quae ei apparebat collapso, una interiere, ne cum vestigiis antiquitatis ipsa quoque virtutum memoria, quippe literis non mandata, penitus exstinguatur. interim vero reliquos rei publicae magistratus persequar, ac postremo scilicet proprium de officio libellum componam: neque enim convenit magistratibus officiales annumerare.

23. *Πάντα τὰ ὄντα καὶ γίνεται καὶ ἔστι κατὰ τὴν τοῦ ἀγαθοῦ φύσιν, τὰ μὲν ὄντα ὡς ἔστι, τὰ δὲ γινόμενα οὐκ ὄντα μὲν ἀεὶ οὐδὲ ὡσαύτως ἔχοντα, διὰ δὲ τῆς γενέσεως ἐπὶ τὴν φθοράν, εἶτα ἐξ ἐκείνης ἐπὶ τὴν γένεσιν ἀναστρέφοντα, καὶ τὸ εἶναι μὲν ἀθάνατα, τὸ δὲ μεταβάλλεσθαι ἀλλοιότερα· εἰς ἑαυτὰ γὰρ ἀναχωροῦντα τῇ μὲν οὐσίᾳ ἔστι, τῇ δὲ φθορᾷ γίνεται, τηρούσης αὐτὰ τῆς φύσεως παρ' ἑαυτῇ προαγούσης τε αὖθις εἰς τοὐμφανὲς κατὰ τοὺς ὑπὸ τοῦ δημιουργοῦ τεθέντας ὅρους. ταῦτά φησιν ὁ λόγος διὰ τὴν ἀρχέτυπον τῆς καθ' ἡμᾶς πολιτείας ὄψιν, ἐφ' ἧς ἴσμεν πρὸ πάσης ἀρχῆς τὴν τοῦ ἱππάρχου δύναμιν, ὡς εἴρηται, γενέσθαι· εἶτα ὡς ἀπαλιφεῖσα ἐκείνη τῷ χρόνῳ εἰς τὴν ὕπαρχον μετεφύη τιμήν. αὐτῆς δὲ τὸ πολίτευμα παραλαβούσης, αὖθις ἡ βασιλεία εἰς τὴν τοῦ ἱππάρχου περιέστη χρείαν· καὶ προῆλθεν εἰς τὸ μέσον, μᾶλλον δὲ προηνέχθη ὑπὸ τῆς τῶν πραγμάτων φύσεως ἡ πρὶν ἀπαλιφεῖσα δι' ἑτέρας προσηγορίας ἀρχή, κατὰ μηδὲν μὲν ἀποδέουσα τῆς οἰκείας ὑποστάσεως, μείζονι δὲ δυνάμει καὶ προσθήκῃ τῶν οὐκ ὄντων αὐτῇ τὸ πρὶν ὠχυρωμένη.*

24. *Καὶ μηδεὶς πρὸς τὸ καινὸν τῆς προσηγορίας ἀποπηδάτω· εἰ γὰρ ἀπίδοι ἐμμελῶς εἰς τὰ πράγματα, οὐδὲ αὐτὴν τὴν ἐπωνυμίαν τῆς ἀρχῆς διαφωνοῦσαν πρὸς ἑαυτὴν εὑρήσει. ὁ μὲν γὰρ ἵππαρχος πυρῆν ἀεὶ τῷ ῥηγὶ ἢ τῷ μονάρχῳ, τῆς μὲν ἱππικῆς δυνάμεως ἡγούμενος, τῆς δὲ αὐλῆς πάσης προιστηκώς, ὥστε ὁ*

4 εἴτε vulgo. τῷ — τῷ? 11 et 15 ἀπολοιφεῖσα vulgo.

23. Omnia quae sunt, et gignuntur et sunt secundum boni naturam: partim quippe sunt, ut sunt; partim vero gignuntur, neque semper sunt, neque eadem manent, sed per ortum ad interitum sive ab hoc ad ortum vertuntur; quatenus sunt, immortalia, quatenus autem mutantur, a semet diversa: in semet enim redeuntia quoad substantiam sunt, quoad interitum vero gignuntur, natura ea apud se servante, iterumque in lucem proferente iuxta leges a rerum opifice constitutas. haec commemoramus ob antiquam rei publicae nostrae faciem, in qua scimus ante omnes magistratus magistri equitum potestatem, sicuti diximus, fuisse, deinde quomodo illa tempore extincta in praefecturam praetorii abierit. qua administrante rem publicam, accidit ut rursus magistro equitum imperator indigeret; processitque in medium, seu potius a rerum natura productus est, deletus olim alio nomine magistratus, neque quicquam eorum quae propria illi fuerant non tenens, et maiori potestate, additisque quae antea non fuerant, firmata.

24. Ac nemo propter nominis novitatem a nobis dissentiat: etenim si recte consideraverit rem, ne ipsam quidem appellationem magistratus a semet discrepare reperiet. nam magister equitum semper aderat regi aut singulare imperium tenenti, equestrium copiarum dux totique

λεγόμενος κατὰ νεωτέραν προσηγορίαν μάγιστρος οὐδὲν ἕτερον ἢ ἵππαρχός ἐστι· τῆς δὲ μεταβολῆς τοῦ ὀνόματος αἰτία ἡ τῆς πλείονος ἐξουσίας ἐπικράτεια γέγονε. τὸ γὰρ μάγιστρος ὀφφικίων ὄνομα οὐδὲν ἧττον ἡγούμενον τῶν αὐλικῶν καταλόγων σημαίνει, ὡς προείπαμεν, ἐν οἷς ἥ τε ἱππικὴ καὶ ἡ πεζομάχος δύναμις τῆς βασιλείας θεωρεῖται, εἰς μυρίους συναγομένη πολεμιστάς. καὶ τοῦτο μὲν μόνον εἶχεν ὁ ἵππαρχος τὸ προνόμιον, ὁ δὲ μάγιστρος τὸ πλέον, τῆς βασιλείας εἰς τοσοῦτον ὕψος ἀνενεχθείσης· τότε μὲν γὰρ μόνην τὴν Ἰταλίαν ἐκέκτηντο Ῥωμαῖοι, νῦν δὲ θεοῦ προϊσταμένου πᾶσαν ὁμοῦ γῆν τε καὶ θάλασσαν ἔχουσιν.

25. Καὶ ὅστις μὲν οὖν ὠνομάσθη τὴν ἀρχὴν μάγιστρος, οὐκ ἔχω λέγειν τῆς ἱστορίας σιγώσης· οὐδὲ γὰρ πρὸ Μαρτινιανοῦ, ὃς ἦν ὑπὸ Λικινίῳ μάγιστρος, ἄλλου τινὸς προσηγορίαν ἡ ἱστορία παραδίδωσιν. αὐτοῦ δὲ τούτου ὑπὸ Λικινίῳ ὁ Κωνσταντῖνος τὴν ὅλην τῆς βασιλείας μόνος κατασχὼν ἐξουσίαν Παλλάδιον μάγιστρον τῆς αὐλῆς ἐχειροτόνησεν, ἄνδρα συνετὸν καὶ Πέρσας Ῥωμαίοις πρότερον καὶ Μαξιμιανῷ τῷ Γαλερίῳ διὰ πρεσβείας φιλώσαντα. τοῖς δὲ ἱμειρομένοις τοὺς ἑξῆς μὴ ἀγνοῆσαι μαγίστρους ἄχρις ἡμῶν ἀρκέσει πρὸς διδασκαλίαν Πέτρος ὁ πάντα μεγαλόφρων καὶ τῆς καθόλου ἱστορίας ἀσφαλὴς διδάσκαλος, δι' ὧν αὐτὸς ἐπὶ τοῦ λεγομένου μαγιστηρίου ἀνεγράψατο.

26. Προῆλθεν οὖν ἡ δύναμις ἐπὶ πλέον τῆς ἀρχῆς· οὐ

16 αὐλῆς] αὐτῆς C. 17 recentior manus φιλιώσαντα.
18 ὁμηρομένοις C.

aulae praefectus; quare qui recentiori nomine magister appellatur, nil aliud nisi magister equitum est; mutati autem nominis causa fuit maior potestas illi attributa. quippe magistri officiorum nomen aeque aulicorum catalogorum ducem, ut praediximus, significat, quibus cum equestres tum pedestres imperatoris copiae, numero decem milia armatorum, continentur. et hoc quidem uno constabat magistri equitum potestas: at magister potior, imperio ad tantam altitudinem evecto. tum enim solam Italiam possidebant Romani: nunc autem, deo gubernante, omnem simul terram mareque tenent.

25. Quis vero primus magister nominatus sit, dicere nequeo tacente historia: neque enim ante Martinianum, qui sub Licinio magister fuit, alius cuiusquam nomen historia prodit. sub hoc ipso autem Licinio Constantinus, solus tota imperii potestate potitus, magistrum aulae Palladium creavit, virum prudentem, qui Persas Romanis et Galerio Maximiano antea legatus conciliaverat. cupientes vero succedentes deinceps ad nos usque magistros non ignorare satis docebit Petrus ille in omnibus excelsus et universae historiae certus auctor, in iis quae de magisterio quod vocant conscripsit.

26. Crevit igitur potestas magistratus: etenim non tantum depre-

μόνον γὰρ τὰς τῶν ἐθνῶν πρεσβείας ὑφ' ἑαυτῷ τελούσας ὁ μάγιστρος ἔχειν πιστεύεται, τόν τε δημόσιον δρόμον, καὶ πλῆθος ἐμβριθὲς τῶν πάλαι μὲν φρουμενταρίων νῦν δὲ μαγιστριανῶν, τήν τε τῶν ὅπλων κατασκευὴν καὶ ἐξουσίαν, ἀλλ' ἔτι καὶ τὴν τῶν πολιτικῶν πραγμάτων, καὶ διαφερόντως Πέτρος οὗτος ὁ πολύς, ὁ μηδενὶ ταῖς ἀρεταῖς κατὰ μηδὲν δεύτερος. διασώζει μὲν γὰρ καὶ φρουρεῖ τὴν αὐλήν, καὶ τὴν Ῥωμαϊκὴν οὐκ ἀποπτύει μεγαλειότητα, ἣν ἐγγὺς ἀπολομένην ἀβελτερίᾳ τῶν πρὸ αὐτοῦ, οἷα σοφὸς καὶ διὰ παντὸς τοῖς βιβλίοις προσανέχων, ἀποκαθίστησι. τοὺς δὲ νόμους εἰδὼς εἴπερ τις ἄλλος, οἷς ἐξ ἁπαλῶν ὀνύχων ἀνετράφη, συνηγορῶν τοῖς δεομένοις, ἄρχων τε μέγιστος καὶ ἀξίαν ὀφρὺν τῆς ἐξουσίας ἀνατείνων ἐδείχθη, καὶ δικαστὴς ὀξὺς καὶ τὸ δίκαιον κρίνειν εἰλικρινῶς ἐπιστάμενος, κατὰ μηδὲν αὐτὸν ὑπτιαζούσης τῆς τύχης. πρᾶος μὲν γάρ ἐστι καὶ μειλίχιος, ἀλλ' οὐκ εὐχερὴς οὐδὲ πρὸς τὰς αἰτήσεις ἔξω τοῦ νόμου καμπτόμενος, ἀσφαλὴς δὲ ὁμοῦ καὶ προβλέπων τὰς ὁρμὰς τῶν προσιόντων, μηδένα καιρὸν ταῖς ῥᾳθυμίαις παραχωρῶν, τὴν μὲν νύκτα τοῖς βιβλίοις τὴν δὲ ἡμέραν τοῖς πράγμασιν ἐκκείμενος, μηδὲ αὐτὴν τὴν μέχρι τῆς αὐλῆς ἐκ τῆς οἰκίας ἐν ὁμιλίαις διασῳζων ἁπλῶς, ζητήμασι δὲ λογικοῖς καὶ ἀφηγήσεσι πραγμάτων ἀρχαιοτέρων μετὰ τῶν περὶ ταῦτα σχολαζόντων εἰλούμενος. καὶ καιρὸς οὐδεὶς αὐτῷ διδαγμάτων ἐστὶν ἀμέριμνος, ὡς τοὺς τῶν λόγων ἐξηγητὰς δεδιέναι τὴν πρὸς αὐτὸν ἐντυχίαν· πράγμασι γὰρ αὐτοὺς καὶ στροφαῖς

11 ἐνετράφη? 16 προϊόντων C. 17 μηδὲν ἄκαιρον C.
18 ἐγκείμενος F.

cationes populorum magistro creduntur, et cursus publicus, et gravis multitudo magistrianorum, qui olim frumentarii dicti sunt, et fabricae potestasque armorum, verum et civilium insuper rerum administratio, ac praecipue Petro illi clarissimo, virtutibus nulla in re cuiquam secundo. conservat enim custoditque aulam, nec Romanam respuit magnificentiam, quam paene extinctam priorum inscitia, utpote sapiens et libris usque deditus, restituit. leges autem, si quis omnino, callens, quibus a teneris unguiculis imbutus est, petentium defensorem se ac summum magistratum, dignamque potestate gravitatem, idemque acutum se iudicem et nudae iustitiae in iudicando cultorem ostendit; neque eum unquam facilem fortuna reddidit. mansuetus enim est et humanus, at non levis; neque precibus a lege flectitur, sed firmus simul est, praevidetque adeuntium conatus. nullum vero tempus remissionibus concedens nocte libris, die negotiis vacat; quin domo in aulam iens, non quolibet sermone contentus, quaestionibus literatis et antiquarum rerum commemoratione cum harum studiosis tenetur. neque est ullum ei tempus doctrinarum incuriosum, ut literarum doctores occursum eius metuant: angustiis enim eos dolisque implicat, modeste sciscitans, ut lo-

περιβάλλει, μετρίως ὑπελέγχων ὡς λέγοιντο μόνον, οὐκ εἰσὶ δὲ τοιοῦτοι ὁποίους αὐτοὺς ἡ φήμη διαθρυλεῖ. ἐμοὶ δὲ μάλιστα σκοτοδινίας οὐ μικρὰς ἀνακινεῖ ἡ πρὸς αὐτὸν συνήθεια· χαίρω γὰρ αὐτῷ, ὅτι καλὸς ἅμα καὶ ἐλεύθερος καὶ τύφου καὶ κορύζης ἐκτὸς ἀστεῖός τε καὶ κοινός· ἀλλ' ἐπισείει μοι, ὡς εἴρηται, φροντίδας οὐ μικράς, μηδὲν ὧν ἐπίστασθαι δοκῶ προτείνων εἰς ζήτησιν, τὰ δὲ παντελῶς ἠγνοημένα παρεισάγων, ὥστε με τὰς πασῶν ἰσχυροτάτας εὐχὰς μελετᾶν, μηδεμίαν αὐτὸν ἄβατον ἐμοί, ὥσπερ εἴωθεν, ἐπιροιζῆσαι θεωρίαν.

27. Τοσούτων ἀρχόντων τῶν ἐπὶ τῆς Ῥώμης τῷ νόμῳ γνωριζομένων μνήμην ἡ καθόλου ἱστορία ἐκ προοιμίων ποιεῖται τῆς Ῥωμαϊκῆς πολιτείας ἄχρι τῆς Ἀναστασίου τοῦ βασιλέως τελευτῆς. κόμητα γὰρ λαργιτιώνων (Ἰταλοὶ λέγουσιν ἀντὶ τοῦ προεστῶτα τῶν τῆς βασιλείας θησαυρῶν) καὶ κόμητα πριβάτων (ἀντὶ τοῦ τῶν ἰδίᾳ πως τοῖς βασιλεῦσι προσηκόντων) οὐκ ἄν τις ἐν ἀρχόντων ἀριθμήσειέ ποτε καταλόγῳ, θεραπόντων δέ· προαγωγῆς ἄρχουσι πρεπούσης ἀξιοῦνται, κατὰ δὲ τὸ δοκοῦν τῇ βασιλείᾳ πρόσφατον ἔχουσι καὶ λανθάνουσαν τὴν γένεσιν, ὥσπερ ὁ λεγόμενος πατριμώνιος, ἀντὶ τοῦ φύλαξ τῆς ἰδίᾳ πως ἀνηκούσης τῷ βασιλεῖ καὶ τυχὸν ἐκ προγόνων περιουσίας, ὃν καὶ αὐτὸν οὐ πρὶν ἀριθμούμενον Ἀναστάσιος ὁ πάντα ἔμφρων ἀνεστήσατο, διάκρισιν, ὥσπερ εἰώθει, περινοῶν τοῖς πράγμασιν, ὅπως μὴ συγχύσει κάμνοιεν.

13 lego ὡς Ἰταλοί. F. 16 lego οὐδὲ γὰρ προαγωγῆς. F.

quantur modo: non sunt autem isti tales quales eos fama circumfert. mihi vero praecipue caligines non parvas movet eius consuetudo: etenim delector eo, quia bonus simul et liberalis remotaque stolida arrogantia comis communisque est: verum, ut dixi, sollicitudines haud parvas mihi incutit, nihil eorum quae scire videar investigandum proponens, sed prorsus ignota protrahens; quare ego omnium vehementissimas preces meditor, ne quam inexpertam mihi, ut solet, quaestionem proferat.

27. Tot magistratus, Romae lege constitutos historia, ab incunabulis rei publicae Romanae ad Anastasii imperatoris obitum, in universum commemorat. nam comitem largitionum (ut Itali dicunt, id est thesauris imperii praepositum) et comitem privatarum (id est peculiarium quodammodo imperatoris facultatum) nunquam, opinor, magistratibus aliquis, sed ministris annumerabit: neque enim electione magistratibus conveniente dignantur, sed prout videtur imperatori, subito occulteque prodeunt, veluti qui patrimonius dicitur (id est custos peculiarium quodammodo imperatoris ac forte a maioribus relictarum facultatum), quem et ipsum antea ignotum in omnibus prudens Anastasius instituit, discrimen, ut solebat, rebus excogitans, ne confusae laborarent.

28. *Μετ' ἐκεῖνον δὲ Ἰουστίνου ἐν ἡσυχίᾳ βιοῦντος καὶ μηδὲν νεώτερον ἐξευρόντος, ὁ μετὰ ταῦτα, ἀδελφιδοῦς αὐτῷ γενόμενος, πᾶν δ τι χρήσιμον περιποιεῖν τοῖς κοινοῖς ἐπειγόμενος, ὅλην τε τὴν ὀφρὺν τῆς ἀρχαίας ὄψεως ἀνακαλούμενος, πρῶτον μὲν ἐξεῦρε τὸν λεγόμενον τῆς Σκυθίας ὕπαρχον. σοφὸς γὰρ ὤν, καὶ διὰ τῶν βιβλίων εὑρὼν ὡς εὐδαίμων μὲν ἡ χώρα τοῖς χρήμασιν ἰσχυρὰ δὲ τοῖς ὅπλοις ἔστι τε νῦν καὶ πάλαι γέγονεν, ἣν πρῶτος ἑλὼν σὺν Δεκεβάλῳ τῷ Γετῶν ἡγησαμένῳ Τραϊανὸς ὁ πολὺς πεντακοσίας μυριάδας χρυσίου λιτρῶν, διπλασίας δὲ ἀργύρου, ἐκπωμάτων ἄνευ καὶ σκευῶν τιμῆς ὅρον ἐκβιβηκότων ἀγελῶν τε καὶ ὅπλων, καὶ ἀνδρῶν μαχιμωτάτων ὑπὲρ πεντήκοντα μυριάδας σὺν τοῖς ὅπλοις Ῥωμαίοις εἰσήγαγεν, ὡς Ἀκρίτων παρὼν τῷ πολέμῳ διισχυρίσατο, συνεῖδεν αὐτός, κατὰ μηδὲν Τραϊανοῦ παραχωρῶν, περισῶσαι Ῥωμαίοις ἤδη ποτὲ ἀφηνιάζουσαν τὴν βορείαν. καὶ θαυμαστὸν οὐδὲν εἰ πάντα κατ' εὐχὰς προῆλθεν αὐτῷ· οὐδὲ γὰρ Τραϊανὸν τοῖς ὅπλοις ἐζήλωσε μόνον, ἀλλ' αὐτὸν Αὔγουστον τῇ περὶ θεὸν εὐσεβείᾳ καὶ τρόπων μετριότητι καὶ Τίτον τῇ καλοκἀγαθίᾳ, Μάρκον δὲ τῇ συνέσει παρώθησεν.* (29) *ὡς ἔφθην εἰπών, προάγει τοίνυν ἔπαρχον ἐπόπτην τῶν Σκυθικῶν δυνάμεων, ἀφορίσας αὐτῷ ἐπαρχίας τρεῖς τὰς πασῶν ἐγγὺς εὐπορωτάτας, Κερασττίδα τὴν καθ' ἡμᾶς Κύπρον, ἀπὸ Κύπριδος κατὰ τὸν μῦθον τιμηθείσης ἐν αὐτῇ μεταβαλοῦσαν τὴν προσηγορίαν, Κα-*

1 *Ιουστινιανοῦ* C. 7 *ἣν* add F. 8 *τῷ* F, *τῶν* C.
10 *τε* F, *δὲ* C. 12 *ὁ Κρίτων* F. 13 *μηδένα* vulgo.
17 *θεῶν* C.

28. Post illum vero cum in otio egisset Iustinus, neque quicquam novi repperisset, qui deinde successit, sororis eius filius, utile quodvis parare rei publicae festinans omnemque antiqui status splendorem revocans, primum quidem, quem praefectum Scythiae vocant, excogitavit. nam cum esset sapiens, et scripta volvens repperisset regionem cum opibus fortunatam tum armis validam et nunc esse et olim fuisse, (quam cum primus cum Decebalo Getarum rege summus princeps Traianus vicisset, quinquagies centena milia auri ac duplicem argenti librarum numerum, praeter pocula et vasa quovis pretio maiora, gregesque et arma, virorum autem bellicosissimorum plus quinquies centena milia una cum armis, Romanis abduxit, quemadmodum Crito, qui bello interfuerat, affirmavit), ipse nulla in re Traiano cedens Septentrionem, qui iam aliquando iugum abiecerat, Romanis servare constituit. nec mirari licet ei omnia e voto cessisse: neque enim Traianum tantum armis aemulatus est, verum ipsum Augustum pietate in deum morumque modestia, et Titum integritate, et Marcum prudentia superavit. (29) igitur, ut modo dixi, praefectum Scythicarum copiarum moderatorem creat, additis tribus omnium fere ditissimis provinciis, Cerastide, quae nunc mutato nomine a Cypride, secundum fabulam in ea culta, Cyprus vocatur,

ρίαν τε ὅλην σὺν ταῖς Ἰωνίσι νήσοις, ἃς ἄρτι τελούσας ὑπὸ τὴν πρώτην τῶν ἀρχῶν, ὥσπερ τὰς ἄλλας ἁπάσας, συνεῖδεν ὁ βασιλεὺς χωρισθείσας αὐτῆς τελεῖν ὑπὸ τῷ Σκυθίας ἐπάρχῳ· καὶ φόρον ἴδιον ἀπένειμε πρὸς δικαστήριον καὶ τάξιν ὅλην, ὡσεὶ σπινθῆρά τινα τῶν ἐν Λιπάρῃ κρατήρων ἀνάψας ἐκ τῆς ἐπαρχότητος, πολλὰ καθ' ὁμαλοῦ χρηστὰ τοῖς κοινοῖς τεχνησάμενος. τήν τε γὰρ μεγίστην καὶ δευτέραν ἐξουσίαν αὐτὸς καὶ μόνος οὐ μετρίως ἐκούφισε πόνων, διελὼν τὰς φροντίδας τῶν πραγμάτων ἄρχουσι πολλοῖς, ἀλλὰ καὶ αὐτοῖς εὐχειρίστους κατέστησε τὰς ἀρχάς, καὶ τοῖς φιλοπράγμοσι τὴν λύσσαν ἐμέτρησε. γλίσχρον δὲ νομίσας μὴ καὶ τὴν πολιαρχίαν ἀπαλλάξαι μοχθημάτων οὐ μικρῶν, καὶ τοῦτο τὸν Τίτον ἐκμιμούμενος, τὸν οὐρβανὸν πραίτωρα τοῖς ἄρχουσι παρεισήγαγεν, ἀρκεῖν οἰόμενος τῷ πολιάρχῳ τὴν πάντα σοβοῦσαν τοῦ δήμου διχόνοιαν, καὶ μετ' αὐτούς, μᾶλλον δὲ πρὸ αὐτῶν κατὰ τὴν ἀρχαιότητα, ὡς προέφαμεν, τὸν λεγόμενον κυαισίτωρα, ἀντὶ τοῦ τῶν βιωτικῶν ἐγκλημάτων ἐρευνάδα σεμνότατον.

30. Ὥσπερ ἀρχέτυπον εἶδος ἡ μονάς, παράδειγμα δὲ μονάδος ἕν, οὕτως ἐν προοιμίοις ἡ καθ' ἡμᾶς εὐδαίμων πόλις τῆς τότε πᾶσαν ὑπεροχὴν ἐκβιβηκυίας Ῥώμης ἐνομίσθη. ὅθεν ὁ Κωνσταντῖνος οὐδαμοῦ πρὸ τῆς ἐπ' αὐτῇ κωνσεκρατίωνος (οὕτω δὲ τὴν ἀποθέωσιν Ῥωμαῖοι προσαγορεύουσι) Ῥώμην νέαν δείκνυται καλῶν, κάστρα δὲ καὶ αὐτὴν ἴσα ταῖς ἄλλαις τῶν χωρῶν·

1 ἄρτι] ἀντὶ vulgo. 11 ἀπαλλάξῃ vulgo. μικρὸν C. κἀν τούτῳ? 14 τῷ δήμῳ C.

Cariaque tota cum Ioniis insulis; quas, cum antea sub summo magistratuum, sicut ceterae omnes, fuissent, ab eo seiunctas imperator Scythiae praefectum tenere voluit; propriumque reditum constituendo iudicio et totum officium concessit, quasi scintillam quandam Liparae craterum e praefectura praetorii accendens, multa simul rei publicae utilissima meditatus. quippe tum amplissimam secundamque potestatem ipse solusque non parum sublevavit laboribus, rerum administrationem in multos magistratus dispertiens; tum etiam faciliora iis munera reddidit, litiumque amantibus furorem est moderatus. parvum autem putans, nisi et praefecturam urbis molestiis haud levibus liberaret, in hoc quoque Titum imitatus, praetorem urbanum magistratibus adiecit, sufficere praefecto urbi omnia concutientem populi discordiam reputans; nec non post illos, (seu potius, si antiquitatem spectes, ante illos, ut supra rettulimus,) quaesitorem quem vocant, id est rerum capitalium investigatorem gravissimum.

30. Quemadmodum originalis species monas, exemplum autem monadis unum, sic felix nostra civitas Romae, tum super omne culmen eminentis, initio putabatur. unde Constantinus ante eius consecrationem (ita autem apotheosin Romani dicunt) nullibi eam Romam novam, sed castra, pariter ceteris locis, ipsam quoque appellavit: cuius rei argu-

καὶ τούτων ἄν τις ἐπιστήσεται τοῖς ἐλέγχοις, εἰ ταῖς διαλέξεσι Κωνσταντίνου, ἃς αὐτὸς οἰκείᾳ φωνῇ γράψας ἀπολέλοιπεν, ἐντεύξεται. εἰκόνα τοίνυν καὶ στοχασμὸν ἀνυδροῦ παραδείγματος εἶναι κρίνων αὐτὴν πρὸς ἐκείνην, δύο πραίτωρσιν ἀρκεσθῆναι συνεῖδε διὰ τὸ τῶν οἰκητόρων μέτριον καὶ τῶν πραγμάτων σμικρόν. ἐκ τῆς φάλαγγος οὖν τῶν ἐν τῇ Ῥώμῃ πραιτώρων τὸν τουτηλάριον προχειρίζεται ... τὸν μὲν Κωνσταντιανὸν τὸν δὲ μάγιστρον τοῦ κήνσου ἐπιφημίσας, οἱονεὶ ἄρχοντα τῶν ἀρχετύπων συμβολαίων, ὅτι κῆνσον μὲν τὴν ἀπογραφὴν τῶν ἀρχείων, ῥέγεστα δὲ λέγουσι· καὶ σκρίβαν μὲν ἐκείνῳ (ἀντὶ τοῦ ὑπογραφέα), κηνσουάλης δὲ τούτῳ (ἀντὶ τοῦ ἀρχειοφύλακας) ὑπηρετεῖσθαι διώρισε. τῆς δὲ ἡμετέρας Ῥώμης, καὶ νεμέσεως ἔξω, καὶ τὴν πρώτην τῆς δυνάμεως ἀποκρυπτούσης, συνεῖδεν ὁ κράτιστος καὶ τῆς τοῦ οὐρβανοῦ πραίτωρος δεῖσθαι παρόδου. προάγει τοίνυν αὐτὸν τῇ οἰκείᾳ σεμνύνων προσηγορίᾳ, ἅμα τῶν τοῦ δήμου παραπτωμάτων ἀψόμενον, ἅμα τὴν πολιαρχίαν φροντίδων ἀμετρίας ἐπικουφίσας ἐμφρόνως.

2 an καταλέλοιπεν? sed cf. 3 33: συγγραφὴν Κέλσος ἀπολέλοιπεν. ἐντεύξηται vulgo. 7 patet excidisse nomen alterius praetoris. F. 9 ἀρχαίων vulgo, et mox ἀρχαιοφύλακας. 16 ἀψόμενος F.

menta reppererit, qui tractatus Constantini legerit, quos ipse patrio sermone scriptos reliquit. simulacrum igitur eam et speciem obscuri exempli ad illam esse iudicans, duos ei praetores sufficere arbitratus est propter incolarum et causarum paucitatem. e phalange itaque urbis Romae praetorum tutelarium creat.... illum Constantianum, hunc magistrum census (id est archetypis instrumentis praepositum, quia censum vocant instrumentorum perscriptionem, quam eandem et regesta dicunt) appellavit; scribamque illi, id est exceptorem, et censuales huic, id est instrumentarios, apparere voluit. nostra autem Roma (sit dicto venia!) primam adeo potentia obscurante, optimus noster imperator urbano etiam praetore opus esse duxit. creat itaque eum suoque nomine illustrat, simul populi delicta aggressurus, simul praefecturam urbis immensa curarum mole sapienter levans.

Λ Ο Γ Ο Σ Γ.

Τοῦ νόμου τῆς ἱστορίας, ὡς οἶμαι, τηρηθέντος, καὶ τὸ πρόσθεν ἐπηγγελμένον, τῶν πολιτικῶν ἀρχῶν διὰ τοῦ λόγου παρελθουσῶν, ἐπῆλθεν ἐμοὶ ἴδιόν τινα καὶ μονήρη λόγον περὶ τῆς μεγίστης τάξεως τῆς πρώτης τῶν ἀρχῶν ὑποθεῖναι τῇ ἱστορίᾳ, δι' οὗ ἄν τις ἀμυδρῶς ἐσοπτρίσαιτο τὴν πάλαι κρατήσασαν ἐν αὐτῇ λαμπρότητα καὶ εὐταξίαν, ἣν ἐγγὺς ἀπολομένην ὁ γενναῖος ἡμῶν βασιλεὺς οὐκ εἴασε παντελῶς ἀποσβεσθῆναι, συνέχει δὲ ὥσπερ καὶ σφίγγει διαρρέουσαν τῷ χρόνῳ τὴν ἀρχαιότητα. καὶ μεῖζον μέν ἐστι δι' αὐτοῦ ἤπερ ἄρτι καθεστήκει τὸ πολίτευμα, Λιβύης ἡμῖν ἀποδοθείσης (οὐ μικρὸν δὲ τὸ κτῆμα, τῆς δὲ Εὐρώπης τὸ πλεῖστον· κοινωνεῖ γὰρ αὐτῇ τοῦ ζεφύρου, καθὸ τὸν εὖρον ὅλον δίδωσιν ἡ Ἀσία καὶ μόνη), καὶ αὐτῆς δὲ Ῥώμης, τῆς τῶν πραγμάτων μητρός, ἀπαλλαγείσης ἱδρῶτι τῆς βασιλείας δεσμῶν καὶ βαρβαρικῆς ἐξουσίας. πάντα δέ, ὅσα ἦν ποτὲ τῆς πολιτείας γνωρίσματα, μετὰ κρείττονος ἀποσώζεται δυναστείας· οἵ τε νόμοι θαρέβων καὶ πολυφόρτου συγχύσεως ἀπηλλάγησαν, καὶ προσωνές ἐστι τὸ δίκαιον, καὶ μεταμέλει τοῖς φιλοδικαίοις τὸ πρὶν ἐναγρυπνῆσαι ταῖς φιλονεικίαις, μάχης οὐδεμιᾶς τὸ λοιπὸν διὰ τῆς τῶν νόμων καθαρότητος ὑπολιμπανομένης. καὶ κρείττων μὲν ἡ βασιλέως

5 ἐσοπτρον σοι τα C: corr F. 16 προσφανές vulgo. 17 lego φιλοδίκοις F.

L I B E R III.

Historiae lege, ut opinor, observata, et secundum quod ante pollicitus sum magistratibus civilibus enarratis, visum est mihi proprium quendam ac singularem libellum de maximo officio primi magistratuum historiae subiicere, in quo quis pristinum eius splendorem egregiamque disciplinam obscure intueatur; quam pene perditam generosus noster imperator non passus est funditus extingui, continetque quodammodo et constringit dilabentem tempore antiquitatem. ac maior quidem quam nuper per illum est res publica, Libya nobis reddita, non parvo bono, Europaque maximam partem (hac enim in Occidentem porrigitur, sicut Orientem totum Asia solaque tribuit), ipsa autem Roma, imperii matre, vinculis et barbarica potestate sudore imperatoris liberata. omnia vero quae quondam fuere rei publicae ornamenta, maiori cum potestate restituuntur, legesque turbis ac multiplicis onere confusionis liberatae; patetque iustum, ac litium amantes paenitet contentionibus olim vigilasse, nulla in posterum propter legum claritatem pugna relicta. ac virtus qui-

ἀρετὴ ἐπαίνου παντός, ἐμοὶ δὲ καὶ καιρὸς ἐπὶ τὸν σκοπὸν διαβῆναι τῷ λόγῳ.

2. Ἡ τοίνυν τῷ ἱππάρχῳ πειθαρχήσασα τάξις ποτὲ ἐν ὅπλοις μὲν ἦν ἅπασα, ὀνόματα δὲ αὐτῇ καθ' ὁμαλοῦ προμῶται, ὅπερ ὄνομα εἰς τέσσαρας τέμνεται καταλόγους, εἰς δουκηναρίους, εἰς κεντουρίωνας, εἰς βιάρχους· περὶ ὧν ἂν κατὰ τὴν τῶν τακτικῶν παράδοσιν ἀφηγησάμην, εἰ μὴ πόρρω που τοῦ σκοποῦ παρωθούμην. καὶ ταύτης τῆς προσηγορίας, τῆς τῶν προμωτῶν λέγω, ἔτι καὶ νῦν αἱ λεγόμεναι μάτρικες (ἀντὶ τοῦ ἀπογραφαὶ τῶν καταλόγων) μνήμην ἀναφέρουσιν. ἀπὸ δ' Αὐγούστου εἰς ἕτερον σχῆμα τῆς ἀρχῆς περιστάσης, ὡς πολλάκις εἴρηται, προσετέθησαν οἱ λεγόμενοι ἀδιούτωρες, οἱονεὶ βοηθοί· καὶ ταύτης μόνης τῆς προσηγορίας μνημονεύουσιν αἱ παρὰ τῶν βασιλέων παρεχόμεναι τοῖς εἰς στρατείαν παριοῦσι προβατωρίαι, οἱονεὶ συστάσεις καὶ ἀποδείξεις· οὐδὲ γὰρ ἁπλῶς τὸ πρὶν ἄδειαν εἶχεν ὁ βουλόμενος ζώνην περιθέσθαι οἱανοῦν, μὴ πρότερον ἀποδείξας ὡς εἴη πρὸς αὐτὴν ἐπιτήδειος· προβᾶρε γὰρ τὸ μετὰ δοκιμῆς ἐπιδεῖξαι τὸ ὑποκείμενον λέγουσιν οἱ Ῥωμαῖοι. νῦν δὲ τὸ πλῆθος αὐτὰς ἐξ ἀμαθοῦς μαντείας, ταληθὲς παραδηλούσης, πριβατωρίας καλεῖ, αὐτόθεν τὴν ἰδιώτου τύχην εἰσαγούσης· οὐδὲ γὰρ ἰδιώτου διαφέρουσιν οἱ μόνῃ προσηγορίᾳ στρατείαν οἱανοῦν ὑπερχόμενοι, οὐχ ὅτι τὰ πράγματα μὴ τὴν κρείττονα καὶ καρπιμωτέραν εἴληχεν ὄψιν

5 τέσσαρα — λόγους C, τέσσαρας — καταλόγους F, coll. 1 48. 8 λόγῳ C. 10 δ' vulgo om. 13 παρασχόμεναι vulgo. 15 ἀ...ν C, exstinctis mediis literis.

dem imperatoris quavis laude maior; iamque tempus est me ad propositum progredi.

2. Cohors igitur, cui praefuit magister equitum, armata olim tota fuit, dictaque communi nomine promoti, quod quidem nomen in quattuor catalogos dividitur, in ducenarios, centenarios, biarchos; de quibus quae tactici tradidere, exponerem, si non a proposito longius essem aberraturus. atque huius appellationis, promotorum dico, etiamnum matrices quas vocant, id est catalogorum indices, mentionem faciunt. ab Augusto mutata, ut saepe diximus, magistratus forma, additi sunt qui adintores vocantur, id est βοηθοί; atque hanc solam appellationem commemorant quae ad militiam accedentibus ab imperatoribus praebentur probatoriae, id est testimonia et specimina (neque enim olim nullo discrimine cuilibet cingulum qualecunque induere licuit, antequam se ad illud aptum esse probasset): probare enim Romanis est rem specimine ostendere. nunc autem vulgus eas rudi divinatione, verum prodente, privatorias appellat, privati condicionem inde arguens: neque enim a privato differunt qui solo nomine militiam qualemcunque ineunt, non

τῇ βασιλέως ἐμμελείᾳ, ἀλλ' ὅτι αὐτοὶ οὐκ εὐπρεπεῖς πρὸς τὰς λειτουργίας παρίασιν.

3. Κοινῇ μὲν οὖν ἅπασι τοῖς καταλόγοις ἐκ τῆς βασιλέως ὑποσημειώσεως ἀδιούτωρες, ἐπὶ τοῦ μετώπου τῆς παρατάξεως τὸ πάλαι ταττόμενοι. φησὶ γὰρ οὕτως, et colloca eum in legione prima adiutrice nostra, οἷον εἰπεῖν "καὶ τάξεως αὐτὸν ἐν τῷ πρώτῳ τάγματι τῷ βοηθοῦντι ἡμῖν." ὅθεν ὁ πρωτεύων τοῦ παντὸς καταλόγου ἔτι καὶ νῦν κορνικουλάριος ἀναφέρεται, ἀντὶ τοῦ κεραίτης ἢ πρόμαχος. μέσος μὲν γὰρ ἦν τῆς στρατιᾶς ἐπὶ τῆς συμπλοκῆς μονομάχος ἦγουν ὕπαρχος ἢ ὁ Καῖσαρ. τὸ δὲ ἰμπεράτορος ἐπώνυμον κοινὸν ἦν αὐτοῖς, ὡς ἔφην· οὐδὲ γὰρ μόνων τῶν βασιλέων ἐστίν, ἀλλ' ἀπολύτως τοῦ αὐτοκρατῶς διοικεῖν εἰληχότος τὸν πόλεμον. καὶ μέσος μὲν ἦν, ὡς εἴρηται, ὁ αὐτοκράτωρ, ὡς Φροντῖνος λέγει, ἐξ εὐωνύμου δὲ πλευρᾶς ὁ ἵππαρχος ἦγουν ὕπαρχος, ἐκ δὲ τῆς ἑτέρας οἱ πραίτωρες ἢ λεγάτοι (ἀντὶ τοῦ στρατηγοὶ καὶ πρεσβευταί), οὓς κατελίμπανον οἱ ὕπατοι ἀνθ' ἑαυτῶν ἤδη τοῦ τῆς ὑπατείας αὐτοῖς συντελουμένου χρόνου, εἰς τὸ ἐφιστάναι τῷ στρατῷ ἄχρι τῆς τοῦ μέλλοντος ὑπάτου ἐπὶ τὸν πόλεμον παρουσίας. τῆς δὲ καλουμένης λεγιῶνος εἰς ἑξακισχιλίους τελούσης πεζομάχους τὸν ἀριθμὸν (οὐσῶν δέκα μόνων τῶν

5 *et colloca* scripsi pro *esare*, quod, si recte lego, habet C. verba *prima adiutrice nostra*, in C pariter depravata, e loco codicis Iustinianei (12 tit. 53 3) petivi, ubi legitur: *eum in legione prima adiutrice nostra militant.* F. 9 legendum, ni fallor, χειράστης. F. 10 lego ὁ μόναρχος. F. 12 αὐτοκράτορος C. 14 nempe, ni fallor, in opere de scientia militari, 1 47. F. 16 πρεσβύται vulgo. 18 ἐφιστάναι vulgo. 20 δέκα F, δὲ καὶ C.

quod non melior rebus imperatoris solertia fructuosiorque status contigit, sed quoniam ipsi ad munera inepti accedunt.

3. Ac communiter quidem in omnibus catalogis ex imperatoris subscriptione adiutores in fronte aciei olim collocabantur. ait enim sic "et colloca eum in legione prima, adiutrice nostra." unde totius catalogi princeps etiamnum cornicularius, id est cornutus sive in prima acie pugnans, appellatur. medius quippe exercitus in conflictu erat, qui summam imperii tenebat, praefectus praetorio scilicet vel Caesar. imperatoris autem nomen, ut diximus, commune iis erat: neque enim Caesarum tantum est, sed omnino eius qui bellum suo arbitratu administrandum sortitus est. ac medius quidem, ut diximus, erat imperator, quemadmodum Frontinus ait, a sinistro autem latere magister equitum sive praefectus praetorio, et ab altero praetores aut legati (id est duces et legati), quos pro se consules, iam exeunte consulatus eorum tempore, relinquebant, qui, donec futurus consul ad bellum adesset, exercitui praeessent. legio autem (ut vocant) cum sex milia peditum numero complecteretur (erant autem initio decem omnino legiones, prae-

πασῶν λεγιώνων ἀνέκαθεν, ἔξωθεν ἱππικῆς Ῥωμαϊκῆς καὶ αὐξιλιαρίας καὶ κοορταλίας καὶ τουρμαλίας καὶ τῶν λοιπῶν δυνάμεων, εἶτα δὲ καὶ ξενικῆς), ὡς ἔφην, πρῶτος ἐτέτακτο ὁ κορνικουλάριος, καὶ διὰ τοῦτο προύστηκεν ἔτι καὶ νῦν τῆς πάσης τάξεως, ἐπεὶ μηκέτι ἐπὶ τοὺς πολέμους ἀφικνεῖσθαι τὸν ὕπαρχον ἔδοξεν, δι' οὓς εἰρήκαμεν λογισμούς.

4. Τῶν οὖν ἄλλων πάντων ἀδιουτώρων ὄντων, ὁ ὕπαρχος δι' οἰκείας ὑποσημειώσεως δίδωσι τῷ πρὸς τὴν στρατείαν ἐρχομένῳ εἰς ὃν αὐτὸς ἕλοιτο ταχθῆναι κατάλογον. αἱ δὲ προαγορίαι τῶν πάντων καταλόγων τῆς τάξεως αὗται. ὁ κορνικουλάριος πρῶτος, τῇ τοῦ λεγομένου κόμητος ἐμπρέπων λαμπρότητι, μήπω τὴν ζώνην ἀποθέμενος καὶ πρὸς τὴν ἀπὸ τῆς βασιλείας τιμὴν καὶ τὴν τῶν λεγομένων κωδικίλλων (ἀντὶ τοῦ δέλτων) ἐλπίδοσιν ἀνελθών, οὐδενὶ τῶν ἐν ἄλλοις στρατεύμασι πρωτευόντων ταύτης τῆς προνομίας ὑπαρχούσης. μετὰ δὲ τὸν κορνικουλάριον πριμοσκρίνιοι δύο, οὓς Ἕλληνες πρώτους τῆς τάξεως καλοῦσι, κομμεντα[ρ]ίσιοι δύο (οὕτω δὲ τοὺς ἐπὶ τῶν ὑπομνηματογράφων πραττομένων ὁ νόμος καλεῖ), ῥεγενδάριοι δύο οἱ τὸν δημόσιον δρόμον ἰθύνοντες, κοῦρα ἐπιστολάρουμι Ποντικῆς δύο.

5. Ἀλλ' ἴσως ἄν τις οὐκ ἔξω λόγου πύθοιτο, τὴν αἰτίαν ἐπιζητῶν, τίνος χάριν, πασῶν τῶν διοικήσεων ἐχουσῶν τοὺς καλουμένους κοῦρα ἐπιστολάρουμι, τὸ πόλεως σκρινίον τό τι τῶν ὅπλων καὶ τῶν ἔργων οὐκ εἴληχε; δηλονότι τὸ μὲν τῆς πόλεως εἰς

5 ἐπεὶ μηκέτι vulgo om. 6 nempe in iis, puto, quae periere. v. 1 48. F. 17 ἐπὶ τῇ τῶν ὑπομνημάτων γραφῇ ταττομένους ὁ?

ter equitatum Romanum, auxiliarium, cohortalem, turmalem, ceterasque copias, nec non mercenarios), primus, ut dixi, collocabatur cornicularius; ideoque etiamnum toti officio praeest. praefectum praetorio bella administrare placuit, ob quas commemoravimus rationes.

4. Cum igitur ceteri omnes adiutores sint, praefectus praetorio sua subscriptione ad militiam accedenti, in quo ipse velit catalogo collocari, permittit. nomina autem omnium officii catalogorum haec: cornicularius, qui primus comitis, ut vocant, splendore eminet, necdum cingulo liberatus, neque solitum ab imperatore honorem et codicillos quos vocant (id est δέλτους) consecutus; qua praerogativa nemo in aliis exercitibus princeps gaudet. post cornicularium vero primiscrinii duo, quos Graeci primos officii appellant; commentarienses duo (ita autem vocari solent qui hypomnemata scribunt); regendarii duo, qui cursum publicum regunt; curae epistolarum Ponticae provinciae duo.

5. At fortasse aliquis haud absque ratione interroget, causam inquirens, quare, cum omnes administrationes habeant qui curae epistolarum vocantur, urbis armorum operumque scrinia iis careant? videlicet

τὴν Θρᾳκικὴν διοίκησιν ἀναφέρεται, τὸ δὲ τῶν ἔργων εἰς ἄλλας τυχὸν ἐπαρχίας συμβαίη τὰς ἀνανεώσεις γίνεσθαι τῶν ἔργων· ὅτι δὲ οὐ σφόδρα συνεχεῖς, ὑπὸ τῶν ἐν ταῖς διοικήσεσιν ἐκείναις κοῦρα ἐπιστολάρουμι τὰ προστάγματα τῆς ἐπιδιδομένης ἀπὸ τοῦ δημοσίου διαπάντης γίνεται. τὸ γὰρ τῶν ὅπλων σκρινίον ὡρισμένας μὲν ἔχει τὰς ἀπὸ τῶν ἐπαρχιῶν συντελείας, νεῦρα λέγω καὶ κέρατα καὶ τὰ λοιπά, πρὸς δὲ τὰς ἀνακυπτούσας χρείας ἐν τοῖς πολέμοις ὑπουργεῖ τοῖς προστάγμασιν.

6. Πολλῆς δὲ οὔσης ὑπὲρ ἀριθμὸν τῆς τῶν ταχυγράφων πληθύος, καὶ οὐ μικρὰς ἐχούσης ἀφορμὰς ἐπὶ κέρδους ἐργασίας, οἱ τούτων καὶ λογικώτεροι καὶ πρὸς τὴν ὑπηρεσίαν ἀρκοῦντες ἐν πεντεκαίδεκα συναγωγαῖς, ἃς καλοῦσι σχολάς, συλλεγόμενοι, [οἱ] τὴν οὖσαν αὐτοῖς πεῖραν τοῖς πράγμασιν ἐπιδειξάμενοι ἐπὶ τὸ τάγμα τῶν Λυγουσταλίων, εἴγε ἄρα θέλουσι, παρίασι καὶ εἰς τὸ τοῦ κορνικουλαρίου πλήρωμα καταντῶσι, μετὰ μέντοι τὴν λεγομένην βοηθοῦραν· οἱ μένοντες ἐπὶ τῆς δέλτου εἰς τὸ τοῦ πριμισκρινίου ἀναφέρονται πλήρωμα. καὶ περὶ μὲν τούτου ἀκριβέστερον ον το πως εἴρηται, (7) μετὰ δὲ τοὺς ἐπὶ ταῖς λογικαῖς τεταγμένους λειτουργίαις εἰσὶν οἱ λεγόμενοι σιγγουλάριοι, ἄνδρες ἐνιρχεῖς, ἐπὶ τὰς ἐπαρχίας δημοσίων ἕνεκα χρειῶν ἀποστελλόμενοι· ὧν ἀνέκαθεν τὰς ἀναγκαιοτάτας καὶ εἰς αὐτὴν συντελούσας τὴν ὅλην πολιτείαν χρείας ἐγχειριζομένων παρεισέδυ, τῆς ἐπαρχότητος ἤδη μαραινομένης, ἡ τῶν λεγομένων μαγιστριανῶν

2 ἐπαρχίας ἐν αἷς συμβαίη F. 3 ἐν vulgo om. 9 οὔσης καὶ ὑπὲρ? cf. c. 14. 11 οἱ] τῇ vulgo. 18 lego ἐντόπως. F.

urbis scrinium ad Thraciam administrationem refertur, operum vero ad alias forte provincias, in queis operum restaurationes fieri contingit; quae quoniam non admodum crebrae, ab illarum dioecesium curis epistolarum addendus e publico sumptus imperatur. nam armorum scrinium certa habet a provinciis tributa, nervos inquam, arcus et reliqua, necessitatibus autem in bello obviis imperando subvenit.

6. Innumera autem cum sit notariorum multitudo, magnasque lucri parandi opportunitates habeant, literatiores eorum et ministerio pares in quindecim ordinibus, quas scholas vocant, colliguntur; e quibus qui suum tractandis rebus usum probavere, in Augustalium ordinem, si quidem volunt, neque tamen nisi post boethuram, ut vocant, recepti, militiam cornicularii, qui autem in codicillo manent, eandem primiscrinii munere implent. ac de his quidem suo loco accuratius explicavimus. (7) literatis vero ministeriis praepositos sequuntur quos singulares dicunt, viri solertes, publicorum negotiorum gratia in provincias proficiscentes; qui cum maxime necessaria et ad ipsam summam rei publicae pertinentia negotia inde ab initio curassent, languescente iam praefectura praetorii, magistrianorum, quos vocant, inanis ostentatio irrepsit. sin-

κομποφακελλορρημοσύνη. σιγγουλαρίους δὲ τοὺς εἰρημένους καλεῖσθαι συμβέβηκεν ἐκ τοῦ ἑνὶ βιραίδῳ χρωμένους (ἤγουν ἑνὸς δηλονότι παρίππου) ἐπὶ τὰς ἐπαρχίας ὁρμᾶν· σιγγουλάριον γὰρ τὸν μονήρη Ἰταλοῖς ἔθος καλεῖν. μεθ' οὓς μάγκιπες, οἱ τοῦ δημιώδους καὶ ἀνδραποδώδους ἄρτου δημιουργοί· ὑφ' οἷς ἀρτοποιοὶ καὶ οἱ λεγόμενοι καθολικῶς συστήματα διαψηφιστῶν, οἳ πᾶσι τοῖς ὁπωσοῦν σίτησιν δημοσίαν ἔχειν ἠξιωμένοις ὑπακούουσι· καὶ Ῥωμαῖοι μὲν αὐτοὺς ῥατιωναλίους καλοῦσιν, ὅτι κατ' αὐτοὺς ῥατιῶνες οἱ λογισμοὶ λέγονται, οἱ δὲ Ἕλληνες καθολικοὺς μετωνόμασαν ἐκ τῆς καθόλου περὶ τοὺς δημοσίους λογισμοὺς ἀγρυπνίας. ἔνθεν σιτῶναι, οὓς Οὐΐκτωρ ὁ ἱστορικὸς ἐν τῇ ἱστορίᾳ τῶν ἐμφυλίων φρουμενταρίους οἶδε τὸ πρὶν ὀνομασθῆναι, ὅτι τῆς τοῦ παλατίου εὐθηνίας τὸ πρὶν ἐφρόντιζον. Ῥουφίνου δὲ τηνικαῦτα τὴν ὕπαρχον ἀρχὴν τυραννίδι κρημνίσαντος καὶ αὐτοὶ παραπώλοντο. τελευταῖοι πάντων οἱ τὸ πρὶν πρωτεύοντες οἷα τὴν τοῦ ἱππάρχου κατ' ἀρχὰς πληροῦντες θεραπείαν, δουκηνάριοι καὶ βίαρχοι καὶ κιντηνάριοι καὶ κεντουρίωνες· ὧν πάντων τὰς Ἑλληνικὰς σημασίας προαποδεδώκαμεν. ὅτι δὲ τῆς τοῦ ἱππάρχου ἐτύγχανον τάξεως, γνῶναι δυνατὸν διὰ τῶν ἐπ' αὐτοῖς ἐκ τῆς αὐλῆς προφερομένων κωδικίλλων, οἳ περὶ ἀξιωμάτων τινῶν καὶ οὐ περὶ αὐτῶν διαγορεύουσιν.

2 βιρίδω C. 3 ὁρᾶν C. 11 σιτώνας C. locus Victoris est in libro de Caesaribus c. 39. 15 τελευταῖον C. 17 lego ἦ: sunt enim centenarii iidem qui centuriones. F. 18 scilicet in iis quae desiderari diximus 1 48. 20 lego ἐν κωδικίλλοις. F.

gularium autem illis nomen inde venit, quod uno veredo (uno videlicet parhippo) in provincias proficiscentes utebantur: singulare enim apud Italos sonat unum. sequuntur mancipes, qui plebeium ac servilem panem conficiunt; sub quibus pistores, et qui communi nomine collegia rationalium appellantur, qui omnibus quocunque modo victu publico gaudentibus operam dant. et Romani quidem illos rationales vocant, quia computationes eorum sermone rationes dicuntur; Graeci vero mutato nomine catholicos dixere, quod in universum publicis rationibus vacant. sequuntur sitonae, quos Victor historicus, in historia Caesarum, frumentarios olim appellatos esse novit, quoniam palatii annonae olim praecerant. Rufini autem tyrannide tunc praecipitata praefectura praetorii et ipsi periere. postremi omnium, qui olim primi, quippe qui magistri equitum ministerium initio compleverint, ducenarii, biarchi, centenarii sive centuriones; quorum omnium Graeca nomina supra retulimus. militasse vero eos in magistri equitum officio, arguunt quae super iis ex aula proferuntur in codicillis, in quibus de honoribus quibusdam neque de ipsis agitur.

8. *Τοιαῦται μὲν καὶ τοσαῦται τομαὶ τῶν καταλόγων τῆς ἀρχῆς. κούρσωρες γάρ, οἱονεὶ ταχυδρόμοι, τὴν τῆς στρατιίας ἀπαλλαγὴν ἐπὶ τῆς αὐλῆς εὑρίσκουσιν· ἀπλικιτάριοί γε μὴν καὶ κλαβικουλάριοι, ὧν οἱ μὲν τοὺς ῥαβδούχους μόνον τοὺς συλλαμβάνοντας τοὺς ἐγκλημάτων ἕνεκα πιεζομένους, οἱ δὲ τοὺς δεσμὰ περιτιθεμένους αὐτοῖς διασημαίνουσι, λειτουργίας, οὐ μὴν στρατείας καὶ βαθμοῦ πέρας ...ξ...ενον ὧν εἰσὶ δεικτικοί· ὑπασπίζουσι γὰρ τοῖς κομμενταρισίοις, οὓς ὑπομνηματογράφους ἡ τάξις Ῥωμαίων ὠνόμασεν, ὡς ἔφαμεν. ὃν γὰρ τρόπον οἱ νομενκλάτωρις φρόντισμα πληροῦσι καὶ τοὺς ῥήτορας ...λέγουσιν, ἐξ ὀνόματος ἀναφωνοῦντες αὐτούς, οὕτως ἐκεῖνοι ταῖς ἐγκληματικαῖς ὑπηρετοῦνται δίκαις. οἱ δὲ νομενκλάτωρες, ὥς φησιν ὁ Αἰμίλιος ἐν τῷ ὑπομνήματι τῶν Σαλλουστίου ἱστοριῶν, ὀνομασταὶ καὶ ἀναφωνῆται τῶν τογάτων (ἀντὶ τοῦ τῶν δικολόγων) εἰσίν. τογάτους δὲ Ῥωμαῖοι τοὺς μὴ στρατευομένους καλοῦσι, φαινόλας δὲ περικειμένους καὶ τοῖς λέγουσι τὰς δίκας μισθοῦ συναγορεύοντας· ἐπὶ γὰρ τῆς ἀγορᾶς αὐτοὺς καὶ περὶ τὰ βιβλία σχολάζοντας καὶ ταῖς νομικαῖς δυσκαλίαις ἀγρυπνοῦντας οἱ τὰς δίκας λέγοντες ἐπὶ τοὺς πεδανέους (ἀντὶ τοῦ χαμαιδικαστὰς) περὶ τὸν καιρὸν τῆς διαγνώσεως ἐκάλουν πρὸς συνηγορίαν. ταύτῃ καὶ* advocati, *οἱονεὶ προσκαλούμενοι, ἔτι καὶ νῦν λέγονται. τουρμαρίους γὰρ ἔτι φθάσας διαμέμνημαι παρόντας τῷ σκρινίῳ τῶν σουβαδιουβῶν καὶ*

6 lego λειτουργιῶν. F. 7 literas in C exstinctas punctis indicavi. F. an ἀναδεξαμένων εἰσὶ? 8 τοὺς C. 12 οἱ δὲ F: in C literae exstinctae. 13 ὑ....ματι C. ἀνα...νηται C: cf. c. 20. 16 ψισθῶ C, μισθῷ F. 18 lego δυσκολίαις. F.

8. Tales totque partes catalogorum officii. nam cursores (id est ταχυδρόμοι) finem militiae in aula reperiunt: applicitarii vero et clavicularii, quorum illi lictores tantum reos vinciendos comprehendentes, hi autem vincula iisdem circumdantes significant, munerum, quae eorum nomine indicantur, non autem militiae gradusque finem consequuntur: apparent enim commentariensibus, qui, ut diximus, hypomnematographi in officio Romano appellantur. nam quemadmodum nomenclatores munere funguntur, rhetoresque, clamantes eorum nomina, indicant, sic illi criminalibus in causis apparent. nomenclatores autem, ut Aemilius in commentariis ad Sallustii historias ait, nominatores indicesque togatorum (id est advocatorum) sunt. togatos autem Romani vocant eos qui non militant, sed togam gerunt et causas dicentes mercede adiuvant: in foro enim versantes, literisque et iuris difficultatibus vacantes, ab iis quibus causa dicenda ad pedaneos iudices (id est χαμαιδικαστάς) circa tempus cognitionis patroni vocabantur. quare etiam advocati, id est προσκαλούμενοι, etiamnum dicuntur. turmarios quidem egomet memini apparentes etiam in scrinio subadiuvarum, et completionibus (id est

ταῖς κομπλετίωσι τῶν ἐντυχιῶν (οἱονεὶ πληρώσεσι) προσλειτουργοῦντας καὶ παραψυχὴν οὐ μικρὰν ἀναλεγομένους· τοσαύτη τις ἦν ἡ τῶν πραττομένων κάρπιμος ἀφθονία. διαιτάριοι πρὸς τούτοις καὶ θηκοφόροι καὶ πραίκωνες λειτουργίας μὲν ἀναδέχονται, ἐν δὲ ἑτέροις τάγμασιν ἀναφέρονται.

9. Εἴρηται πρόσθεν ἓν μὲν ἀνέκαθεν εἶναι τὸ τῶν ταχυγράφων σῶμα, εἰς δύο δὲ τάγματα διῃρῆσθαι καὶ πληρώματα· οἱ μὲν γὰρ αὐτῶν ἐπὶ τῆς δέλτου μένοντες τὸν χρόνον διώκουσι καὶ εἰς τὸ τοῦ πριμισκρινίου πλήρωμα παρίασιν, οἱ δὲ εἰς τὸ τῶν Αὐγουσταλίων τάγμα μεθιστάμενοι καὶ θᾶττον τὴν στρατείαν πληροῦντες πρὸς τοὺς ταχυγράφους καὶ εἰς τὸ τοῦ κορνικουλαρίου καταντῶσιν ἀξίωμα. ὅπως δὲ μὴ καὶ τοὺς ἔξωθεν λάθῃ τὰ τῆς διαιρέσεως (καὶ γὰρ ὑσημέραι ἀγνοοῦντες μάτην ζητοῦσιν οἱ πολλοί, πρὸς τὰς εἰρημένας προσηγορίας ... τόμενοι), τὴν αἰτίαν τῆς εἰς δύο τοῦ ἑνὸς σώματος τομῆς ἐποδείξω τῷ λόγῳ. οἱ ταχυγράφοι πολλῶν ἐ...ονται, καθάπερ οἱ τριβοῦνοι, πρὸς τὸ διανύσαι τὴν στρατείαν· καὶ γὰρ εἰς πλῆθός εἰσιν ὥσπερ ἐκεῖνοι. ...τι δὲ τυχὸν ὁ χρόνος αὐτοὺς ἐπὶ τὸ πέρας τῶν πόνων καλεῖ, γήρᾳ κάμνουσι πάντως πρὸς κοπιάτους ἀχρήστῳ. εἰκὸς οὖν οὐκ ἀρκοῦντες πρὸς τὰς τῶν ἀνωτέρων βαθμῶν λειτουργίας, πρὸς ἃς

1 ἐντυχία et hic et 3 11 est charta sententias sive iudicatum continens, quem alibi usitatiore voce χάρτην appellat Lydus. cf. 3 68. F. 4 πρίκονες C. 7 διιρῆσθαι C. 11 καὶ delendum censet F. 12 λάθῃ τὰ τῆς] coniectura ex reliquiis literarum. F. 13 μάτην ζητοῦσιν] coniectura ex reliquiis literarum. integrum mansit σιν. F. 14 lego ταραττόμενοι. F. 16 lego ἐτῶν δέονται. F. 18 lego εἴ τι. F. ἐπὶ] περὶ vulgo. 19 ὡς εἰκός? an εἰκότως? cf. 3 19, 27, 69.

πληρώσεσι) chartarum operam dantes, ac non parvo solatio gaudentes: ea erat rerum agendarum fructuosa abundantia. diaetarii porro et cistiferi et praecones ministeriis funguntur quidem, alios autem ad ordines pertinent.

9. Diximus supra unum initio esse notariorum corpus, duos autem in ordines, diversis militiae terminis, dividi: alii enim illorum in codicillo manentes tempus agunt, ac militiam primiscrinii, alii vero, in Augustalium ordinem transgressi, eandem, cito prae notariis, cornicularii munere implent. cuius divisionis ne vel profanos ratio lateat (etenim quotidie ignorans frustra quaerit vulgus, memoratis nominibus perturbatum), causam, cur in duas partes unum corpus divisum, explicabo. notarii, sicut tribuni (quippe et pari cum iis numero sunt), multis annis indigent ad militiam implendam; quos si forte tempus circa finem laborum vocat, senectute gravantur ad labores prorsus inutili. necessario igitur impares superiorum graduum ministeriis, ad quae corporis vigore

μόγις οἱ νεότητι σώματος καὶ πείρᾳ πραγμάτων ὠχυρωμένοι κινδύνων ἔξω διαρκοῦσι, δέονται βοηθῶν. καὶ ἀνέκαθεν μὲν ἕκαστος τρεῖς ἄνδρας τοὺς πάντα ἀρίστους ἐκ τῶν ταχυγράφων ἐπελέγετο (οὐδὲ γὰρ ἐξῆν μὴ τοὺς πείρᾳ τε καὶ λόγοις κοσμουμένους τὴν λειτουργίαν τοῦ δικαστηρίου πληροῦν), νῦν δὲ τὰ μὲν τῆς ἐπιλογῆς οἴχεται, ὁ δὲ ἀριθμὸς ἔτι καὶ νῦν σώζεται. ἔνθεν ἓξ βοηθοὺς παρεῖναι συμβαίνει τῷ τε σκρινίου τῷ τε κομιενταρισίου καὶ τῷ τοῦ πριμισκρινίου, ἐπειδήπερ, ὡς προδεδήλωται, ἀνὰ δύο ἐπ' ἔτος ἕκαστον ἐκ τῶν ταχυγράφων τῆς ζώνης ὁ νόμος ἀπαλλάττει. καὶ τίς οὐκ ἂν στοχάσηται, πρὸς τὸ πλῆθος τῶν βοηθούντων ἀφορῶν, τὴν τοῦ δικαστηρίου μεγαλειότητα καὶ τὴν τῶν ἐν αὐτῷ πραττομένων τὸ πρὶν ἀπειρίαν; ἐπὶ δὲ τοῦ παρόντος, πραγμάτων μὲν μὴ ὄντων τοῖς ὑπηκόοις καλῶν πρὸς τὴν ἀρχὴν ... τῶν ἁπανταχῇ συρρεόντων, τῶν δὲ ... αλίων ἴσως κατ' αὐθεντίαν (μετὰ συγγνώμης εἰρήσθω· καὶ γὰρ λόγων εἰσὶν ἐρασταί) ἐπὶ δικαστὰς ἑτέρους καὶ θνμήρεις τοῖς πράττουσι τὰς δίκας διὰ τῶν λεγομένων θείων κελεύσεων ἀπαγόντων. (10) κερδῶν δὲ οὐ σμικρῶν τὸ πρὶν ἐπ' εἰρήνης καὶ τιμῆς ἐξοχωτάτης μετὰ δυνάμεως ἰσχυρᾶς περιγινομένων τοῖς τῶν εἰρημένων σκρινίων βοηθοῖς, εἰκὸς ἦν ἐμφορουμένους αὐτοὺς ἀπαξιοῦν αὖθις ἐπὶ τὴν δέλτον καὶ τὴν ἐξ ἀκερδείας ἐπιείκειαν ἀναστρέφειν. ἔνθεν ἐκ δεήσεως αὐτῶν

7 lego τῷ τε τοῦ ἀβ ἄκτις σκρινίῳ, τῷ τε τοῦ. scrinia, quibus adiutores leguntur (v. 3 11, 16, 20), tria sunt, videlicet primi-scriniorum, commentariensium et actis praefectorum. F. 8 ὡς προδεδήλωται] nempe in iis quae periisse diximus 1 48. F. 13 καλὸν C. post ἀρχὴν plures literae exstinctae. F. 14 βασιλέων?

et rerum experientia roborati vix sine periculo sufficiunt, adiutoribus egent. et olim quidem singuli tres viros omnia praestantissimos de notariis eligebant: neque enim licebat non usu literisque ornatos iudicii ministeria implere. nunc autem electio negligitur, numerus vero etiamnum servatur. inde actis praepositorum et commentariensium et primi-scriniorum scrinio sex adiutores apparent, quandoquidem, ut supra ostendimus, binos quotannis notarios lex cingulo liberat. ac quis non, adiutorum multitudinem intuens, splendorem iudicii rerumque agendarum infinitam olim in eo copiam fuisse intelligat? cum nunc nullae sint civibus lites, (quicquid usquam egregii ... ad principium confluente,) et ... tamen pro suo arbitrio (bona venia dixerim: sunt enim literarum amantes) ad alios gratosque litigantibus iudices per sacras iussiones, ut vocant, causas deferant. (10) quoniam vero non parvo lucro, olim in pace, atque eminentissimo honore magna cum potestate praedictorum scriniorum adintores gaudebant, necesse erat repletos dedignari iterum ad codicillum moderatumque lucrum reverti. inde rogatu illorum lex ab

νόμος πρὸς Ἀρκαδίου τίθεται, θεσπίζων ἰδιάζον καὶ πάντῃ κεχωρισμένον σύστημα τριάκοντα τὸν ἀριθμὸν ἀνδρῶν, ἤδη πρότερον ἐν τῷ βοηθεῖν διαφαινομένων, συσιῆσαι τὴν ἐπαρχότητα πρὸς ὑπηρεσίαν ἑαυτῇ. οὐδὲ γὰρ εὐχερὲς ἦν τὸ τηνικαῦτα, τῶν βασιλέων ἅμα τῇ βουλῇ δίκας ἀκροωμένων, τοῖς πάντα ἀρίστοις ὑπηρετεῖν· ὥστε καὶ πεντεκαίδεκα ἐξ αὐτῶν τῶν πεπανωτέρων πείρᾳ τε καὶ τῷ χρόνῳ κρειττόνων πρὸς ὑπογραφὴν τοῖς βασιλεῦσιν ἀφορισθῆναι, οὓς ἔτι καὶ νῦν δηπουτάτους καλοῦσιν, οἳ ταῦ τάγματος τῶν Αὐγουσταλίων πρωτεύουσιν· οὔπω γὰρ ἦν τὸ τῶν ἄρτι παραφυέντων ἀσηκρήτις ὄνομα, μετρίων σφόδρα τῶν χρηματικῶν ζητήσεων οὐσῶν, τῶν μὲν ἔμπροσθεν βασιλέων ἐπὶ τοὺς πολέμους ὁρμώντων, καὶ τῶν τὰς ἐπαρχίας ἰθυνόντων τοῖς νόμοις ἀλλ' οὐ ταῖς κλοπαῖς προσαγρυπνούντων. τῷ δὲ συστήματι τῶν εἰρημένων τριάκοντα ἀνδρῶν τὴν τῶν Αὐγουσταλίων ὁ νόμος ἔθετο προσηγορίαν, οὐ καινὴν οὐδὲ πρόσφατον, τὴν δὲ τοῦ πρώτου τῶν βασιλέων ὀνομασίαν ἀνακαλεσάμενος, ὡς πολλάκις ἔφαμεν, ὃς πρῶτος τὴν ἐπαρχότητα συστησάμενος τῶν πραιτωρίων τοὺς ὑπ' αὐτῇ τελοῦντας Αὐγουσταλίους ἐκ τῆς οἰκείας προσηγορίας καλεῖσθαι διώρισεν.

11. Τῶν πλείστων, τάχα δὲ πάντων τῶν ἰχνῶν ἀπαλιφέντων τῆς ἔμφρονος παλαιότητος, οὐκ ἐξῶ δακρύων τις διατελῶν ὑπομείνοι, γιγνώσκων ἐκ τῶν ὑποκειμένων ὅπως ἀντείχετο πρὶν ὁ νόμος τῆς τῶν ὑπηκόων ἐλευθερίας, καὶ ὅσων κατὰ σμι-

1 ἰδιάξων C. 5 τοὺς πάντας ἀρίστους C. 16 ὁ C.
20 ἀπαλοιφέντων vulgo. 21 lego διατελεῖν ὑπομένοι. F.

Arcadio lata, sanciens ut peculiare ac prorsus separatum collegium triginta numero virorum, qui iam antea inter adiutores eminuissent, praefectura ministerium sibi constitueret. neque enim tum, imperatoribus una cum senatu causas audientibus, omnia praestantissimis facile ministerium fuit, adeo ut ex ipsis maturioribus usuque ac tempore praestantibus, quindecim imperatoribus exceptores selecti sint, quos etiamnum deputatos vocant, qui Augustalium ordinis principes sunt. necdum enim nuper creatorum a secretis nomen erat, modicis admodum pecuniariis quaestionibus, cum priores imperatores in bella proficiscerentur, rectores autem provinciarum legibus, non rapinis vigilarent. collegio autem illorum triginta virorum Augustalium nomen lex posuit, non novum neque recens, sed primi principum nominis memoriam revocans, qui, uti saepe diximus, cum praefecturam praetorii primus instituisset, in ea militantes Augustales a suo nomine appellari voluit.

11. Vestigiis prudentis antiquitatis maximam partem ac fortasse omnibus exstinctis, a lacrimis sibi non temperaverit, qui e sequentibus intelliget quomodo olim civium libertati lex consuluerit, quotque paula-

κρὸν ἀγαθῶν ἐκ τῆς τῶν ἀρχομένων κακοδαιμονίας ὁ καθ' ἡμᾶς χρόνος ἐξέπεσεν. ἔθος ἀρχαῖον ἦν μηδὲν ἔξωθεν πράττεσθαι τοῦ τῆς δίκης ἱεροῦ, ὃ καλεῖται σήκρητον οἱονεὶ ἀτάραχον καὶ σιγῇ σεμνὸν καὶ ὁποῖον οὐκέτι κατ' οὐδένα τρόπον, ὅπως μή τι πρὸς ὕβρεως ἢ βλάβης τῶν συντελῶν ἁμαρτηθείη. μετὰ δὲ τὴν ἔνθεσμον τῶν ψήφων ἀπόφασιν νόμος καὶ τοὺς συνεδρεύοντας τῇ ἀρχῇ ἄνδρας νομικωτάτους, ἀναγινώσκοντας πρῶτον τὰς ψήφους καὶ ὑποτάττοντας τῷ λεγομένῳ σχεδαρίῳ τὸ παρ' Ἰταλοῖς καλούμενον ῥίκινον (ἀντὶ τοῦ ἀντιβολὴν) διδόναι πρὸς ὑπογραφὴν τῆς ἀρχῆς τοῖς εἰς τοῦτο τεταγμένοις· καγκελλαρίους αὐτοὺς ἐν τοῖς δικαστηρίοις ἐπιφημίζουσι, περὶ ὧν πρὸς πέρας ἐρῶ. εἶτα ἐκεῖθεν πρὸς τῶν σηκρηταρίων ἐμμελῶς ἀναγινωσκομένου τοῦ λεγομένου καθαροῦ, οὕτω τε ἀπολυομένου τῷ λιτιγάτωρι (οἱονεὶ δίκης ἕνεκα παραφυλάττοντι), σύνοψιν ὁ σηκρητάριος ἐποιεῖτο τῆς τοῦ πεπραγμένου δυνάμεως τοῖς Ἰταλῶν ῥήμασι, καὶ ταύτην ἐτήρει παρ' ἑαυτῷ πρὸς κώλυμα τολμηρᾶς προσθήκης ἢ ὑφαιρέσεως. οὗ δὴ γενομένου λαβὼν ὁ πράξας, καὶ τῆς ἀκριβείας θαυμάσας τὸ δικαστήριον, παρῄει πρὸς τοὺς πριμισκρινίους τάξαντας ἐκβιβαστὴν τοῖς ἀποπεφασμένοις· οἱ δὲ διὰ τῶν βοηθεῖν αὐτοῖς τεταγμένων, ἀνδρῶν καὶ διδασκάλοις αὐτοῖς πράγματα περὶ λόγων ζητήσεις παρεχόντων, ἐπλήρουν, ἐπὶ τοῦ νώτου τῆς ἐντυχίας γράμμασιν αἰδοῦς αὐτόθεν ἁπάσης καὶ ἐξουσίας ὄγκῳ σεσοβημένοις, πρὸς τὴν προσηγορίαν τοῦ πληρωτοῦ προσγράφοντες.

4 οὐκ ἔστι? 8 τὸ F, τῷ C. 9 ῥίκινον depravatum videtur. F. 18 παρίει C. τάξοντας? 21 ἐπλήρου C. 22 σεσοβημένος C.

tim bonis, infelici illorum fato, aetas nostra exciderit. mos antiquus erat nihil agi extra templum iustitiae, quod secretum dicitur, inturbidum videlicet ac silentio venerabile, et quale nunc nullo modo est; ne quid cum iniuria damnove civium peccaretur. sententiis vero legitime pronuntiatis, lex erat et assidentes praefecturae viros iuris peritissimos lectas primum sententias schedario, ut vocant, subiicere, et quod recinum Itali vocant (id est ἀντιβολήν), a magistratu subscribendum huic rei praepositis tradere: cancellarios eos in iudiciis vocant; de quibus ad extremum dicturus sum. inde porro a secretariis puro, ut vocant, rite lecto, sicque tradito litigatori (quippe causae gratia adstanti), synopsin summae acti secretarius Latino sermone faciebat, eamque apud se servabat, ne quid audacia adderet demeretve, impediens. quo facto, cum (purum) recepisset litigator, rigorem iudicii admiratus ad primiscrinios, qui sententiarum executorem constituerant, progrediebatur: hi autem per apparentes ipsis adiutores, viros vel ipsis magistris circa literarum quaestiones negotium facessentes, implebant, in aversa charta, literis omnem statim reverentiam ac potestatem prae se ferentibus, ad nomen completoris adscribentes.

12. Ἐμοὶ δὲ δακρύειν ἐπέρχεται τὴν τοῦ νόμου συνιόντι δύναμιν, καὶ ὅπως πάσης ἡμᾶς ἀρετῆς ἀφείλετο καταξῶν ὁ δαίμων. ὑποπτεύων γὰρ ὁ νόμος, καὶ οὐκ ἔξω λόγου, τὴν τῶν παριζομένων τὰς ψήφους πρὸς τοὺς πληρωτάς, αὐτῶν τὰς καθ' ὧν προσφέροιντο αὐθάδεις ὁμονοίας, αὐστηροῖς καὶ ποιναὶς ἀπειλοῦσι ῥήμασι παραγγέλλεσθαι διώρισε πρὸς τῶν ὑπηρετουμένων τῇ δίκῃ τοὺς ἐγχειριζομένους, καὶ ταῦτα γράφεσθαι πρὸς ἐντροπὴν τῶν πάντα τολμώντων ἐν ταῖς ἐπαρχίαις ἐκβιβαστῶν. ἐπιτρέπων γὰρ ὥσπερ ὁ βοηθὸς τοῖς πρωτεύουσι τοῦ τάγματος, ἐν ᾧ συνέβαινε καταλέγεσθαι τὸν ἐπὶ τὴν πλήρωσιν τῶν ψήφων στελλόμενον· τούτοις γὰρ γράφων ἐχρῆτο τοῖς ῥήμασιν, ὡς ἄν τις καθ' ἑρμηνείαν εἴποι, πρὸς τοὺς πρωτεύοντας, ὡς ἔφην, τοῦ καταλόγου ἐν ᾧ τελεῖ τυχὸν ὁ τὰς ψήφους ἐγχειριζόμενος· "ὥστε μὴ περὶ τὸν βαθμὸν ἑαυτοῦ ἐξ ἀπολείψεως βλάβην ὑποστῆναι, ἀφορίσατε τόνδε ἐκ τάξεως, ἀπὸ τῆς παρούσης ἡμέρας ἄχρι τῆσδε, ὑπατείας τοῦδε, εἰ μέντοι ἐστὶ τῆς ὀρθοδόξου πίστεως τοῖς θείοις μεμυημένος μυστηρίοις, καὶ μὴ δημοσίοις τελέσμασιν ὑπεύθυνός ἐστι, μηδὲ πρὸς γένους συνάπτεται τῷ τὴν αἴτησιν ἀποθεμένῳ, μηδὲ μὴν ἐπὶ τοῦ παρελθόντος ἐνιαυτοῦ ἐνεχειρίσθη ἐπὶ τῆς αὐτῆς ἐπαρχίας, δημοσίας ἕνεκεν ἢ ἰδιωτικῆς χρείας, οὕτω μέντοι ὥστε μὴ παραβῆναι τὴν δύναμιν τῶν νενομοθετημένων." τούτοις μὲν τοῖς ῥήμασιν ὁ βοηθὸς τοῦ πριμισκρινίου τοὺς πραττομένους κατ-

1 συνορῶντι? 4 lego ἢ αὐτῶν. F. 11 post ῥήμασιν in C sequuntur Latina adiutoris verba, a Lydo in Graecum versa; sed haec penitus atque, ut cernere licet, data opera erasa sunt. F. 18 γένος vulgo. 20 ἢ ἰδιωτικῆς F, ἠδιωτικῆς C.

12. Mihi vero lacrimae oboriuntur legis vim, ac quomodo nos dilaceraverit omnique virtute spoliaverit daemon, mecum reputanti. suspicans enim lex, neque sine causa, eorum qui porrigerent sententias cum completoribus, aut horum cum iis contra quos ferrentur, audaces consensus, severis poenasque minitantibus verbis admoneri a ministris iustitiae eos quibus crederentur praecepit, haecque scribi, quo omnia audentes provinciarum executores pudore reprimerentur. adiutor enim, quasi permittens principibus ordinis, in quo forte militabat, eum qui ad implendum sententias mittebatur: his enim verbis, uti secundum versionem dicere possis, utebatur, ad principes, ut dixi, catalogi, ad quem forte pertinet, cui sententiae creduntur, scribens "ita, ut circa gradum ipsius nullum ex intermissione damnum patiatur, hunc ex officio seligite, a praesenti die ad hanc, consulatus huius; si quidem orthodoxae fidei divinis mysteriis initiatus, neque aut publicorum tributorum reddendae rationi obnoxius, aut cum eo qui postulavit genere coniunctus est, neque vero elapso anno in eadem provincia, publica vel privata in re cura ei mandata fuit; ita tamen ut vim lege sancitorum non violetis." his verbis adiutor primiscrinii agentes omnes firmabat; post eum vero

ησφαλίζετο πάντας. μεθ' ὃν ὁ πρίγκηψ, οἷον ὁ πρωτεύων, περὶ οὗ τέως εἰπεῖν οὐ καιρός· οὐδὲ γὰρ μέρος τῆς τάξεώς ἐστι καὶ αὐτός, αὐτὸς δὲ τῶν μαγιστριανῶν κατὰ βαθμὸν παραγίνεται ἐπὶ τὰ μέγιστά ποτε δικαστήρια· καὶ μικρὸν ὕστερον τὴν ἐπ' αὐτῷ ἱστορίαν ἐκθήσομαι. μεθ' οὓς ὁ κορνικουλάριος, οἷα τὴν ὅλην τοῦ νόμου δύναμιν διατηρῶν καὶ τῶν πραττομένων πάντων κύριος, δι' οἰκείας ὑποσημειώσεως τὴν ὀφρὺν ἐδίδου τοῖς ἀποπεφασμένοις.

13. Τοσαῦτα δὲ ἦν τὰ τότε πραττόμενα ὡς δεκάτῳ τόμῳ μόγις ἀναλαμβάνεσθαι πρὸς σύνοψιν. καὶ τί χαλεπὸν ἐμβραδῦναι τῷ λόγῳ πρὸς ἀπόδειξιν τοῦ προκειμένου; τοσοῦτον ἦν τὸ πλῆθος τῶν πραττομένων ὡς ὅλον τὸ ἔτος μὴ ἀρκεῖν τοὺς βοηθοῦντας πρὸς πλήρωσιν αὐτῶν, ὥστε μετὰ τὸ πέρας τῆς λεγομένης βοηθούρας ἔχειν χῶρον ἀπονενεμημένον αὐτοῖς ἐπὶ τῆς μέσης εἰσόδου τῆς πρωτωρίας αὐλῆς πρὸς τοῦ σκρινίου τῆς Εὐρώπης, ἐν ᾧ συντρέχοντες ἐπλήρουν τὰ ἐπὶ τῆς αὐτῶν λειτουργίας πραχθέντα. καὶ αὐτοὶ μὲν οἱ ἄρτι τοῦ βοηθεῖν τοῖς τρέχουσι σκρινίοις πεπαυμένοι τούτοις ἐνησχολοῦντο, παραψυχὴν οὐ μικρὰν κερδῶν ἐκλεγόμενοι· οἱ δὲ πρὸ αὐτῶν καὶ ἤδη πρότερον σχολάζοντες ἐκεῖ συνέρρεον τὰς μεγίστας καὶ λαμπρὰς τῶν τῆς ἀρχῆς προστάξεων ἐγχειριζόμενοι, καὶ ὅσαις ἕτερός τις πέρας οὐκ ἴσχυσεν ἐπιθεῖναι, μηδὲ τὸν τῆς ἀργίας καιρὸν ἔρημον λογικῶν ζητημάτων ἀπολαμβάνοντες, τῶν ἐνδόξων ἐν διδασκάλοις λόγων συντριχούντων ὡς αὐτοὺς καὶ περὶ τῶν ἀγνοουμένων συζητούντων. ἀπέσβη δὲ οὕτως ἅπαντα ὡς τοῦ

1 ...τας C. 3 αὐτὸς δὲ] ἀπὸ δὲ? καταβάθμων C. 9 σύναψιν C. 14 ᾧ F, ἣ C. 23 ἀπεσόβη vulgo.

princeps, de quo dicere necdum tempus est (neque enim et ille pars est officii, verum e magistrianis gradatim ad maxima olim iudicia accedit; eiusque historiam paulo post explicabo); post quos cornicularius, quippe totam legis vim custodiens, agentiumque omnium primus, sua subscriptione auctoritatem iudicatis dabat.

13. Tanta autem tum erat agendorum copia, synopsin eorum ut vix decimum volumen complecteretur. quidni ad rem declarandam longiores simus? ea erat agendorum multitudo, ut toto anno iis implendis adiutores non sufficerent, ideoque post boethuram quam vocant locum ipsis destinatum, in medio introitu praetoriae aulae, prope scrinium Europae, haberent, in quo concurrentes sub ipsorum ministerio acta implebant. et ipsi quidem, qui nuper adiuvare currentia scrinia desierant, his operam dabant, non parvo lucri solatio gaudentes: qui vero ante illos ac prius etiam cessaverant, eodem confluebant, iisque maximae et gravissimae magistratus iussiones, et quibuscunque finem imponere alius haud potuisset, mandabantur; qui ne otii quidem tempore ab literatis quaestionibus vacabant, cum clari inter literarum magistros ad eos concurrerent, incognita simul investigantes. quae cuncta sic evanuere, ut

τόπου τὸ λοιπὸν σχολάζοντος τοὺς λεγομένους ἐκσκεπταρίους (οἱονεὶ ὑποδέκτας τοῦ σίτου) κατασχεῖν τὸ σκρινίον, τῶν πάλαι θαυμαζομένων ἀφανισθέντων.

14. Πολλῶν δὲ καὶ ὑπὲρ ἀριθμὸν τῶν ἐξολωλότων τῆς πάλαι σεμνότητος γνωρισμάτων, καὶ χάρτην ἀπαιτεῖν οἱ τῆς τάξεως ὑπομένουσι τοὺς πράττοντας, τὸ πρὶν εἰωθὸς μὴ μόνον μὴ τοιούτοις γλίσχροις ἐγείρειν, ἀλλ' ἔτι καὶ τοὺς πάντων διειδεστάτους χάρτας ἐπὶ τοῖς πραττομένοις ἀναλίσκεσθαι, ἀναλόγως ἐμπρεπόντων τοῖς κύτεσι τῶν γραφίων. τὸ δὲ λοιπὸν ἑκάτερον ἐκποδών, καὶ χαλκοῦν κάρτα μέτριον καὶ αἰσχρὸν εἰσπράττουσιν ἐξ ἀκερμίας, καὶ χόρτον ἀντὶ χάρτου γράμμασι φαύλοις καὶ πενίαν ὄζουσιν ἐκδιδοῦσι. ταῦτα πάντα παραπόλωλε καὶ ἀνυπόστροφον ἀπῆλθεν ὁδὸν τῷ τε μὴ εἶναι πράγματα τοῖς ὑπηκόοις πενίᾳ καταφθειρομένοις, τῷ τε τὰ τυχὸν ἐπὶ τὸ δικαστήριον φερόμενα νῦν μὲν ἀπειρίᾳ τῶν ἐν αὐτῷ τελούντων, νῦν δὲ σφετερισμοῖς νεωτέρων, ὡς ἔτυχε τὰς ἡνίας τῶν πρώτων τιμῶν παιδαριώδεσιν αὐθαδείαις ἀναρριπτούντων. τοσαῦτα μὲν περὶ τῶν ἐν γράμμασιν ἐθῶν.

15. Πλῆθος δὲ δουκηναρίων ὑπούργει τῷ τῶν πριμισκριν[ί]ων βήματι, ταῖς ἐξ ἀγράφων προστάξεων διαγνώσεσιν, ἃς ἐκάλουν ζευκτάς, ἐξυπηρετουμένων, πρᾶγμα, μετὰ τὴν ἐκ τῶν πραττομένων ἄπειρον τῶν κερδῶν εἰσαγωγήν, πλείστην ῥοπὴν χρημάτων περιποιοῦν τῷ τοῦ πριμισκρινίου φροντίσματι. ἀπὸ μὲν γὰρ

4 δὲ ὄντων καὶ? 6 μόνον F, μόνοις C. 7 ἐγχειρεῖν? 11 πενίᾳ C. 12 ἐκδίδωσι C. 17 patet aliquid excidisse. F. sententiam expleveris e c. 9 extr. 21 ἐξυπηρετούμενον?

vacante deinde loco, qui exceptarii vocantur (id est frumenti exceptores), scrinium occupaverint, deletis quae olim in admiratione fuerant.

14. Multa autem et innumera antiqui splendoris monumenta cum interierint chartam etiam a litigantibus petere officiales sustinent, soliti antea non tantum non surgere ob minutas eiusmodi res, verum etiam omnium lucidissimas chartas causis adhibere, congruente membranarum cum scribentium nitore. quod utrumque postea evanuit; aesque admodum modicum et turpe, mendici velut, exigunt, et χόρτον (fenum) pro charta vilibus ac paupertatem redolentibus literis edunt. haec omnia una perierunt viamque irremeabilem abiere, tum quia lites civibus inopia deperditis nullae sunt, tum quia, quae forte ad iudicium deferuntur, nunc inscitia in eo apparentium, nunc usurpationibus iuniorum, puerili arrogantia primorum honorum habenas temere agitantium ... haec de consuetudine ad chartas spectante.

15. Magnus autem ducenariorum numerus primiscriniorum tribunali apparebat, qui operam dabant in cognitionibus e iussionibus non scriptis, quas ζευκτάς dicebant; quae res post immensam a causis lucrorum affluentiam maximam pecuniae vim primiscriniorum muneri conciliabat.

ἀώρου νυκτὸς πράττων ὁ ὕπαρχος ἀνατολῶν ἄχρι τῆς ἡμέρας ταῖς διαγνώσεσι νυκτηγρετῶν ἐνησχολεῖτο· μεθ' ἣν τὸν [ἄχρι] ἐπὶ καμάτῳ νενομισμένον καιρὸν τῆς ἡμέρας τοῖς δημοσίοις καὶ ταῖς ὑποβολαῖς τῶν πραγματικῶν διδασκαλικῶν τε καὶ μονομερῶν ἐδαπάνα χρόνον, τὸν δὲ πρὸς ἑσπέραν ταῖς τῶν λεγομένων ζευκτῶν ἀπαλλαγαῖς ἐπιδιδούς· δι' ὧν πάσης ἐπιθυμίας τούς τε λειτουργοὺς τῆς δίκης τούς τε τυγχάνοντας τῶν πρακτέων καὶ τοὺς ἀπαλλαττομένους τῶν δικῶν ἐνεφόρει. καὶ παραχωρεῖν μὲν τῷ δικαστηρίῳ ἢ χαλᾶσθαι τοῖς πόνοις οὐδεὶς ...νων ὑπέμενεν· ὁ δὲ ὕπαρχος τὸν ὅρον τῆς ἀρχῆς ἔγνω σοφῶς, ἐπιστάμενος ὅτι καὶ ἐλευθέρων ἄρχει καὶ οὐ δ... παντός, καὶ τῇ τάξει συνεχεῖς ἐδίδου ἀνοχὰς τῶν καμάτων, τὰ νῦν καὶ αὐτῇ τῇ προσηγορίᾳ τὸ λοιπὸν ἀγνοούμενα παρέχων μονόμισσα· οὕτω δὲ τὴν καθάπαξ ἀνάπαυλαν ἐκ μέσης τῆς ἡμέρας διδομένην τῇ τάξει ἡ παλαιότης ἐκάλεσε, τῶν τηνικαῦτα διοικούντων τὰ πράγματα (σοφοὶ δὲ ἦσαν καὶ παιδευθέντες) ἐπισταμένων νύκτα μὲν ταῖς ἀναπαύσεσιν ἡμέραν δὲ τοῖς πόνοις ὑπὸ τῆς φύσεως παρακεχωρῆσθαι, καὶ ἀνόσιον οἰομένων τοὺς ἐν πράγμασι νυκτηγρετοῦντας καὶ τῆς μετὰ ἥλιον ζημιῶσαι βραχείας οὖν τινὸς τῶν πόνων ἐνδόσεως. οὐκ ἀρκούσης δὲ τῆς ἐπὶ τὸ χεῖρον παραλλαγῆς, καὶ αὐτῆς τῆς ἐκ τοῦ σχήματος παραψυχῆς τε καὶ τιμῆς ἀφῃρέθησαν οἱ πριμισκρίνιοι, κανδύνῳ τῇδε παραμυθίας, ὡς ἔφην, ἀποστερούμενοι.

8 ὑπουόλαις C. 8 ἐν τῷ F. 9 ἐκείνων F. 10 ἀρ.. C. cf. 3 39. F. σοφὸς C. 11 διὰ? συνίχειν C. 13 lego μανούμισσα F. 16 ἐπισταμένων F, ἐπίστανται C. 21 κινδύνῳ ut corruptum in versione omisi. suspicor legendum κοινῆς. F.

ab intempesta nocte enim laborans praefectus praetorio, ad lucis ortum usque cognitionibus lucubrans vacabat; deinde usque ad partem diei labori constitutam publicis rebus et pragmaticis didascalicisque et unimembribus tempus impendebat, vespertinum autem ζευκταῖς, ut vocant, absolvendis tribuens; quibus summa alacritate et iustitiae ministros et agenda sortientes et causas absolventes implebat. ac cedere quidem in iudicio aut frangi laboribus nemo illorum sustinebat: at praefectus modum imperii sapienter noverat, sciens et liberis se hominibus neque servo cuilibet imperare, ac perpetua officio laborum intervalla dabat, manumissa nunc vel ipsa appellatione ignota concedens (sic autem quotidianam requiem, quae a media die officio dabatur, antiqui vocabant): quippe qui tum rebus praecerant (sapientes enim doctique erant), sciebant noctem remissionibus, diem laboribus esse a natura concessam, ac nefas reputabant iis, qui nocte negotiis vacarent, parvam etiam post solis occasum laborum remissionem eripere. at enim cum non satis esset in peius res abiisse, ipsum quoque ab habitu solatium honoremque primiscrinii amisere ..... hoc solatio, ut diximus, spoliati.

16. *Δύο τὸν ἀριθμὸν αὐτῶν, ὡς ἔφθημεν εἰπόντες, τυγχανόντων κομμενταρισίων, οὕς ὁ χρόνος ἐκ τῶν ταχυγράφων ἔφερε τῆς φροντίδος, ἓξ καὶ αὐτοῖς, καθάπερ τοῖς πρὸ αὐτῶν, ὑπέτρεχον βοηθοί, ἐκ τοῦ τάγματος τῶν Αὐγουσταλίων προσλαμβανόμενοι, ἄνδρες ἀστειφεῖς καὶ νόμῳ πρέπουσαν αὐστηρίαν ἀνατείνοντες, παρ' οἷς ἐτύγχανεν ἡ πᾶσα δύναμις τῆς ἀρχῆς. οὗτοι τὰς μὲν ἐγκληματικὰς ἐξετάσεις ἔφερον τῷ δικαστηρίῳ, ὑπασπιζόντων αὐτοῖς, ὡς προέφαμεν, ἀπλικιταρίων καὶ κλαβικουλαρίων, μετὰ ... ῥαβδούχων, σιδηρέοις δεσμοῖς καὶ ποιναίων ὀργάνων καὶ πλήκτρων ποικιλίᾳ σαλευόντων τῷ φόβῳ τὸ δικαστήριον· δουκηναρίων δὲ στῖφος θέμενοι καὶ χωρὶς αὐθεντίας τοῦ νόμου ἦρκουν πρὸς σωφρονισμὸν ἁμαρτάνουσιν.*

17. *Ἐγὼ δὲ ἐκπλήττομαι ἀναπολῶν ...τα νοῦν πρὸς ἐκείνους τοὺς ἄνδρας ἀνατρέχων, οἷος ἦν ὁ φόβος τῶν κομμενταρισίων παρὰ πᾶσι μὲν τοῖς ὑπωσοῦν ἡγουμένοις τῆς τάξεως, διαφερόντως δὲ παρὰ τοῖς σκριναρίοις, καὶ ὅπως παραπορευομένου κομμενταρισίου τυχὼν ὁμιλίας ἠξιοῦτο. δι' αὐτῶν γὰρ οὐ τὰ τῆς ἀρχῆς μόνα κινήματα ἀλλὰ καὶ ἡ βασιλέως ἀγανάκτησις ἐθεραπεύετο. τοιγαροῦν ἐγὼ διαμέμνημαι, τὴν τοῦ λεγομένου χαρτουλαρίου τηνικαῦτα χάριν πληρῶν τοῖς κομμεντυρισίοις, ὡς Ἀναστασίου τοῦ βασιλέως κινηθέντος κατὰ Ἀπίωνος, ἀνδρὸς ἐξοχω-*

1 ἀριθμὸν καὶ αὐτῶν? et mox τυγχανόντων τῶν κ.? cf. c. 20. ἔφημεν C. 8 προ.... C. 9 lego τουτους. F. ποινέων ὀργ...ν... πλήκτρων ποικιλίας ἀλευόντων C. 11 αὐθεντίας] coniectura ex reliquis literarum. F. 13 lego κατὰ. F.

16. Duo cum, ut supra rettulimus, commentarienses essent, quos tempus notariorum e munere provehebat, sicuti prioribus, iis quoque sex adiutores, ex Augustalium ordine lecti apparebant, viri graves et dignam lege austeritatem ostendentes, penes quos erat omnis praefecturae potestas. hi criminales causas ad iudicium deferebant, apparentibus iis, ut praediximus, applicitariis et clavicularii; quibus accedebant lictores, ferreis vinculis et poenalium instrumentorum flagellorumque multiplici copia iudicium pavore agitantes. constituto autem ducenariorum agmine, et sine legis auctoritate noxiis castigandis sufficiebant.

17. Ego vero non sine terrore, animo ad illos viros recurrens, reputo quantus esset commentariensium metus, tum apud omnes officio quomodocunque praepositos, tum praecipue apud scriniarios, quantusque honor, si cui praetereunte cum commentariensi sermo contigisset. etenim illi non magistratus modo offensionis, verum imperatoriae quoque indignationis ministri erant. itaque ego memini, tum chartularii munere commentariensibus functus, cum Anastasius imperator commotus esset in Appionem, virum splendidissimum et qui imperium cum eo

τάτου καὶ κοινωνήσαντος αὐτῷ τῆς βασιλείας, ὅτε Κωάδης ὁ Πέρσης ἐφλέγμαινε, Λεοντίου τὴν ἐπαρχότητα διέποντος, ἀνδρὸς νομικωτάτου, ἥ τε βασιλέως ὀργὴ δημεύσεις τε καὶ ἀφορισμοὺς οὐκ ἄλλῃ τινὶ τῶν ἀρχῶν ἢ μόνῃ τῇ ἐπαρχότητι τὰ τῆς ἀγανακτήσεως ἐπίστευεν· ἐν ᾗ τοσαύτην ἐπιδείξαντο δυναστείαν τε καὶ σύντονον ἐντρέχειαν οἱ τότε κομμενταρίσιοι, μετὰ πάσης καθαρότητος καὶ ἀποχῆς παντοίας ἐπὶ κλοπὴν ἑστώσης περινοίας, ὥστε τὸν βασιλέα θαυμάσαντα τὴν ἀριτὴν τῶν τότε στρατευομένων πάσας ἀνακυπτούσας χρείας, μεθ' ἃς καὶ τὴν κατὰ Μακεδονίου, τότε τὴν βασιλίδα πόλιν ἐπισκοποῦντος, ἀγανάκτησιν ὡς λόγος περὶ νεωτερισμοῦ δογμάτων ἀποκλείοντος, αὐτοῖς ἐγχειρίσαι, λέγω δὲ τοῖς τῶν ἐπάρχων κομμενταρισίοις, καίτοι Κέλερος τοῦ πάντων φιλτάτου παρόντος τῷ βασιλεῖ καὶ τὴν τοῦ λεγομένου μαγίστρου φροντίδα κοσμίως ἀνύοντος.

18. Καὶ ταῦτα μὲν ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλωλε· τὸ γὰρ λοιπὸν οὐδ' ἐν λόγῳ οὐδ' ἐν ἀριθμῷ. ἐκόσμει δὲ οὐδὲν ἧττον τὴν πολύτροπον δυναστείαν τοῦ σκρινίου καὶ ἡ τῶν λεγομένων κομέντων ἐξουσία ὑπερφυής. ὁ γὰρ ὕπαρχος, ἢ παρὰ βασιλέως θαρρούμενος ἢ αὐτὸς κατὰ τὸν νόμον κινούμενος, καὶ σπουδάζων ἄρχοντα ὁποιονοῦν ἢ ὑπηκόων τινὰ παραστῆσαι τῷ

1 eum Theodorus Lector (Collect. 2) Coadem et Evagrius (Histor. Eccles. 3 37) Cabadem appellat. C infra c. 53 pariter κωάδης. F. 3 ἥ τε] lego ἡ τοῦ. F. 7 ἑστώσης] coniectura ex reliquiis literarum. F. 10 lego λόγον. de Macedonio vide Evagrii Hist. Eccles. (3 32) et Theodori Lect. collectanea. F. quidni λόγους? 15 τε vulgo om. 18 ....των C. cf. κομέντων 3 19. F. ὁ add F. 19 κατὰ] .α.α. C. κινούμενος] coniectura ex reliquiis literarum. F, perinde atque ὁποιονοῦν ἢ ὑπηκόων τινὰ,

communicaverat, quo tempore Coades Persa furebat, Leontio, viro legum peritissimo, praefecturam praetorii tenente, imperatoris indignationem bonorum publicationes et relegationes non alii cuiquam e magistratibus, sed soli praefecturae ultionem mandavisse; in qua tantam potentiam tamque acrem solertiam tunc temporis commentarienses, cum summa innocentia et a multiplici furandi studio abstinentia, exhibuere, ut virtutem tum militantium admiratus imperator obvias quasque necessitates, ac deinde etiam Macedonii, imperatoriae urbis eo tempore episcopi, ultionem, quippe orationem circa dogmatum innovationem excludentis, iis, praefectorum praetorii commentariensibus inquam, mandaverit, quamvis Celer omnium ei carissimus imperatori adesset, magistri, ut vocant, munere cum laude fungens.

18. Atque haec quidem et divinitus et hominum culpa interiere: quippe nunc prorsus neglecta iacent: nec minus multiplicem scrinii potentiam ornabat commentorum, ut vocant, insignis potestas. cupiens enim praefectus praetorio, sive ab imperatore auctoritatem habens sive ipse secundum legem commotus, magistratum qualemcunque aut subiecto-

νόμῳ, τὸν κομμενταρίσιον μυστογράφον λαμβάνων τὸ πρακτέον ἐπέτρεπεν αὐτῷ. ὁ δὲ λ... τὸν πιστότατον ἅμα ...μενον τῶν οἰκείων χαρτουλαρίων παραλαβὼν μεθ' ἑαυτοῦ, ὑπηγόρευε Ῥωμαϊκῶν ὀγκῶν ῥημάτων τὸ σ...θημα, ... ὥπα τῶν ἐκ τάξεως πιστικωτάτῳ ἅμα καὶ διαπρέποντι καταπιστεύων, ὥσπερ ποτνῶν τὸν ἀγανακτούμενον παριστᾶν τῷ βήματι. τῆς δὲ βασιλείας ἐπιεικείας καὶ τῆς τῶν ἀρχόντων ἔτι περὶ τοὺς ὑπηκόους στοργῆς συγγνώμης ἀξιουσῶν τοὺς καταρρηθέντας, εἰκὸς ἦν τὸν ἐλευθερούμενον εὐχαριστίας δι' αὐτῶν τῶν ἔργων τοῖς μέσοις ὁμολογεῖν ...

19. *Καὶ συνῆπτο σχεδὸν τῷ σκρινίῳ τῶν κομέντων ὁ καλούμενος ἰνστρουμεντάριος (ἀντὶ τοῦ χαρτοφύλαξ τῶν ἀρχείων τοῦ δικαστηρίου) εἰς τὸ ὑπογράφειν καὶ πληροῦν τὰς ψήφους· καὶ χῶρος μὲν αὐτῷ ἐν τῷ ἱπποδρομίῳ ὑπὸ τῷ τῆς βασιλείας βήματι ἐπὶ τὸν νότον ἄχρι τῆς καλουμένης σφενδόνης ἐξ ἀρχαίου παρακεχώρηται, πάντα δὲ τὰ ἀπὸ τῆς βασιλείας Οὐάλεντος ἐν τοῖς τότε μεγίστοις δικαστηρίοις πεπραγμένα αὐτόθι σώζεται, καὶ τοῖς ἐπιζητοῦσιν οὕτως ἐστὶν ἕτοιμα ὡσεὶ χθὲς τυχὸν πεπραγμένα. ἀπώλετο δὲ καὶ αὐτὸς ὁ ἰνστρουμεντάριος, καὶ ἔρημος ἡ καθέδρα μένει, μόνοις οἰκείοις ἀναμένουσι τοὺς κεκτημένους ἐγκεχωρημένη· διαγνώσεως γὰρ οὐκ οὔσης, ἢ ἄλλου πρακτέου τινὸς εἰκὸς οὐδὲ*

unde integrum mansit οὖν ἦ, et κομμενταρίσιον μυστογράφον, unde mansit ἥσιον μυστ. 2 videtur fuisse λαθὼν τοῦτον. F. videtur fuisse καὶ μάλιστα τετιμένον. F. 4 lego σύνθημα κατ' ὥπα. F. 10 post ὁμολογεῖν aliquot literae exstinctae. F. 12 ἀρχίων C. 15 σφενδόνος C. 20 ἐκκεχωρημένη C. 21 πρακταίον C. εἰκὸς] v. ad p. 202 19.

rum quendam legi sistere, commentariensem scribam secreto sumebat, eique negotium permittebat. hic autem, illum latens, adsumpto fidelissimo simul et maxime honorato de suis chartulariis, latino sermone grave synthema dictabat, coram apparitoribus fidelissimo simul et eminenti mandans ... ut indignationi obnoxium ad tribunal adduceret. quodsi imperatoris benignitas, et qui etiam tum erat magistratuum in subiectos amor, damnatos venia dignassent, necesse erat liberatum re ipsa mediatoribus gratiam polliceri ...

19. Iunctus quoque commentorum scrinio, qui instrumentarius (id est instrumentorum iudicii custos) dicebatur, cuius munus erat subscribere et complere sententias. et locus quidem ei in hippodromo, sub imperatoris tribunali, meridiem versus, usque ad *Σφενδόνην* (Fundam), ut vocant, antiquitus attributus est. omnia autem ab imperio Valentis in maximis tum iudiciis acta ibi servantur, suntque quaerentibus ita in promptu quasi quae heri forte acta forent. periit vero et ipse instrumentarius, desertaque cathedra manet, servis tantum locupletes manen-

κινουμένης ἐν τῷ δικαστηρίῳ, πῶς ἂν αὐτὸς ἀναγκαῖος εἶναι τοῖς πράγμασι νομισθείη;

20. Ἀβ ἄκτις μὲν ὄνομα τῷ φροντίσματι, σημαίνει δὲ καθ' ἑρμηνείαν τὸν τοῖς ἐπὶ χρήμασι πραττομένοις ἐφεστῶτα, ... πιγμέντις τοὺς ἐπὶ τῶν ἀρωμάτων καὶ ἀσηκρήτις τοὺς ἐπὶ τῶν σηκρήτων (οὐδὲ γὰρ ἀδσηκρήτις κατὰ τοὺς ἰδιώτας, ἐξ ἀγνοίας μετὰ τοῦ δέλτα στοιχείου τῆς προθέσεως ἐπιβαλλομένης) καὶ ἀσαβάνις τοὺς ἐπὶ τῶν βαλανείων τῆς αὐλῆς. δύο δὲ καὶ αὐτῶν ὄντων τῶν ἀβ ἄκτις, οὓς κατὰ βαθμὸν ὁ χρόνος ἀπὸ τῶν ταχυγράφων, καθάπερ τοὺς πρὸ αὐτῶν, καλεῖ, ἓξ ἄνδρες ἱραστοὶ καὶ νουνεχέστατοι καὶ σφριγῶντες ἔτι, ἀπὸ τοῦ τάγματος τῶν Αὐγουσταλίων, βοηθοῦσι δῆθεν ἔτι καὶ νῦν τῷ ὀνόματι. ἔργον δὲ αὐτοῖς τὰς χρηματικὰς ὑποθέσεις τρακτεύειν (ἀντὶ τοῦ διαψηλαφᾶν) καὶ εἰσφέρειν κριθησομένας τῷ βήματι, ὑπουργούντων αὐτοῖς τῶν νομενκολατώρων, οὓς ἀναφωνήτας καὶ συναγωγεῖς πάλαι μὲν τῶν συγκλητικῶν νῦν δὲ τῶν δικανικῶν ῥητόρων εἶναι προειρήκαμεν. νόμος δὲ ἦν (καὶ γὰρ οὐκ ἔστιν, ἄρτι παροφθεὶς ἐξ ἀβελτερίας ἢ τάληθὲς εἰπεῖν κακοδαιμονίας) πάντα διὰ τῶν παρόντων αὐτοῖς χαρτουλαρίων, καὶ αὐτῶν ἀπὸ τῶν ταχυγράφων, ἀναφαίνεσθαι ἐπὶ τῶν λεγομένων ῥεγέστων ἢ κοττιδιανῶν (ἀντὶ τοῦ ἐφημέρων· ῥέγεστα δὲ Ῥωμαῖοι τὰς βίβλους αἷς ἐνέγραφον τὰ πραττόμενα συνεῖδον ὀνομάζειν, ὅτι ῥᾴγιστα τὰς πράξεις τοῦ πολιτεύματος

1 κινουμένου F. 4 lego ὡς ἀ. F. 6 ἐξ ἀγνοίας] coniectura ex reliquis literarum. F. 8 αὐλῆς F, ...λῆς C. 10 lego σεβαστοὶ. cf. αἰδεσίμους 3 35. F. 16 δικανικῶν C. 19 ἀναφέρεσθαι? 22 lego ῥᾳ̃γιστας. F.

tibus permissa. etenim cum cognitio nulla sit neque aliud quicquam in iudicio agatur, quomodo ille necessarius rebus existimetur?

20. Ab actis nomen muneri; significat autem, inxta versionem, pecuniariis actis praepositum, sicuti a pigmentis, qui aromatis, a secretis (neque enim ad secretis secundum idiotas dicendum, praepositione cum litera δ per ignorantiam adiecta), qui secretis, et a sabanis, qui balneis aulae praefecti sunt. cum autem et ipsi actorum praefecti duo sint, quos gradatim a notariis, sicuti priores, tempus vocat, sex eos viri venerabiles et prudentissimi, ac vigentes etiam, ex Augustalium ordine, etiamnum, nomine scilicet, adiuvant. munus vero eorum pecuniarias causas tractare atque ad tribunal iudicandas deferre, apparentibus iis nomenclatoribus, quos clamatores congregatoresque, senatorum quidem olim, nunc vero forensium oratorum, esse praediximus. lex autem erat (neque enim est, nuper ob stoliditatem sive, ut verum dicamus, insaniam neglecta), omnia per apparentes iis chartularios, qui et ipsi e notariis legebantur, in regestis, ut vocant, vel cotidianis, id est ἐφημέροις, notari, (regesta autem Romanis libros, in quibus acta notabant, appellare placuit, quia res gestas vocant acta rei publicae), in

εἶναι βούλονται), ἔνθεν τοῖς ὁτιδήποτε ζητοῦσι τὰ ὁτιδήποτε πεπραγμένα σύντομος περὶ τὴν εὕρεσιν εὐκολία· ἐξ αὐτῶν γὰρ τῶν ῥηγέστων καὶ κοττιδιανῶν ἡ δύναμις τῶν πεπραγμένων ἐγινώσκετο. θᾶττον δὲ ὁ τῆς τάξεως ἐνστρουμεντάριος λαμβάνων ἀπὸ τῶν ἀβάκτις, τὸν χρόνον καὶ τὸν ὕπατον ἐν ἐπιτόμῳ σημειούμενος πρὸς ταχεῖαν ἀνάμνησιν λόγῳ, θᾶττον ἀπηλλάττετο πόνων. καὶ τοῦτο μὲν τὸ θαυμαστὸν γνώρισμα τῆς εὐταξίας ἐπράττετο μετὰ σπουδῆς, καὶ πᾶς καιρὸς τοῖς ἐφημέροις ἐγράφετο, μηδὲ τῶν ἀπράκτων ἡμερῶν παραλιμπανομένων τοῖς ἀναγράφουσιν, ἀλλ' ἔτι καὶ τὰς αἰτίας ὧν ἕνεκα ἀργὰς αὐτὰς εἶναι συνέβαινεν ἀναγραφόντων. καὶ τοῦτο μὲν θαυμαστὸν ἦν, ἡ δὲ τῶν λεγομένων περσοναλίων ἀναγραφὴ παντὸς ἐπαίνου κρείττων δικαίως ἐνομίζετο. τὰς γὰρ διαγνώσεις περιέφραζεν Ἰταλιστὶ ὁ τῶν βοηθούντων λογικώτατος οὕτω κατὰ λεπτὸν ὥστε, κἂν εἰ τυχὸν παραπολέσθαι τὴν διάγνωσιν συνέβη ποτέ, ἐξ αὐτῆς μόνης τῆς παραφράσεως καὶ ὡς ὑποτυπώσεως αὖθις δύνασθαι στῆναι τὴν διάγνωσιν. καὶ τοῦτο συμβὰν ἐγὼ αὐτὸς διαμέμνημαι· διαγνώσεως γὰρ εἰσαχθείσης μέν, τῶν δὲ ἐπ' αὐτῇ πραχθέντων οὐδαμοῦ φαινομένων, εἰσαχθέντος ἐπὶ τῆς ἀρχῆς τοῦ λεγομένου περσοναλίου ἔστη διάγνωσις κατ' οὐδὲν ἐνδέουσα. καὶ τίς οὐκ ἂν ἐπιδακρύσῃ τῶν ἐγκωμίων εἰς μνήμην ἐρχόμενος, οἷς ὑπὲρ τῆς τάξεως καὶ τῶν τοιούτων τῆς ἀρετῆς γνωρισμάτων ἐχρήσατο Σέργιός τε ὁ πολὺς καὶ Πρόκλος ὁ δικαιότατος Τριβωνιανός τε ὁ πολυμαθέστατος, ὧν ὁ μὲν ὑπαρ-

2 εὐκολίας· ἐξ αὐτῶν τῶν γὰρ ῥηγέστων C. 4 ὁ vulgo om.
13 Ἰταλίδι vulgo. 19 ἐστὶ vulgo.

quibus quandocunque quaerentibus quandocunque acta facile brevique inveniuntur: ex ipsis enim regestis et cotidianis actorum summa noscebatur. quae cum officii instrumentarius ab actorum praepositis sumpsisset, tempus et consulem ad celerem memoriam compendio citissime notabat. et hoc quidem, admirabile disciplinae indicium, diligenter fiebat, et omne tempus in cotidianis notabatur; ac ne vacantes quidem dies perscriptores omittebant, causas quoque, quare vacare eos contingeret, annotantes. et hoc quidem admirabile erat: personalium vero, quae vocant, perscriptio quavis laude maior iure existimabatur. cognitiones quippe adiutorum literatissimus Latino sermone tam accurate circumloquens efferebat, ut, licet forte perire aliquando cognitionem contigisset, ex ipsa sola paraphrasi et quasi descriptione restitui posset; quod accidisse egomet memini: introducta enim cognitione, cum quae super ea acta sunt nusquam apparent, illato in praefecturam personali, ut vocant, cognitio datur nulla in re manca. ac quis non illacrimet laudum memoriam repetens, queis officium et talia virtutis monumenta celebravere clarissimus Sergius et iustissimus Proclus et doctissimus Tribonianus,

χος οἷος οὐκ ἄλλος, οἱ δὲ ἄμφω κυαίστωρες γενόμενοι τὴν πολιτείαν ἐκόσμησαν, συλλαμβανομένων αὐτοῖς περὶ τοὺς ἐπαίνους πάντων ὁμοῦ τῶν τότε δικολόγων, περὶ ὧν σιγᾶν ἄμεινον ἢ παρ' ἀξίαν ἐπαινεῖν κοσμιώτερον οἶμαι. καὶ ταῦτα μέν ποτε· νῦν δὲ οὐ μόνον οὐκ ἔστιν, ἀλλ' οὐδὲ μνήμης τινὸς ἀξιοῦνται, δι' ἃς οὐχ ἅπαξ ἀπεδώκαμεν αἰτίας.

21. Μετὰ δὲ τὸν ἀβ ἄκτις ὁ ῥηγενδάριος ἐπὶ τῆς φροντίδος τῶν συνθημάτων τοῦ δημοσίου δρόμου τεταγμένος ἔτι καὶ νῦν λέγεται μέν, πράττει δὲ οὐδέν, τοῦ μαγίστρου τῆς αὐλῆς τὴν ὅλην ὑφιλομένου τοῦ πράγματος ἐξουσίαν. μεθ' ὃν οἱ τῶν διοικήσεων κεῦρα ἐπιστολάρουμ, οἳ τὰς μὲν ἐπὶ τοῖς δημοσίοις φοιτώσας ψήφους γράφουσι μόνον, τὸ λοιπὸν καταφρονούμενοι· οἱ δὲ λεγόμενοι τρακτευταί, τὴν ἐγνωσμένην αὐτοῖς διδασκαλίαν ὑποτιθέντες τῷ προστάγματι, τὴν ὅλην ὑφήρπαζον ἐξουσίαν, μάλιστα ἐξ ὅτου τὴν ἀρχὴν ἑαυτοῖς ἐθάρρουν περιποιεῖν οἱ σκρινιάριοι.

Πέρας μὲν ὧδε τῶν λογι... τῆς τάξεως συστημάτων. δουκηνάριοι καὶ κεντηνάριοι βίαρχοί τε καὶ ἀδιούτωρες καὶ τὰ λοιπὰ τῆς τάξεως μέλη, ἀνύοντα τὴν ὑπὸ τοῦ νόμου τεθειμένην αὐτοῖς λειτουργίαν, τέρμα τῆς στρατείας ὁποῖον ἡ τύχη δοίη καταλαμβάνουσι, τῶν λεγομένων θηκοφόρων, οἳ τὰς προτομὰς τῆς ἀρχῆς φέρουσι, καὶ διαιτερίων ἐν ἑτέροις μὲν τάγμασι τῆς τάξεως καταλεγομένων, λειτουργίαν δὲ πληρούντων.

2 τῶν αὐτοῖς C. 10 μέσον C. 15 σκρινάριοι C. 16 lego λογικῶν. cf. 3 7 λογικαῖς λειτουργίαις. F. δουκηνάριοι γὰρ καὶ? 20 οἱ τῶν C.

quorum ille praefectus praetorio, qualis nemo alius, hi vero ambo quaestores rem publicam ornarunt; quae laudes ab omnibus una tum temporis advocatis angebantur; de quibus tacere satius quam citra meritum laudare decentius existimo. et haec quidem olim: nunc vero non tantum non sunt, sed ne memoria quidem ulla dignantur, ob quas non semel rettulimus causas.

21. Actis praefectum sequitur regendarius, qui muneri synthematum cursus publici praepositus etiamnum dicitur quidem, facit autem nihil, tota rei potestate per magistrum aulae surrepta. hunc sequuntur dioecesium curae epistolarum, qui super publicis procedentia decreta scribunt tantum, nunc neglecti; tractatores autem, ut vocant, visam ipsis suggestionem mandato subiicientes, totam potestatem surripuere, maxime ex quo scriniarii praefecturam sibi ausi sunt arrogare.

Hi postremi literatorum officii ordinum. ducenarii, centenarii, biarchi et adiutores, et reliqua officii membra, quae lege constitutum ipsis ministerium implent, terminum militiae, qualem fortuna dat, sortiuntur: cistophori autem, qui praefecturae dimidiatas effigies ferunt, et diactarii in aliis officii ordinibus annumerantur ministeriumque implent.

22. *Πάντων, οἶμαι, τῶν καταλόγων, εἰ μή τι σφάλλομαι, παρελθόντων τῷ λόγῳ, ὑπόλοιπόν ἐστιν αὖθις, καθάπερ ἡγεμόνα σεμνόν, ἐπὶ τέλους τὸν κορνικουλάριον ἐπὶ τῆς ἱστορίας ἀναδεῖξαι· δεῖ γὰρ αὐτόν, τὴν ὅλην συνέχοντα τάξιν, ἀρχὴν ἅμα καὶ πέρας αὐτῆς ἀποδεῖξαι. ἀρκεῖ μὲν οὖν αὐτῷ πρὸς ἀξιοπιστίαν καὶ μόνος ὁ χρόνος, ὑπὲρ τριακοσίους καὶ χιλίους ἐνιαυτοὺς ἡγουμένῳ τοῦ τάγματος καὶ σὺν αὐτῷ τῷ πολισμῷ τῆς ἱερᾶς Ῥώμης ἐπιφανέντι τοῖς πράγμασι· παρῆν γὰρ ἀνέκαθεν τῷ ἱππάρχῳ, ὁ δὲ ἵππαρχος τῷ τε ῥηγί. ὥστε ἐκ προοιμίων τῆς Ῥωμαϊκῆς πολιτείας γνώριμος ὁ κορνικουλάριός ἐστιν, κἂν εἰ μηδὲν αὐτῷ παρὰ τὴν προσηγορίαν ἀπολέλειπται. ἔξότε Φοῦσκον (οὕτω δὲ τὸν μιλάγχροτα Ῥωμαῖοι καλοῦσι) Δομετιανὸς πραιτωρίων ὕπαρχον κατὰ τὴν Αὐγούστου ἐγχείρησιν προβαλόμενος, τὴν τοῦ ἱππάρχου περιττὴν ἀπέδειξε προαγωγήν, ὅπλων ἡγούμενος, μετηνέχθη πάντα.* (23) *τοιγαροῦν τὰ ἀπωσοῦν παρὰ τοῖς ὑπάρχοις πραττόμενα μόνος διέταττεν ὁ κορνικουλάριος, καὶ τοὺς ἐξ αὐτῶν πόρους εἰς οἰκείαν ἀπεφέρετο παραψυχήν. καὶ τοῦτο ἀπὸ Δομετιανοῦ ἕως τοῦ καθ' ἡμᾶς Θεοδοσίου κρατοῦν ἠμείφθη διὰ τὴν Ῥουφίνου τυραννίδα. νόμον γὰρ ἔθετο ὁ βασιλεὺς Ἀρκάδιος, τὸ τῆς ἀρχῆς δυνατὸν δεδιττόμενος, ὥστε τὸν πρίγκιπα τῆς τάξεως τοῦ μαγίστρου, παριόντα ... τὰ μέγιστα δικαστήρια, περιεργάζεσθαι καὶ ...νεῖν τὴν δύναμιν τῶν πραττομένων ἐν αὐτοῖς, καὶ*

5 malim sane *ἀξιοπρίπειαν*. F. 9 lego *τότε τῷ*. F. vel *τῷ τότε*. 11 post *ἔξότε* suspicor excidisse *γάρ*. F. *τὸν* vulgo om. 12 *ὕπαρχος* C. 13 *προβαλλόμενος* vulgo. 21 lego *ἐπὶ*. F. 22 *πολυπραγμονεῖν* F, ut 2 10.

22. Omnibus, opinor, catalogis, ni quid fallor, enarratis, restat ut rursus, quasi venerabilem ducem, postremum cornicularium in historia ostendamus: oportet enim illum, totum continentem officium, principium simul finemque eius exhibere. cui quidem ad fidem vel solum tempus sufficit, super mille trecentos annos ordinem ducenti, ipsoque, quo sacra Roma condita, tempore in rem publicam introducto: aderat quippe initio magistro equitum, magister equitum vero tum regi. quare ab incunabulis rei publicae Romanae notus est cornicularius, quamvis nihil ei praeter nomen relictum sit: ex quo enim Domitianus, cum Fuscum (sic autem Romani colore nigrum vocant) praefectum praetorio iuxta Augusti institutionem creasset, magistri equitum electionem, ipse exercitum ducens, supervacaneam ostendit, cuncta mutata sunt. (23) igitur quae quomodocunque apud praefectos praetorii agebantur, solus cornicularius regebat, ex iisque reditus in suum solatium ferebat; quod cum a Domitiano usque ad Theodosium nostrum obtinuisset, Rufini tyrannide mutatum est. legem enim tulit imperator Arcadius, magistratus potentiam metuens, ut princeps apparitorum magistri, maxima iudicia obiens, diligenter curioseque vim in iis agendorum inquireret, et quare cursus

οὗ τινὸς χάριν γίνοιντο τὰ τοῦ δρόμου συνθήματα εὑρίσκειν. καὶ τὸ λοιπὸν ὁ Ῥουφῖνος, ἐξότε δι' ἑαυτοῦ ἐπὶ τὴν ἕω ἦλθε, τὸν λεγόμενον κύμητα τῆς ἀνατολῆς μαστίξας ἀπώλεσεν ἀνθ' ὧν ἐτόλμησε ζηλῶσαι τῷ λόγῳ τὴν ἐπαρχότητα. καὶ ἡ μὲν Ἀρκαδίου, ὡς ἔφην, διάταξις ἐν τῷ πάλαι Θεοδοσιανῷ κώδικι ἀνεγέγραπτο· οἱ δὲ τὸν νεαρὸν καταστησάμενοι παρεῖδον αὐτὴν ὡς περιττὴν αὐτοῖς εἶναι φανεῖσαν. (24) παρὼν οὖν ὁ πρίγκιψ τῶν μαγιστριανῶν τοῖς μεγίστοις ποτὲ δικαστηρίοις, καὶ μηδὲν παρὰ τὴν προσηγορίαν ἔχων, λόγους ἔθετο πρὸς τὸν τότε τῆς τάξεως κορνικουλάριον ὥστε πάροδον αὐτῷ δοῦναί τινα πρὸς τὰ πραττόμενα· καὶ δόξαν οὕτως, ἐτύπωσεν ὁ πρίγκιψ μίαν χρυσίου λίτραν καθ' ἕκαστον μῆνα προσφέρειν τῷ κορνικουλαρίῳ, μετὰ τὸ πᾶσι τοῖς ἐκ τάξεως, κατὰ συνήθειαν λαμβάνουσι μοῖράν τινα τῶν πόρων, ἀμελλητὶ διδόναι τὰ εἰωθότα. τούτων οὕτως συντεθειμένων αὐτοῖς, λαμβάνων ὁ κατὰ καιρὸν κορνικουλάριος παρὰ τοῦ πρίγκιπος τὰς δώδεκα τοῦ χρυσίου λίτρας δίχα τινὸς ἐλλείμματος, μετὰ πάσης τιμῆς παρεχώρει τῷ κρείττονι μᾶλλον τὴν τῶν μονομερῶν ἐντυχιῶν εἰσαγωγήν, φυλάξας ἑαυτῷ μετὰ τὴν ἐκ τοῦ βαθμοῦ καὶ τῶν ἄλλων κερδῶν προνομίαν τὸ πληροῦν δι' οἰκείας ὑποσημειώσεως τὰ πραττόμενα, οὐκ ἔλαττον χιλίων χρυσῶν πόρον αὐτῷ περιποιοῦντα.

25. Τὰ δ' ἔνθεν οὐκέτ' ἂν φράσαι λόγῳ δακρύων δυναίμην χωρίς, κατὰ τὸν Εὐριπίδου Πηλέα. πάντων γὰρ ἤδη πρό-

1 οὗ τινὸς et ἦλθε coniecturae: in C literae exstinctae. F. 6 τῶν νεαρῶν C. 8 μηδένα C. 13 μοῖράν] μίαν vulgo. 14 συντιθεμένων vulgo. 18 εἰσάγων C.

synthemata fierent cognosceret. ceterum Rufinus, postquam sua sponte in Orientem venit, comitem Orientis, ut vocant, flagellatum interemit, quod verbis aemulari praefecturam ausus esset. et Arcadii quidem, ut dixi, constitutio, in vetere codice Theodosiano exstabat; recentioris vero conditores eam, ut supervacuam ipsis visam, neglexerunt. (24) cum igitur princeps magistrianorum maximis olim iudiciis adesset, neque quicquam praeter nomen haberet, cum officii tum temporis corniculario egit ut aditum quendam ipsi ad agenda concederet; cumque ita placuisset, constituit princeps ut unam auri libram singulis mensibus corniculario ferret, atque insuper cuivis apparitorum, ex consuetudine partem aliquam redituum sortienti, solita continuo daret. his ita inter eos constitutis, qui tum erat cornicularius, duodecim illas auri libras sine ulla deductione a principe accipiens, summo cum honore unimembrium actionum reditum potiori concedebat, sibi, praeter quae a gradu aliisque lucris praecipua habebat, actorum sua subscriptione completionem servans, quae non minorem mille aureis reditum ei ferebant.

25. Sequentia vero, ut cum Euripidis Peleo loquar, enarrare sine lacrimis non possum. omnia quippe haec cum prius iam, quo modo et

τερον τούτων, ὃν τρόπον καὶ τῶν ἄλλων, ἀπολομένων παραπέλαυσα καὶ αὐτὸς ἐγὼ τῆς κακοδαιμονίας τοῦ χρόνου, καταντήσας εἰς τὸ πέρας τῶν τῆς στρατείας βαθμῶν μηδὲν παρὰ τὴν προσηγορίαν κτησάμενος. καὶ μάρτυρα τὴν δίκην ἀληθεύων οὐκ ἐρυθριῶ ἐπικαλούμενος· ἵως ἑνὸς ὀβολοῦ οὐκ ἀπὸ τοῦ πρίγκιπος, οὐκ ἀπὸ τῶν λεγομένων κομπλενσίμων οἶδα κομισάμενος. πόθεν γὰρ ἔμελλον λαμβάνειν, τῆς μὲν ἀρχαίας συνηθείας ἐχούσης ἑπτὰ καὶ τριάκοντα χρυσίνους παρέχεσθαι τῇ τάξει ὑπὲρ μονομεροῦς ἐντεύξεως πρὸς τῶν ὁπωσοῦν εἰσβαλλόντων ἐν τοῖς τότε μεγίστοις δικαστηρίοις, τὸ δὲ λοιπὸν χαλκοῦ κάρτα μετρίου (οὐ γὰρ χρυσίου), ὥσπερ εἰς ἔλαιον, οἰκτρῶς καὶ οὐδὲ συνεχῶς ἐπιδιδομένου; ἢ ὅπως ὁ πρίγκιψ πρὸς τὰ πάλαι διδόμενα παρ' αὐτοῦ τῷ κατὰ καιρὸν κορνικουλαρίῳ συνωθεῖτο, μηδὲ εἰς μνήμην ψιλῆς γοῦν προσηγορίας ἀναφερόμενος, μηδὲ παρεῖναι τὸ λοιπὸν ὑπομένων τῷ δικαστηρίῳ οὐδενὸς οὐδενὶ ἐν βαθμῷ στρατευομένου; ἐμοὶ δὲ μεταμέλει ὑψίᾳ τοῦ καιροῦ τὸ προσῆκον ἀναλογιζομένῳ, ἀντὶ τίνος τοσοῦτον προσήδρευσα χρόνον τῷ δικαστηρίῳ, μηδὲν ἐξ αὐτοῦ πρὸς παραψυχὴν εὐραμένῳ. καὶ δικαίως ταῦτά μοι συμβέβηκεν εἰς ταύτην ἐμβαλόντι τὴν λειτουργίαν. ὥστε χαλεπὸν οὐδὲν τὴν ἐκ προοιμίων ἐπ' ἐμοὶ διελθεῖν ἄχρι τοῦδε τῷ λόγῳ διήγησιν.

26. Ἕνα καὶ εἰκοστὸν τῆς ἡλικίας ἄγων ἐνιαυτόν, ἐπὶ τῆς Σεκουνδιανοῦ ὑπατείας, ἐκ τῆς ἐνεγκούσης με Φιλαδελφείας, τῆς ὑπὸ τῷ Τμώλῳ καὶ Λυδίᾳ κειμένης, παρῆλθον εἰς ταύτην τὴν

2 ἐγὼ] ἔσω vulgo. 8 χρυσίους vulgo. 12 lego πῶς. F.
16 ἂν τις C. 23 καὶ ἐν Λυδίᾳ F.

reliqua, interiissent, ipse quoque afflictatus sum, qui intra temporum infelicitatem finem militiae graduum attigerim, nihil praeter nomen assecutus; neque erubesco, vera dicens, iustitiam testem invocare: ad unum obolum neque a principe me neque a completionibus, ut vocant, scio accepisse. unde enim accepturus eram, cum antiquus mos fuisset ut qui ad maxima tum iudicia causam qualemcunque deferrent, septem et triginta aureos pro unimembri actione officio praeberent, postea vero aes modicum admodum (neque enim aurum), quasi in oleum, misere, ac ne semper quidem daretur? aut quomodo princeps ad ea quae olim cornicolario dederat coactus fuisset, ne nudi quidem nominis eius memoria relicta, cum adesse porro in iudicio non sustinuisset, nemine ullo in gradu militante. me vero paenitet, sero quod oportuerat reputantem, qua mercede tamdiu in iudicio assederim, nihil ex eo in solatium consecutum; et iure haec mihi contigere, qui ad illud ministerium accesserim. quare operae pretium erit meam ab initio ad hocce tempus historiam persequi.

26. Unum et vicesimum aetatis annum agens, Secundiano consule, e patria mea, Philadelphia ad Tmolum in Lydia iacente, in hancce bea-

εὐδαίμονα πόλιν, καὶ πολλὰ μετ' αὐτῶν σκεψάμενος ἐπὶ τοὺς μεμοριαλίους τῆς αὐλῆς συνεῖδον ἐλθεῖν καὶ πρὸς στρατείαν ἀναζώσασθαι μετ' ἐκείνων. ὅπως δὲ μὴ τὸν ἐν μέσῳ χρόνον δόξαιμι ζημιοῦσθαι, εἰς φιλοσόφου φοιτᾶν διέγνων. Ἀγάπιος ἦν κατ' ἐκεῖνον τὸν χρόνον, περὶ οὗ Χριστόδωρος ὁ ποιητὴς ἐν τῷ περὶ τῶν ἀκροατῶν τοῦ μεγάλου Πρόκλου μονοβίβλῳ φησὶν οὕτως "Ἀγάπιος πύματος μέν, ἀτὰρ πρώτιστος ἁπάντων·" παρ' ᾧ τὰ ... τῶν Ἀριστοτελικῶν διδαγμάτων εἰπών, ἔτυχον καί τινων ἐ...ς Πλατωνικῆς φιλοσοφίας ἀκροάσασθαι. ἡ δὲ τύχη μᾶλλον εἰς ταύτην με παρωθῆσαι τὴν λειτουργίαν σκεψαμένη Ζωτικόν, πολίτην ἐμὸν καὶ χαίροντά μοι μετρίως, ἐπὶ τὴν ἐπαρχότητα τῶν πραιτωρίων ὑπὸ τῷ πάντων βασιλέων ἡμερωτάτῳ Ἀναστασίῳ προήγαγεν· ὃς οὐ πείθειν με μόνον ἀλλὰ καὶ ἀναγκάζειν δυνάμενος τοῖς ταχυγράφοις τῆς ἀρχῆς συνηρίθμησεν, ἐν ᾗ καὶ Ἀμμιανὸν τὸν ἐπιεικέστατον, ἀδελφιδοῦν τῷ ἐμῷ πατρὶ γενόμενον, συνέβαινε διαφαίνεσθαι. (27) ὅπως δὲ μὴ τυχὸν ῥᾳθυμήσω, πᾶσάν μοι κέρδους ὁδὸν ὁ ὕπαρχος ἔδειξεν, ὥστε παρ' ὅλον τὸν τῆς ἀρχῆς χρόνον αὐτοῦ (μέτριος δὲ ἦν καὶ βραχεῖ τὸν ἐνιαυτὸν ἐκβὰς) οὐκ ἐλάττους χιλίων χρυσῶν ἀποκερδᾶναι σωφρόνως. εἰκὸς οὖν εὐχαριστῶν ἐγὼ (πῶς γὰρ οὔ;) ἐγκώμιον βραχὺ πρὸς αὐτὸν διεξῆλθον· ὁ δὲ ἡσθεὶς ἀνὰ στίχον μὲν ἕκαστον χρύσινον ἀπὸ τῆς τραπέζης

1 lego ἐμαυτοῦ. F. 7 post τὰ aliquot literae exstinctae. forte fuit στοιχεῖα. F. 8 εἰπών recentior manus delevit. vitiosum utique videtur. F. lego ἐκ τῆς. F. 10 με παρωθῆσαι F, ἐπαρωθῆσαι C. τὴν vulgo om. 11 οὐ μετρίως F. 19 εἰκὸς] v. ad p. 202 19. 20 οὐκ C.

tam civitatem perveni; cumque multa mecum deliberassem, ad memoriales aulae accedere meque ad militiam cum iis accingere constitui. ne autem intermedii temporis iacturam facere viderer, philosophum audire decrevi. Agapius erat eo tempore, de quo Christodorus poeta in libro singulari de auditoribus magni Procli ita ait "Agapius ultimus quidem, sed princeps omnium;" apud quem... Aristotelicae doctrinae percipiens, nonnulla etiam e Platonica philosophia audiebam. at fortuna in illud potius me detrudere ministerium meditata, Zoticum civem meum, qui me non parum delectabatur, ad praefecturam praetorio, sub omnium imperatorum mansuetissimo Anastasio, provexit; qui cum non persuadere tantum verum etiam cogere posset, notariis praefecturae me annumeravit, in qua et humanissimum Ammianum, fratrem meum patruelem, eminere contingebat. (27) ne autem otio forte me traderem, omnes mihi lucri vias praefectus ostendit; ut per totum praefecturae eius tempus (modicum vero erat neque anno multo longius) non minus mille aureos caste lucratus sim. gratias itaque ego, ut par erat, agens (qui enim non egissem?) laudationem brevem ad eum composui; quo ille laetatus in singulos ver-

με κομίσασθαι παρεκελεύσατο, οἱ δὲ πρὸς τὸ βοηθεῖν ἀπὸ τοῦ λεγομένου ἀβ ἄκτις καλούμενοι, τὸ μήποτε γενόμενον, παρακαλοῦντες προσιλάβοντό με εἰς πρῶτον χαρτουλάριον, ἑτέρων δύο μόνων, ἤδη γερόντων, πρότερον μετὰ χρυσίου δόσεως συνταξαμένων αὐτοῖς· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τέσσαρας πρὸς εἴκοσι χρυσοῦς κατ' ἔτος ὥρισαν ἕκαστον. ὁμοίως τε ποιεῖν ἀντ' αὐτῶν τὸ λεγόμενον περσονάλιον καὶ κοττιδιανόν, περὶ ὧν ἄρτι διεξῆλθον, σουγγεστίωνας ἐτιθέμην, ὧν ὁ λόγος ὧδε. πάντες μὲν ἀνέκαθεν οἱ παρὰ τῇ ποτὲ πρώτῃ τῶν ἀρχῶν βοηθοῦντες τοῖς τρέχουσι σκρινίοις δ...ης ἐξέλαμπον παιδείας, περὶ δὲ τὴν Ῥωμαίων φωνὴν τὸ πλέον ἔχειν ἐσπούδαζον· χρειώδης γὰρ ἦν αὐτοῖς κατὰ τἀναγκαῖον. δίκης οὖν ἐφισίμου τυχὸν γενομένης, εἶτα πρὸς τὴν σύγκλητον ἀναγομένης πρὸς διόρθωσιν, ὁ τῶν ἄλλων .... κρείττων συνέταττε τὴν λεγομένην σουγγεστίωνα (ἀντὶ τοῦ διδασκαλίαν) πρὸς ἀκρόασιν τῆς βουλῆς οὕτω μάλιστα ὡς ἐκπλήττειν τόν τε τῆς βουλῆς κυαίστωρα καὶ τοὺς λεγομένους πάλαι μὲν ἀντεκήνσωρας καθ' ἡμᾶς δὲ ἀντιγραφεῖς. τοῦ δὲ θεοῦ συλλαμβάνοντος, καὶ τῆς ἀπὸ τῶν περιγινομένων μοι παραμυθιῶν προθυμίας ἀνεπαισθήτου ἀποτελούσης τὸν κάματον, οὐ μόνον ἐπλήρουν τὰς εἰρημένας λειτουργίας ἐπὶ τοῦ σκρινίου, ἀλλὰ μὴν ἐπισηκρητευον παρὰ τοῖς ταχυγράφοις ἔτι καὶ ἐβοήθουν ἑτέροις ἐν τῷ τεμένει τῆς δίκης ταχυγραφοῦσιν, ὃ καλεῖται σήκρητον· καὶ οὐ μικρὰ ἦ τε δόξα

1 an ὑπό? 6 ποιῶν F. 9 οἱ] η C. 10 διὰ πολλῆς F. 13 post ἄλλων literae nonnullae exstinctae. suspicor fuisse βοηθῶν. F. 20 lego ἐπεσηκρήτευον. F. 21 ἐβοήθουν F, βοηθὸν C.

sus aureum me a mensa ferre iussit: illi vero quos adiutores legerat quem ab actis vocant, invitatum me, quod nunquam usu venerat, primum chartularium sumpsere, cum quidem duo tantum alii, iam senes, antea cum iis data pecunia egissent; neque id solum, verum etiam quattuor et viginti aureos in singulos annos constituerunt. personalium item et cotidianum, ut vocant, de quibus modo rettuli, iisdem conficiens suggestiones componebam; quarum haec est ratio. omnes olim apud primum quondam magistratuum currentibus in scriniis adiutores multa doctrina splendebant, Romana autem lingua excellere studebant; quippe necessaria iis quandoque erat. nam cum forte appellatum in causa, eaque deinceps ad senatum, ut iudicaretur, deferenda esset; qui ceteris praestabat, quam suggestionem vocant (id est διδασκαλίαν), senatui recitandam, componebat, ita maxime ut et quaestorem senatus et antecessores (ut olim vocabant quos nunc ἀντιγραφεῖς) obstupefaceret. deo autem adiuvante, et alacritate a contingentibus mihi solatiis, ne sentirem laborem, faciente, non tantum memorata ministeria in scrinio implebam, sed secretarii insuper munere apud notarios fungebar, aliisque in templo iustitiae, quod secretum vocatur, notariis operam dabam; nec parva erat cum ab operi-

διὰ τῶν ἔργων ἢ τε τῆς παραμυθίας ἐπὶ τοῖς ἔργοις ἀφθονία. ἔνθεν ὥσπερ ἀναπτερωθεὶς ἐπὶ τοὺς λεγομένους ἀσηκρήτις τῆς αὐλῆς ἠπειγόμην. (28) ὁ δὲ Ζωτικός, ὑποβάλλοντος αὐτῷ τοῦ πάντα χρηστοῦ καὶ ἐπιεικοῦς φιλομαθοῦς τε καὶ φιλοσόφου τὸν βίον Ἀμμιανοῦ, καὶ γαμετήν μοι περιποιεῖ ἑκατόν μοι χρυσίου λιτρῶν φέρνην προσάγουσαν, τὰ δὲ ἄλλα κρείττονα τῶν ὁτεδήποτε ἐπὶ σωφροσύνῃ θαυμαζομένων γυναικῶν. ἐγὼ δὲ κρείττονα πολλῷ τοῦ χρόνου προϊόντος ἐλπίζων προσελθεῖν μοι τὰ πράγματα, τῆς μὲν ἐπὶ τὴν αὐλὴν σπουδῆς ἀπεσχόμην, ὅλον δέ μου τὸν βίον τῇ στρατείᾳ παρεχώρησα. τῶν οὖν κοινῶν τοιούτων ἀποτελεσθέντων ἐπὶ πᾶσιν ὁποίων ὁ λόγος ἐμνημόνευσε, καὶ τὸ λοιπὸν τοῖς λογικοῖς, ὡς τὸ πρίν, τῆς τύχης ἀπαρεσκομένης, ἐμίσησα τὴν στρατείαν, ὅλον ἐμαυτὸν τοῖς βιβλίοις ἐκδούς. γνοὺς δὲ ὁ βασιλεὺς τὴν ἐμὴν περὶ τοὺς λόγους ἀγρυπνίαν, πρῶτον μὲν ἐγκώμιον εἰπεῖν με πρὸς αὐτὸν κατηξίωσε, παρόντων ἐκ τύχης καὶ τῶν ἀπὸ τῆς μείζονος Ῥώμης λογάδων, οἷς ἀεὶ μέλει, καὶ τοῦτο ταλαιπωροῦσι, τῆς περὶ λόγους σπουδῆς. οὗ γενομένου καὶ συγγράψαι με τὸν πρὸς Πέρσας αἰσίμως αὐτῷ χειρισθέντα πόλεμον παρεκελεύσατο, ὅτε Δάραν τὴν πόλιν, ἣν ὁ πολὺς Ἀναστάσιος ταῖς φάρυγξι τῶν πολεμίων ἐπιτέθεικεν, ἐνοχλοῦντες ε... οὐ μετὰ μικρᾶς ζημίας ὑπενόστησαν, οὐκ ἐπ' αὐτοῦ πάλιν προελθόντες.

3 τοῦ F, τὰ C. 5 ἑκατὸν μὲν χρ.? 8 malim προελθεῖν. 9 ἀπεχόμην vulgo. τῆς στρατείας C. 11 ὁποῖον vulgo. 12 lego οὐχ ὡς. F. 16 ἀεὶ μελεῖ F, ἀ...μέλλει C. 18 αἰσμως C. 19 C . . . ρυγξιν. eadem verba occurrunt 3 47. F. 20 lego ἐκεῖθεν. F. 21 πάλιν coniectura. in C literae exstinctae. F.

bus gloria, tum solatii in iis abundantia. deinde, quasi assumptis alis, ad a secretis (ut vocant) aulae properabam. (28) Zoticus autem, adiutus ab optimo prorsus et humano literarumque amante et in vita sapiente Ammiano, uxorem quoque mihi conciliat, centum mihi auri librarum dotem ferentem, ceterum omnibus, quorum unquam in admiratione pudicitia fuit, mulieribus praestantem. ego vero sperans fore ut successu temporis multo meliora mihi contingerent, relicto aulae studio totam vitam meam militiae tribui. postquam igitur tales omnino factae sunt res publicae quales eas exposuimus, fortuna deinceps literatis non, ut antea, succensente, perosus militiam totum me libris tradidi. imperator autem cum me literis vigilare cognovisset, primum quidem dignum me habuit qui laudationem ad ipsum dicerem, praesentibus forte et maioris Romae primoribus, quibus semper, quamvis afflictis, curae est literarum studium. quo facto et contra Persas a se feliciter administratum bellum scribere me iussit; quo tempore cum Daram urbem, quam clarus Anastasius faucibus hostium imposuit, turbassent, haud parvo cum damno inde abiere, sub eo nondum reversi.

29. *Πραγματικὸν πρὸς τὴν ἐπαρχότητα γράφων ὁ βασιλεὺς ἐπ' ἐμοὶ τοιούτοις ἐχρήσατο ῥήμασιν. "Ἰωάννῃ τῷ λογιωτάτῳ πολλὴν μὲν σύνισμεν τὴν ἐν λόγοις παιδείαν, τήν τε ἐν γραμματικοῖς ἀκρίβειαν τήν τε ἐν ποιηταῖς χάριν καὶ τὴν ἄλλην αὐτοῦ πολυμάθειαν, καὶ ὅπως τὴν Ῥωμαίων φωνὴν τοῖς ἑαυτοῦ πόνοις ἀποδείξει σεμνοτέραν, καίτοι τῆς στρατείας αὐτῷ τῆς ἐν τοῖς δικαστηρίοις τῆς σῆς ὑπεροχῆς ὀρθῶς φερομένης, ἐλέσθαι μετ' αὐτῆς καὶ τὸν ἐν βιβλίοις ἀσκῆσαι βίον καὶ ὅλον ἑαυτὸν ἀναθεῖναι τοῖς λόγοις. τὸν τοίνυν εἰς τοσοῦτον ἀρετῆς ἀναβάντα ἀγέραστον ἀπολιπεῖν ἀνάξιον τῶν ἡμετέρων χρόνων εἶναι κρίνοντες, προστάτομεν τῇ σῇ ὑπεροχῇ ἐπιδοῦναι αὐτῷ τοῦ δημοσίου τόδε. ἴστω δὲ ὁ εἰρημένος σοφώτατος ἀνὴρ ὡς οὐ μέχρι τούτου στησόμεθα, ἀλλὰ καὶ ἀξιώμασι καὶ ἱεραῖς μείζοσι φιλοτιμίαις τιμήσομεν αὐτόν, ἄτοπον ἡγούμενοι τοιαύτην εὐγλωττίαν οὕτω μικρᾶς ἀμοιβῆς ἀξιωθῆναι, ἐπαινοῦντες αὐτὸν εἰ καὶ πολλοῖς ἑτέροις τῆς οὔσης αὐτῷ μεταδώῃ παρασκευῆς."* τούτοις ἐπιψηφισαμένου τοῦ τηνικαῦτα τὴν πολιαρχίαν ἰθύνοντος, καὶ τόπον διδασκάλοις ἀπονενεμημένον ἀφορίσαντός μοι ἐπὶ τῆς *Καπετωλίδος* αὐλῆς, ἐχόμενος τῆς στρατείας ἐπαίδευον καὶ μεγαλοφρονεῖν ἐξηγούμην.

30. *Παρὰ μέντοι τῆς στρατείας, βαθμῶν τε καὶ πόρων ἄνευ τινὸς ἐλαττώσεως, ὥσπερ ἀνεπαισθήτως τοῦ χρόνου τροχάζοντος, ἐπὶ τὸ πέρας τῆς στρατείας ἀνῆλθον. καὶ κερδῶν μὲν ἕνεκα ὡσεὶ μηδ' ἐν στρατείᾳ τελῶν παρηνέχθην, ἔτυχον δὲ τιμῆς*

4 lego ποιητικοῖς. F. 6 ἀπέδειξε vulgo. 17 C πολναρχίαν, ut saepius. F. ἀπονενημένον C. 23 μηδ' ἐν F, μηδὲν C.

29. Pragmaticum de me ad praefecturam scribens imperator his usus est verbis. "Ioanni doctissimo multam cognovimus esse cum literarum scientiam, tum in grammaticis acumen, tum in poeticis suavitatem, aliamque eius multiplicem doctrinam; et quo Romanorum linguam suis laboribus splendidiorem reddat, quamvis militia in tui culminis iudiciis cum laude fungentem, voluisse praeter eam libris quoque vitam impendere seque totum literis dicare. ad tantam igitur virtutem progressum inhonoratum relinquere indignum temporibus nostris iudicantes, imperamus tuo culmini hoc ei de publico dare. sciat vero nominatus sapientissimus vir nos hoc satis non habituros, sed et dignitatibus eum et maioribus sacris muneribus culturos, ineptum reputantes talem facundiam tam parvo praemio dignari; laudaturos eum, si et cum multis aliis suam communicet facultatem." his assensus tum urbi praefectus, cum mihi locum magistris destinatum in aula Capitolina tribuisset, militiam retinens docebam, magnusque mihi coeperam videri.

30. Militiae interim tempore, nulla graduum redituumve imminutione, quasi occulte labente, ad finem militiae perveni. et quantum quidem ad lucra, quasi omnino non militassem, transii; honor autem mihi

καὶ τῆς ἀπὸ τῶν κρατούντων αἰδοῦς, καὶ τὸ δὴ πάντων γλυκύτερον, ἐν ἀνέσει τὸν βίον παρέδραμον. ἡ δὲ πάνσοφος δίκη δικαίοις με παραμυθουμένη τρόποις τοῖς μὲν στρατιώταις, ὡς ἔφην, αἰδέσιμον ἔδειξε, τοῖς δὲ ἄρχουσιν οὐκ ἀπάξιον τιμῆς. καὶ τοῦτο δῆλον ἐκ τῆς προελθούσης ἐπ' ἐμοὶ ψήφου, ὅτε τὴν ζώνην ἀφεὶς ἐπὶ τὴν αὐλὴν ἐχώρουν. πρῶτον μὲν γὰρ ἀναβάντα με ἐπὶ τοῦ βήματος τῆς ἐπαρχότητος, κατὰ τοῦτο δὴ τὸ σύνηθες, εὐχαριστῆσαι τῷ κρείττονι καὶ τὴν ἀρχὴν ἀπώσασθαι, τιμήσας ὁ ὕπαρχος (Ἥφαιστος δὲ ἦν ὁ χρηστός, ἀνὴρ ἀγαθὸς καὶ ἐκ μόνης τῆς προσηγορίας τὴν οὖσαν εὐγένειαν αὐτῷ δεικνύς· Ἥφαίστου γὰρ τοῦ πρώτου βασιλεύσαντος Αἰγύπτου κατὰ τὸν Σικελιώτην ἀπόγονος εἶναι διεφημίζετο) ἐγερθεὶς ἀντησπάσατό με λιπαρῶς, καὶ περιβαλὼν αὐτίκα μὲν τὸ πρόσταγμα τῶν ἀννωνῶν χερσὶν ἰδίαις ἐπιδίδωσιν εὐχαριστῶν, μετὰ δὲ μυρίους ἐπαίνους πάσης τῆς τάξεως παρούσης ψῆφον ἀνέγνω ἔχουσαν ὧδι. Ἰωάννης μὲν ὁ λογιώτατος (τούτῳ γὰρ χαίρει τῷ προσρήματι μᾶλλον ἢ τοῖς ἐκ τῶν ὑπαρξάντων αὐτῷ γερῶν προσγενομένοις γνωρίσμασιν) ἤδη φθάσας τοῖς ἅπάντων ἑαυτὸν καλλίστοις (παιδείᾳ τε καὶ λόγοις φαμὲν) τοιοῦτον ἀπέδειξεν ὡς οὐκ αὐτὸν θαυμάζεσθαι μόνον ἀλλὰ καὶ πολλοὺς ἑτέρους, οἳ δὴ τῆς αὐτοῦ διδασκαλίας ἔργον γεγόνασι. μικρὸν δέ, ὡς ἔοικεν, εἶναι νενομικὼς εἰ μόνοις κοσμοῖτο τοῖς ἐκ λόγων ἐπιτηδεύμασι (καίτοιγε τί ἄν τις τούτων ἡγήσατο μεῖζον;)

8 ὁ ante ὕπαρχος vulgo om. 13 recentior manus περιβαλών, prior περιλαβών. 16 προσήματι C.

contigit, et a principibus reverentia, et quod sane omnium dulcissimum, tranquillam per vitam cucurri. sapientissima vero iustitia, iustis me consolans modis, militibus, ut dixi, venerabilem me praebuit et principibus non indignum honore; id quod patet e decreto super me prolato, cum, posito cingulo, in aulam concederem. nam cum in tribunal praefecturae adscendissem, iuxta consuetudinem illam videlicet gratias potiori acturus magistratumque positurus, primum honorans me praefectus (erat autem optimus ille Hephaestus, vir bonus, solo nomine nobilitatem suam ostendens: ab Hephaesto enim, primo Aegyptiorum rege secundum Siculum, genus ducere ferebatur) surrexit, meque suaviter resalutavit; cumque osculatus esset, statim quidem mandatum annonarum suis manibus dedit, gratias agens; post innumeras vero laudes, toto praesente officio, decretum legit hoc. Ioannes doctissimus (hac enim appellatione potius quam ornamentis a collatis in ipsum muneribus delectatur) iam antea omnium rerum pulcherrimis, scientia literisque inquimus, talem se exhibuit ut non ipse tantum admirationi esset, verum multi etiam alii, eius videlicet opera instituti. parvum autem, ut videtur, ratus, si solis ornaretur literarum studiis (atqui quid his maius quisquam existimet?), et

καὶ τοῖς πολιτικοῖς ἐνέμιξε πράγμασιν. ὑπηρετησάμενος δὲ τοῖς ἡμετέροις δικαστηρίοις μίαν τινὰ διὰ πάντων ἐφύλαξεν ἁρμονίαν, τοῖς οἰκείοις παντιχοῦ κατακολουθῶν παραδείγμασι, καὶ δι' αὐτῶν διδάσκων τῶν ἔργων ὡς φύσις ἀγαθὴ καὶ τίκτειν οἷα τε οὖσα τὰ χρησιμώτερα, πρὸς ὅπερ ἂν βίου σχῆμα τραπείη, τῶν οἰκείων οὐκ ἐξίσταται πλεονεκτημάτων, σεμνοτέραν δὲ τὴν ἀρετὴν ἀπεργάζεται, λόγοις αὐτὴν καὶ πολιτικοῖς ποικίλλουσα πράγμασι. τούτοις τοίνυν ἅπασιν ἐνευδοκιμηκὼς Ἰωάννης ὁ λαμπρότατος, τοὺς ἐν τοῖς ἡμετέροις δικαστηρίοις βαθμούς τε καὶ πόνους διανύσας, ἐπὶ τὰ τοῦ μεγάλου βασιλέως δραμεῖται ἴχνη καὶ μειζόνων ἐκεῖθεν ἀπολαύσει δωρεῶν. ἔστι γὰρ δὴ πρὸς τοῖς ἄλλοις πλεονεκτήμασι καὶ φιλολόγος ὁ βασιλεύς, τοῦτο καλῶς ἐφ' ἡμῶν πεποιηκότος τοῦ χρόνου, ὅπως ἂν ἡ τοῦ προστατοῦντος σεμνότης καὶ τὴν λοιπὴν ἅπασαν τάξιν ἐπί τι φέροι λαμπρότερον." ταύτην τὴν τιμὴν ἀντὶ πολλῶν χρημάτων ἐκ τοῦ δικαστηρίου λαβών, ἡγουμένων τῶν πάντα μοι γλυκυτάτων ἑταίρων ἐπὶ τὴν αὐλὴν ἀνεχώρησα στρατευσάμενος τοὺς πάντας τεσσαράκοντα ἐνιαυτοὺς πρὸς μησὶ τέσσαρσι, καὶ τυχὼν τοῦ εἰωθότος παρὰ τῆς βασιλείας ἀξιώματος τοῖς πληροῦσιν ἐπιδίδοσθαι αὖθις ἐπὶ τὰ βιβλία παρῆλθον.

31. Εἰ πᾶσάν τις ἐπέλθοι κατὰ πόδα τὴν Ῥωμαϊκὴν ἱστορίαν, οὔποτε εὑρήσει πρὸ τῆς Κωνσταντίνου βασιλείας τὸ σκρινιάριον ὄνομα· σκρινίον μὲν γὰρ καὶ σκρίβαν καὶ τὰ τούτων δὴ παράγωγα εὑρήσει, τὸ δὲ σκρινιάριον ἐπώνυμον οὐδαμοῦ. ὥστε

16 ἑτέρων C.

civilibus se rebus miscuit. apparens autem in nostris iudiciis unum quendam per omnia concentum servavit, sua ubique exempla sequens, ac re ipsa docens naturam egregiam et utilioribus parem gignendis, ad quamcunque vitae formam se converterit, a suis excellentiis non aberrare, splendidiorem autem reddere virtutem, literis eam et civilibus rebus exornantem. his igitur omnibus laudem meritus Ioannes clarissimus, gradibus laboribusque iudiciorum nostrorum impletis, ad magni imperatoris vestigia properabit ac maioribus inde muneribus perfruetur. est enim, praeter alias excellentias, et literarum amans imperator, egregie id nostro tribuente tempore, ut regentis maiestas coterum etiam omne officium ad splendidius quiddam evehat." hunc honorem pro multa pecunia e iudicio nactus, comitantibus omnia dulcissimis mihi sociis, in aulam concessi, militia functus annos omnino quadraginta et septem menses; acceptaque, quae ab imperatore implentibus tribui solet, dignitate ad libros rursus me contuli.

31. Si quis per universam Romanorum historiam pedetentim incedat, nunquam ante Constantini imperium scriniariorum nomen reperiet: *scrinium* enim et *scriba* et horum videlicet derivata reperiet, scriniariorum vero nomen nusquam. quare non novit eos initio res publica, ne-

οὐκ οἶδε μὲν αὐτοὺς ἀνέκαθεν τὸ πολίτευμα, οὐδ' εἰσὶ μέρος οὐ τῆς τοῦ ἱππάρχου οὐδὲ μὴν τῆς τῶν ἐπάρχων τάξεως, ἰδιωτεύοντες δὲ παρῆλθον κατὰ τὸ ἀναγκαῖον ἐπὶ τὰ πράγματα. καὶ ὅπως ἐρῶ. Κωνσταντῖνος πρῶτος, ὡς ἔμπροσθεν εἴρηται, Σκυθίαν τε καὶ Μυσίαν καὶ τοὺς ἐξ ἐκείνων φόρους ἄκων ἐζημίωσε τὴν Ῥωμαϊκὴν πολιτείαν, τὰς φρουρούσας δυνάμεις τὴν ὄχθην τοῦ πρὸς βορέαν Ἴστρου ἐπὶ τὴν κάτω Ἀσίαν δέει τυραννίδος διασκεδασάμενος. ἐμοὶ δὲ δοκεῖ, βραχὺ παρατραπέντι τοῦ σκοποῦ, περὶ τῆς προσηγορίας τοῦ ποταμοῦ διὰ βραχέων εἰπεῖν· νῦν μὲν γὰρ Ἴστρον νῦν δὲ Δανούβιον τὸν αὐτὸν εὑρίσκομεν ὀνομαζόμενον, ὥστε δεήσει διδασκαλίας.

32. Ἐκ τῶν Ῥαιτικῶν ὀρῶν, ἃ τῆς Κελτικῆς ὀρεινῆς εἶναί φησιν ὁ Καῖσαρ ἐν βιβλίῳ τῷ πρώτῳ τῆς κατ' αὐτὸν Γαλλικῆς ἐφημερίδος, ἐκ μιᾶς πηγῆς ὅ τε Ῥῆνος ὅ τε Ἴστρος, οὐδέτερος δὲ αὐτῶν μὴ τὴν ἐπωνυμίαν ἀμείψας ἐπὶ τὴν θάλασσαν ἐξωθεῖται. ὁ μὲν γὰρ Ῥῆνος πᾶσαν τὴν Γαλατικὴν μεσόγειον, τριχῇ διῃρημένην εἰς Κελτικὴν Γερμανικὴν καὶ Γαλατικήν, διατρέχων οὐκ ἄρδει μόνον αὐτὴν μετὰ Ῥοδανόν, ἀλλὰ καὶ φρουρεῖ, φυλάττων ἀνέφοδον· πρὸς δὲ τὸ πέρας σχεδὸν τῆς ῥύσεως εἰς Μόσον τὸν ποταμόν, γείτονα τοῦ βορείου πρὸς δύσιν ὠκεανοῦ, ὀλισθαίνων ἀποβάλλει μὲν τὴν οὖσαν αὐτῷ κατ' ἀρχὰς ἐπωνυμίαν, μετ' ἐκείνου δὲ τοῖς τῆς Βρεττανικῆς θαλάττης ἐπισύρεται κόλποις. ὁ δὲ Ἴστρος ἐάσας τὸν ἀδελφὸν πρὸς δύνοντα ἥλιον ἀναχωρεῖν, αὐτὸς ἐπὶ τὴν

12 ῥητορικῶν C. 16 διειρημένην C. 20 ὀλισθεύων vulgo. cf. p. 232 10 ὀλισθενούσης. 23 ἀναχωροῦν C.

que pars sunt magistri equitum neque vero praefectorum praetorio officii. privati autem cogente necessitate ad rem publicam pervenere, atque ut exponam. Constantinus primus, uti supra dictum, Scythia Mysiaque et earum tributis invitus rem publicam Romanam privavit, copias ripam borealis Istri custodientes per Asiam inferiorem metu tyrannidis dispergens. mihi autem a proposito paululum aberranti de nomine fluminis paucis explicare videtur: nunc enim Istrum nunc Danubium eundem appellatum invenimus; quare explicatione opus erit.

32. E Raeticis montibus, quos montosae Galliae esse ait Caesar in libro primo suae de Gallia ephemeridis, ex uno fonte et Rhenus et Ister; neuter vero non mutato nomine in mare devolvitur. nam Rhenus omnem Galliae interiorem terram, trifariam divisam, in Celticam Germanicam et Gallicam, percurrens, non irrigat solum eam cum Rhodano, sed custodit etiam, inaccessam servans. ad finem autem fere cursus, in Mosam flumen, vicinum boreali Occidentem versus oceano, illabens, ponit quod initio gerit nomen, cumque illo in Britannici maris sinus defertur. Ister vero, fratrem ad occidentem solem passus recedere, ipse in Orien-

ἰώαν μερίζεται, καὶ ἄχρι μὲν Παννωνίας, ἣν Ἕλληνες Παιονίαν δι' εὐφωνίαν καὶ φυγὴν βαρβαρισμοῦ καινοτομοῦντες ἐκάλεσαν, καὶ Σιρμίου τῆς πάλαι μὲν Ῥωμαίων εὐδαίμονος πόλεως νῦν δὲ Γηπαιδῶν, τὴν ἰδίαν διασώζει προσηγορίαν, περὶ δὲ τὴν Θρᾳκίαν εἱλούμενος ἀποβάλλει μὲν παρὰ τοῖς ἐπιχωρίοις τὸ ἔμπροσθεν ὄνομα, Δανούβιος δὲ μεταβάλλει. οὕτω δὲ αὐτὸν οἱ Θρᾷκες ἐκάλεσαν, διότι περὶ τὰ πρὸς ἄρκτον ὄρη καὶ Θρασκίαν ἄνεμον συννεφὴς ὁ ἀὴρ ἐκ τῆς ὑποκειμένης τῶν ὑγρῶν ἀμετρίας σχεδὸν διὰ παντὸς ἀποτελούμενος αἴτιος αὐτοῖς συνεχοῦς ἐπομβρίας [ἀποτελεῖσθαι] νομίζεται· Δανούβιον δὲ τὸν νεφελοφόρον ἐκεῖνοι καλοῦσι πατρίως. καὶ ταῦτα μὲν περὶ τῶν ποταμῶν, ὡς ἐν παρεκβάσει, κατὰ Σαμωνικὸν τὸν Ῥωμαῖον ἱστορικόν, ὃς πρὸς Διοκλητιανὸν καὶ Γαλέριον τὸν γέροντα περὶ ποικίλων ζητημάτων διελέχθη.

33. Κωνσταντῖνος οὖν Σκυθίαν τε καὶ Μυσίαν καὶ τοὺς ἐξ αὐτῶν φόρους, ὡς ἔφην, ἀπώλεσε. Συρίαν δὲ ὅλην καὶ Παλαιστίνην (μία δέ ἐστι χώρα, καὶ διὰ μόνον ἀριθμὸν εἰς πλῆθος ἀνάγεται) ἐπαρχίας ἀναδείξας, ἔδεήθη ὕπαρχον, μετὰ τὸν Λιβύης καὶ Γαλατίας Ἰλλυρίδος τε καὶ Ἰταλίας, καὶ τῆς ἑῴας προχειρίσασθαι, σκεπτόμενος, ὡς αὐτὸς ὁ βασιλεὺς ἐν τοῖς ἑαυτοῦ λέγει συγγράμμασι, Πέρσαις ἀδοκήτως ἐπελθεῖν. ἠπίστατο γὰρ Κωνσταντῖνος, πολὺς ὢν ἔν τε παιδεύσει λόγων καὶ συνασκήσει ὅπλων (οὐδὲ γάρ, εἰ μὴ καθ' ἑτέραν παίδευσιν ἔτυχέ τις διαπρέπων,

6 δὲ add F. 7 περὶ τὰ] ἐπὶ vulgo. Θρασκαίαν C. 12 incertum sicne habeat C an σαμωνον. F. ὃς F, ὡς C. 15 φρούρους C. 18 προχωρίσασθαι C. 21 ἐν τῇ C. 22 καθ' ἑκατέραν F.

tem flectitur. ac Pannoniam quidem usque, quam Graeci, suavioris soni et barbarismi vitandi gratia nomen mutantes, Paeoniam dixere, et Sirmium, olim Romanorum felicem civitatem, nunc autem Gepidarum, proprium nomen retinet, circum vero Thraciam fluens, amisso apud indigenas priori nomine, Danubius vocatur. sic autem eum Thraces dixere propterea quod, quoniam ad boreales montes Thraciamque ventum subiecta humidorum abundantia nubilum fere semper aërem efficit, causa ipsis crebrorum imbrium esse existimatur. Danubium autem illi nubiferum patrio sermone vocant. et haec quidem de fluminibus, quasi in digressione, secundum Samocum Romanum historicum, qui ad Diocletianum et Galerium senem de Variis Quaestionibus scripsit.

33. Constantinus igitur Scythiam Mysiamque et earum tributa, ut dixi, perdidit. Syriam autem totam et Palaestinam (una vero est regio, ac singulari numero plerumque effertur) cum provincias constituisset, necesse ei fuit, praeter Libyae Galliae Illyriae et Italiae, Orientis quoque praefectum creare, meditanti, ut ipse imperator in scriptis suis ait, Persas de improviso aggredi. noverat enim Constantinus, literarum scientia atque armorum usu praestans (neque enim, nisi quis utraque scientia

βασιλεὺς Ῥωμαίων προειχειρίζετο), μὴ εἶναι ῥᾴδιον ἄλλως καταπολεμηθῆναι Πέρσας μὴ ἐξαπίνης αὐτοῖς ἐπιχειμένης ἐφόδου. καὶ συγγραφὴν περὶ τούτου μονήρη Κέλσος ὁ Ῥωμαῖος τακτικὸς ἀπολέλοιπε, σαφῶς ἀναδιδάσκων ὡς οὐκ ἄλλως Πέρσαι Ῥωμαίοις παραστήσονται, εἰ μὴ αἰφνιδίως εἰς τὴν ἐκείνων χώραν Ῥωμαῖοι γνόφου δίκην ἐνσκήψουσιν, αἰτίαν οὐκ ἔξω λόγου παρασχόμενος. ἡ δὲ τοιαύτη ἐστίν. (34) Περσῶν ὁ δῆμος ὅλως καὶ σύμπαν ἁπλῶς τὸ ἔθνος εἴωθεν ἐπὶ πόλεμον ὁρμᾶν, ὡς καὶ Ῥωμαῖοι πρὸ τῆς Μαρίου τῶν λεγομένων λεγιώνων διατάξεως. διχοτομοῦντες οὖν ἄνθρωπον αὐτοὶ διὰ μέσου τῶν δύο τοῦ σώματος τομῶν διαβιβάζουσι τὸν στρατόν. δῆλον γὰρ ὡς οὐχ ὡρισμένα οὐδὲ εὐτρεπῆ στρατεύματα τρέφουσιν οἱ Πέρσαι, ὡς ἑτοίμους εἶναι πρὸς τὰς μάχας, ὥσπερ Ῥωμαῖοι. χρόνου δεῖ τοίνυν αὐτοῖς εἰς παρασκευὴν στρατοῦ καὶ δαπάνης ἀποχρώσης τῷ πολέμῳ· ὥστε ἁρμόδιον, φησὶν ὁ Κέλσος, ἀδοκήτως αὐτοῖς ἐπελθεῖν, καὶ μάλιστα διὰ τῆς Κολχίδος τὰ προοίμια τῆς ἐφόδου λαμβανούσης· Λαζικὴν αὐτὴν ἐξ ἡγεμόνος ἐπιφημίζουσιν οἱ καθ' ἡμᾶς. ἡ γὰρ δυσχωρία Πέρσαις ἱππηλατοῦσι δυσέμβατος· ὅθεν ἀφόρητος αὐτοῖς ὁ Κουρβολὼν ἐπὶ τοῦ Νέρωνος ἐφάνη· τὰς γὰρ ἐκδρομὰς αὐτῶν τὰς ἐν ταῖς ἐρημίαις τῆς Περσίδος διὰ τῆς Ὑρκάνης ἀποκλείσας τὴν ἐκ τῆς φυγῆς νίκην ἀφεῖλεν, ὡς ἐν στενωπῷ, ὅσον ἦκεν εἰς Περσικὰς πολυπληθείας, ζωγρηθέντας εἰς μόνην τὴν πρὸς τῷ Μυγδονίῳ

5 εἰ vulgo om. 7 malim ὅλος. F. 16 κάλχιδος C. 20 ἀποκλίσας C. 22 μυγδωνι ἀντιστοιχίαν C.

emineret, imperator Romanorum creabatur), non esse facile aliter Persas debellare nisi subito in eos impetu facto. de quo librum singularem Celsus Romanus tacticus reliquit, in quo perspicue docet non aliter Persas Romanis succubituros, nisi repente in eorum terram Romani caliginis instar irruant; causam probabilem addens, quae est eiusmodi. (34) Persarum populus in universum ac tota omnino natio in bellum ire consuevit, sicuti Romani quoque necdum a Mario, quas legiones vocant, constitutis. qui cum hominem bifariam divisere, per medium duarum corporis partium exercitum ducunt. patet enim neque certas neque expeditas copias sustentari a Persis, queis ad pugnas, sicuti Romani, parati sint. tempore itaque iis opus est ad exercitum et sumptum bello sufficientem parandos; quare congruum, ait Celsus, de improviso eos aggredi, ac maxime per Colchidem (Lazicam eam a duce nunc vocant) initium invasionis facere. difficilibus quippe locis Persae, utpote equites, aegrius incedunt. unde intolerabilis iis Corbulo sub Nerone visus est: nam cum excursiones eorum e Persidis desertis per Hyrcaniam interclusisset, victoriam a fuga eripuit; ut in angustiis, quantum in ipsis erat, capta Persarum multitudo in solam Antiochiam Mygdonio adiacen-

Ἀντιόχειαν (Νίσιβιν αὐτὴν ἑλόντες μετεκάλεσαν οἱ Πέρσαι) καταφυγεῖν, ἣν καὶ αὐτὴν ἀπέλιπον τὸ τηνικαῦτα δίκην πρηστήρων τῶν Ῥωμαίων αὐτοῖς ἐπικειμένων.

35. *Ταύτης οὖν τῆς ἐννοίας ὁ Κωνσταντῖνος γενόμενος, καὶ ὕπαρχον ἐπὶ τῆς ἕω χειροτονήσας, διαψηφιστὰς αὐτῷ κατεστήσατο τῶν φόρων ἄνδρας αἰδεσίμους καὶ περὶ λεπτότητα λογισμῶν παρασκευασαμένους. ἰδιωτικῷ τοίνυν σχήματι στελλόμενοι παρῆσαν ἐν τῷ δικαστηρίῳ, μηδὲν ἕτερον παρὰ τοὺς λογισμοὺς ἀνὰ χεῖρας ἔχοντες, σκρινιάριοι χρηματίζοντες (ἀντὶ τοῦ χαρτοφύλακες), ὅτι σκρινίον τὴν δρυφάκτην λάρνακα Ῥωμαῖοι καλοῦσι· καὶ διέμεινεν ἡ πρυσηγορία παρ' αὐτοῖς μόνη. οὐ μὴν ἐν στρατείᾳ ἐτέλεσαν, οὐδὲ τὴν ἰδιωτῶν τύχην ἐξῆλθον, ὡς αἱ παλαιαὶ διδάσκουσι μάτρικες. ἐπὶ δὲ Θεοδοσίου τοῦ πρώτου, ὡς εἶδον ἑαυτοὺς μὲν ἠμελημένους τοὺς δὲ τῆς τάξεως διοικοῦντας τότε τὰ πράγματα, ἑαυτοὺς διαγράψαντες καὶ χρυσίον εἰς φίλτρας διαθροίσαντες ἐδεήθησαν τῆς βασιλείας συναριθμηθῆναι τῇ τάξει· καὶ τυχόντες, καὶ τὰς λεγομένας προβατορίας πορισάμενοι, εἰς μὲν ἀδιούτωρας (οἱονεὶ βοηθοὺς) ἀνηνέχθησαν ἴσα τοῖς ἄλλοις, τὸ δὲ Αὐγουσταλίων ὄνομα πριάμενοι τιμίως, ἄχρι Λέοντος ὡσεὶ μηδὲ στρατευόμενοι ὅσον πρὸς τοὺς ἀπὸ τῆς τάξεως ἐνομίσθησαν. οὐδὲ γὰρ οἶδεν αὐτοὺς ἡ Ῥωμαίων παλαιότης· ὅθεν τῆς ἀρχῆς ἔτι καὶ νῦν ἐπὶ τοῦ βήματος προϊούσης ἐξόπισθεν ὑποχωροῦντες παρέ-*

5 διαψηφίσας C. 14 τατε C. 16 διαθρύσαντες C.
17 πραιβατορίας C.

tem (Nisibim eam Persae, postquam cepere, appellarunt) confugeret; quam et ipsam reliquere, fulminum instar tum eos urgentibus Romanis.

35. Hac igitur mente cum esset Constantinus praefectumque Orientis creasset, rationales illi tributorum constituit, viros venerabiles et in rationum subtilitatibus exercitatos. privato itaque habitu utentes in iudicio aderant, nihil aliud praeter rationes in manibus habentes, et scriniarii (id est chartophylaces) dicebantur, quia scrinium cancellatam cistam Romani vocant; mansitque iis nomen tantum. neque vero militia fungebantur, neque privatorum condicione excesserant, quemadmodum antiquae matrices docent. sub Theodosio primo autem, cum se neglectos, officiales vero tum res administrare viderent, datis inter se nominibus et collecto in illecebram auro, ab imperatore, ut officio annumerarentur, petiverunt; qua re impetrata, comparatisque quas probatorias vocant, in adiutores (id est βοηθοὺς) quidem ceteris pariter provecti sunt, Augustalium vero nomen magno mercantes, ad Leonem usque quasi omnino non militantes, quantum ad officiales, reputati sunt. neque enim novit eos Romana antiquitas; unde etiamnum, praefectura in tribunal progrediente, retro recedentes iuxta sequuntur, solo officio compositis

πονται, μόνης τῆς τάξεως στιχηδὸν διιθυνούσης τὸν ὕπαρχον. εἰκόνα οὖν τῷ βασιλεῖ ἀργυρήλατον ὅλην ἐπὶ κίονος ἀναστήσαντες, τὸ πάλαι καλούμενον Πλάκωτον, πρὸς τῷ ὡρολογίῳ τῆς πόλεως, διεκόσμησαν, ὡς ἐν τοῖς ἀρχαῖς τοῦ δημοσίου ἱνστρουμέντου ηὑρον ἱστορημένον. καὶ ἡ μὲν στήλη καθ' ἡμᾶς ἐπὶ τὰ χρειωδέστερα ἔργα τῆς πόλεως προεχώρησεν, ὁ δὲ κίων πρὸ τῆς ἐν τῷ λεγομένῳ Ἑβδόμῳ ἀγορᾶς ἀναστὰς τῇ τοῦ κρατίστου ἡμῶν βασιλέως εἰκόνι σεμνύνεται.

36. Ηὐξήθη δὲ λοιπὸν τὰ τῶν σκρινιαρίων ἀπὸ τῆς Ζήνωνος βασιλείας τοσοῦτον ὅσον τὰ τῆς τάξεως ἔλῃξε· πολλῶν μὲν γὰρ ἄλλων καὶ Πολυκάρπου δὲ ἀπ' αὐτῶν εἰς τὴν ἀρχὴν ἁρπασθέντος ὑπὸ τῷ Ἀναστασίῳ, εἶτα καὶ Μαρίνου τὴν ὅλην ἀναζωσαμένου τῶν πραγμάτων διοίκησιν, ὃς καὶ αὐτὸς εἷς τῶν τῆς Συρίας σκρινιαρίων ἐτύγχανε, καὶ τὸ λοιπὸν οὐχ ἑτέρου ἢ αὐτῶν σχεδὸν καὶ μόνων τὴν ἀρχὴν ἐκδεχομένων, διὰ τὴν τῶν φόρων ἐλάττωσιν εἰς παντελῆ ἀπώλειαν τὰ τῆς τάξεως κατέστη. καγκελλάριοι γὰρ αὐτοὶ καὶ λογοθέται καὶ τῆς θείας καὶ γενικῆς τραπέζης διοικηταί, τῆς ἀρχαίας συνηθείας ἐχούσης μηδένα εἰς τὸ τοῦ λεγομένου καγκελλαρίου λειτούργημα ἢ μόνους τοὺς εὐδοκιμοῦντας ἐκ τῶν Αὐγουσταλίων καὶ ταχυγράφων παριέναι, ἐπεὶ καὶ δύο μόνους καγκελλαρίους τὸ δικαστήριον ἐγνώριζεν, οἷς καὶ χρύσινος εἷς καθ' ἡμέραν ἀπὸ τοῦ δημοσίου ἀφώριστο. ἡ δὲ αἰτία τῆς προσ-

1 διηθοννούσης C. cf. 3 70 διενθηνοῦσαι. F. 4 lego ἀρχαίοις. cf. 2 30 et 3 19 ἀρχαίων. F. 7 cf. 2 20 ἀγοράν. F. 12 τῶν C. 13 ὡς C. 15 μόνον C. 16 τὰ τῆς τάξεως κατέστη] coniectura ex reliquiis literarum. integrum mansit εστη. F. 17 καὶ τῆς θείας] coniectura ex reliquiis literarum. F. 18 τὸ] τὴν C.

praefectum ordinibus comitante. igitur effigiem imperatori auream totam in columna posuere, et Placotum quod olim vocabant, iuxta horologium urbis, ornavere, sicuti in documentis publici instrumenti commemoratum repperi. et effigies quidem nostro tempore utilioribus urbis operibus cessit; columna autem ante curiam, quae est in Hebdomo, ut vocant, posita, optimi imperatoris nostri effigie decoratur.

36. Ceterum scriniariorum res a Zenonis imperio tantum auctae sunt quantum officii imminutae: postquam enim cum alios multos tum Polycarpum in praefecturam sub Anastasio traxere, deinde etiam Marinus totam rei publicae administrationem suscepit, qui et ipse unus e Syriae scriniariis erat, ac deinceps ipsi fere soli magistratum excepere, ob tributorum imminutionem officium funditus periit. cancellarii enim iidem et discussores et divinae generalisque mensae curatores, cum antiqua consuetudo fuerit neminem ad cancellarii munus nisi probatos tantum ex Augustalibus notariisque admitti. nam et duos tantum cancellarios iudicium noverat; quibus etiam aureus singulis diebus de publico

ηγορίας ὧδε. (37) τὸ πρὶν καθ' ὁμαλοῦ ἐν τοῖς δικαστηρίοις ὥσπερ ἔτι καὶ νῦν ἐν τοῖς ἐπιχωρίοις ἐστίν, ἔρυμα καὶ ὡς ἄν τι εἴποι διάφραγμα ξυλουργές, ἀπὸ σχιδάκων μακρῶν ἀντιπλαγιαζομένων ἐφ' αὑτοὺς καὶ διόπτρας ὀξυτελεῖς καθάπερ δικτύου τινὸς ἀποτελούντων, ἐπὶ μέσου διέτεινε τοῦ δικαστηρίου, χωρίζον τὸν ἄρχοντα τῶν ὑπ... κάγκελλον αὐτὸ οἱ Ῥωμαῖοι καλοῦσιν ὑποκοριστικῶς ἀντὶ τοῦ δικτύδιον, ὅτι πρωτοτύπως κάσσης αὐτοὶ τὰ δίκτυα λέγουσιν, ὑποκοριστικῶς δὲ καγκέλλους. ἐπὶ τούτου τοῦ διατμήματος ἵσταντο δύο καγκελλάριοι ἐκ τοῦ πράγματος ἐπιφημιζόμενοι, δι' ὧν, ἐπεὶ μηδεὶς ἐθάρρει ἀλλ' οὐδὲ συνεχωρεῖτο προσψαῦσαι τῷ βήματι, οἵ τε πρὸς ὑπογραφὴν χάρται τῇ ἀρχῇ προσεφέροντο ἤ τε τῶν ἀναγκαίων ἐγίγνετο μήνυσις. ἀλλ' ἤδη πρότερον εἰς πλῆθος τοῦ ἀξιώματος ὑβρισθέντος, τὸ μὲν δημόσιον ἀνήρτησε τὴν ἐπίδοσιν, πάντες δὲ σχεδὸν οἱ ὕπωσοῦν ... περικείμενοι καγκελλάριοι καθ' ἡμᾶς χρηματίζουσι· καὶ οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ οἱ ἐν ταῖς ἐπαρχίαις χαλκολογοῦντες τὸ καγκελλαρίων περιάπτουσιν ἑαυτοῖς ἄξίωμα, ὅπως αὐτοῖς τὰ τῶν εὐηφενῶν ἀδεῶς προσάγοιτο. τοιαῦτα μὲν τὰ περὶ τῆς συγχύσεως καὶ τοῦδε τοῦ σχήματος.

38. Τοῖς δὲ σκριναρίοις προστέθεινται καὶ οἱ σίτου στρατιωτικοῦ οἱονεὶ ἀννωνιακοῦ προεστηκότες φροντίσματος, οὐχ ὅτι

3 διαφραγμου C. 6 lego ὑπ' αὐτόν. F. in Cangii Gloss. med. Graec. v. καγκελλάριος hanc glossam repperi: κάγκελλον ἀντὶ τοῦ δικτυΐσκον, ὑποκοριστικῶς, ὅτι κάσσεις Ῥωμαῖοι τὰ δίκτυα λέγουσι, καὶ ὑποκοριστικῶς κάγκελλον· ἔνθεν καγκελλάριοι οἱ ἐν αὐτῷ ἑστηκότες. δυο δὲ οὗτοι μόνοι. F. 7 δικτυδίου C. 8 τοῦ vulgo om. 10 θαρρεῖ C. 14 post ὁπωσοῦν aliquot literae exstinctae. F. 17 εὐηφενῶν] coniectura ex reliquiis literarum. F.

dabatur. causa autem nominis haec. (37) sicuti etiamnum nostra, ita olim in universum auditoria septum atque, ut aliquis dicat, paries intergerinus ligneus, e perticis longis oblique inter se positis foraminaque acuta quasi retis efficientibus, media dividebat, principem ab apparentibus seiungens. cancellum id Romani diminutive vocant, id est reticulum: retia enim primitiva voce casses et diminutiva cancellos dicunt. ad hoc septum stabant duo cancellarii, ex re nomen habentes; qui, quoniam nemo audebat neque vero licebat tribunal attingere, cum subscribendas chartas praefecturae afferebant, tum quae opus erant indicabant. verum iam prius in contemptum vulgo adducta dignitate, quod de publico additum fuerat, cessavit: omnes autem fere, munere qualicunque fungentes, nunc cancellarii appellantur; neque ipsi tantum, sed ii quoque qui in provinciis pecuniam exigunt, cancellariorum sibi nomen, quo opulentorum rebus abunde potiantur, adiungunt. haec de perturbatione huius quoque instituti.

38. Scriniariis vero adiuncti sunt frumento militari, id est annonarum muneri, praepositi, non quod et ipsi ad antiquam iudicii speciem

καὶ αὐτοὶ μέρος ἐτύγχανον τῆς παλαιᾶς ὄψεως τοῦ δικαστηρίου, ἀλλ' ὅτι τῶν στρατηγικῶν παρωθηθέντων σκριναρίων καὶ τούτων συνέβη ἀποτελεσθῆναι τὸν κατάλογον. τῇ δὲ βασιλέως ἀρετῇ τὸ πρὸς ἄλλων ἐπηρείας ἐξηυρῆσθαι νομισθὲν εἰς λυσιτελοῦν καλῶς διοικούμενον ἀπεδείχθη. τοῦ γε μὴν σιτωνικοῦ ἀνέκαθεν ὑπὸ τὴν πολιαρχίαν τελοῦντος, δυνάμει δὲ καὶ αὐθεντίᾳ τοῦ βδελυροῦ Καππαδόκου, περὶ οὗ μικρὸν ὕστερον ἐρῶ, ἀφαιρεθέντος (προσδεῖν γὰρ ᾤετο τοῖς κατὰ τῶν ἐπαρχιῶν ἀδικήμασιν αὐτοῦ καὶ αὐτὴν τὴν βασιλέως πόλιν ὑπαγαγεῖν), μόνος Γαβριήλιος πολιαρχῶν ἀποκατέστησεν ἐκείνῳ τῷ δικαστηρίῳ· πέφυκε γὰρ ὁ βασιλεὺς καλὸς ὢν καὶ ἐλεύθερος ἐρυθριῶν τοὺς γένει καὶ βίῳ καὶ φιλοτιμίᾳ ζηλοῦντας αὐτὸν κατὰ δύναμιν. αὐτοῦ δὲ Γαβριηλίου τὴν ἀρχὴν ἀπο...μένου αὖθις πρὸς τὸ μεῖζον ἡ φροντὶς τῆς εὐθηνίας δικαστήριον ἐπανῆλθεν, ὡς δῆλον ἀντικρὺ πᾶσιν ἀποδειχθῆναι ὅτι Γαβριηλίῳ κατ' ἀξίαν χαίρων ὁ βασιλεὺς ἐνδέδωκεν· ἔδει γὰρ αὐτόν, ἄνδρα ἀγαθὸν ὄντα καὶ ταῖς ἀρεταῖς ἀσύγκριτον, τὸ πλέον εὑρεῖν παρὰ βασιλεῖ τιμῶντι δικαιοσύνην τε καὶ θεοφιλίαν καὶ γένους λαμπρότητα.

39. Ὑπόλοιπον ἄρα τυγχάνει τὰς αἰτίας τῆς ἐλαττώσεως καὶ τῆς τοσαύτης τῶν πραγμάτων παραλλαγῆς ἀποδοῦναι, κἂν εἰ τυχὸν αὐτὴν τὴν ἀρχὴν ἑαυτῆς καὶ μεῖζονα καὶ κλεινοτέραν τῇ βασιλέως ἀγρυπνίᾳ ἔτι καὶ νῦν ἔστι συνιδεῖν· οὐδὲ γὰρ μέλος ἔστι τῆς ὅλης πολιτείας ὃ μὴ καθόλου εἰς ὕψος τε ἅμα καὶ δύναμιν

6 τελούντων C. 10 ἐκεῖνο? 13 lego ἀποδεξαμένου. F.

pertinuerint, sed quoniam militaribus scriniariis sublatis horum quoque catalogum existere contigit. imperatoris autem virtute, quod aliorum damno repertum videbatur, in commodum egregie administrari patuit. sitoniam vero praefecturae urbis, cui inde ab initio subiecta fuerat, potentia arbitrioque improbi Cappadocis (de quo paulo post dicturus sum) ereptam (superesse enim putabat ut suis in provincias iniuriis ipsam quoque imperatoris urbem obnoxiam redderet) solus Gabriel, praefectura urbis fungens, illi iudicio restituit. solet enim imperator, utpote bonus et liberalis, genere vitaque et munificentia ipsum pro viribus aemulantes revereri. ipso autem Gabriele praefectura praetorii potito annonae munus iterum ad maius iudicium rediit, omnibus ut prorsus manifestum fuerit imperatorem, cum Gabriele pro eius merito delectaretur, indulsisse. etenim necesse erat eum, cum esset vir bonus et virtutibus incomparabilis, apud imperatorem iustitiam et sanctitatem et generis splendorem honorantem plus valere.

39. Restat igitur ut causas imminutionis tantaeque rerum commutationis exponamus, quamvis forte ipsum magistratum et maiorem sese imperatoris vigilantia et clariorem etiamnum est videre: neque enim pars est totius rei publicae, quam non in universum ad fastigium simul fir-

ἰσχυρὰν ὁ βασιλεὺς μετὰ καλ... ἀνέστησε, περινοστῶν ἅμα καὶ περιθεώμενος, μήτε τῶν ἀνέκαθεν ὑπαρξάντων αὐτῇ γνωρισμάτων ὃ μὴ μετὰ προσθήκης τῶν ἀρετῶν ὑπολάβοι. ἀλλ' ὅτι ὁ χρόνος, λυμαντικὸς ὢν κατὰ φύσιν, τὰ πολλὰ τῶν τῆς πειθομένης τῇ ἀρχῇ τάξεως χρειώδη ἅμα καὶ κόσμια ἢ παντελῶς ἔσβεσεν ἢ τοσοῦτον ἐνήμεψεν ὡς ἴχνος ἀμυδρὸν τῶν ποτὲ θαυμαζομένων τὸ λοιπὸν διασώζειν, τῆς μὲν ἀρχῆς ἐν τῇ σφετέρᾳ δυνάμει συνισταμένης, τῆς δὲ τάξεως νῦν μὲν ἐκ τῶν ἐκείνης παραλλαγῶν νῦν δὲ ἐκ τῶν οἰκείων ῥᾳθυμιῶν, εἰ μὴ θεὸς καὶ βασιλεὺς οὗτος ὁ πάντα καλὸς ἐπεκούρει, ἐγγὺς εἰς παντελῆ κατάλυσιν ὀλισθαινούσης. εἰ δέ που τυχόν, τῷ περὶ τὴν κοινὴν ἐλευθερίαν ζήλῳ, τινὸς τῶν μὴ κατὰ σκοπὸν τῆς βασιλέως καλοκαγαθίας τὰς ἀρχὰς διανυσάντων θριμύτερον ἠρέμα προϊὼν ὁ λόγος καθάψεται, μὴ ταῖς ἀρχαῖς αὐταῖς ἀλλὰ τοῖς οὐ προσηκόντως ἀποχρησαμένοις αὐταῖς τὴν ἀγανάκτησιν οἱ σωφρόνως εἰς τὰ πράγματα βλέποντες ἀναγέτωσαν. οὐδὲ γὰρ τοὺς κακοὺς ἐλέγχειν μόνον ὁ λόγος ἐτόλμησεν, ἀλλὰ καὶ τοὺς ἀγαθούς, εἰ καὶ μὴ κατ' ἀξίαν, ἐκόσμησεν. οὕτω γὰρ ὑβρίζειν μὲν τὴν ἐλευθερίαν καὶ σπαράττειν τοὺς ὑπηκόους οἱ τὸν ὅρον τῆς ἀρχῆς ἀγνοοῦντες ἐντραπήσονται, οἵ τε ζηλοῦντες τὴν βασιλέως πραότητα καὶ πρὸς τὰς ἄλλας ἀρετὰς αὐτοῦ ὀξεῖ τῷ δρόμῳ σπουδάσουσι. καιρὸς δὲ ἄρα τὴν ἀφήγησιν διελθεῖν καὶ τὰς αἰτίας εἰπεῖν ὧν ἕνεκα τὰ τῆς τάξεως ἐπὶ τοσαύτην ἐναλλαγὴν κατηνέχθη.

1 videtur fuisse καλούς. F. 3 ἀλλ' ὅτι] coniectura ex reliquiis literarum. F. aptius ἀλλ' οὖν. 10 ὀλισθενούσης C. 20 αὐτούς C.

mamque potentiam imperator cum bonis extulerit, circumiens una circumspiciensque, neque ullum antiquorum eius ornamentorum, quod non additis virtutibus restituerit. sed enim tempus, natura sua nocens, plurima apparentis magistratui officii utilia simul et decora aut penitus exstinxit, aut tantum immutavit ut admirabilium quondam obscurum nunc vestigium conservet, stante quidem sua magistratui potestate, officio autem, modo ex eius immutationibus modo ex apparitorum ignavia (nisi deus et hic in omnibus egregius imperator opem ferant), paene funditus pereunte. sicubi vero, communis libertatis studio, eorum aliquem qui non secundum propositum generosi imperatoris magistratibus praefuerunt acerbius forte, placide progrediente enarratione, incusavero, non ipsis magistratibus sed iis male abusis sapientes rerum aestimatores indignationem tribuant. neque enim tantummodo malos accusare ausus sum, sed et bonos, etsi non pro meritis, ornavi. sic quippe insultare libertati et dilacerare cives, qui modum imperii ignorant, erubescent; et qui imperatoris mansuetudinem aemulantur, ad reliquas etiam eius virtutes citato gradu contendent. tempus itaque est enarrationem persequi, causasque ob quas tanta officii mutatio exstitit referre.

40. *Κωνσταντίνου, ὥσπερ ἔφην, μετὰ τῆς τύχης τὴν Ῥώμην ἀπολιπόντος, καὶ τῶν δυνάμεων, ὅσαι τὸν Ἴστρον ἐφρούρουν, ἐπὶ τὴν κάτω Ἀσίαν ψήφῳ τοῦ βασιλέως διασπαρεισῶν, Σκυθίαν μὲν καὶ Μυσίαν καὶ τοὺς ἐξ ἐκείνων φόρους ἐζημιώθη τὸ δημόσιον, τῶν ὑπὲρ Ἴστρον βαρβάρων μηδενὸς ἀνθισταμένου κατατρεχόντων τὴν Εὐρώπην· τῶν δὲ πρὸς τὴν ἕω δασμοῖς οὐ μετρίως βαρυνθέντων, ἀνάγκη γέγονε τὸν ὕπαρχον μηκέτι μὲν τῆς αὐλῆς καὶ τῶν ἐν ὅπλοις ἄρχειν δυνάμεων, τῆς μὲν τῷ λεγομένῳ μαγίστρῳ παραδοθείσης, τῶν δὲ τοῖς ἄρτι προελθοῦσι στρατηγοῖς ἐκτιθεισῶν, ἀλλ' οὐν ὕπαρχον τῆς ἀνατολῆς χρηματίζειν. διεσύρη δὲ οὐδὲν ἧττον θανατῶσα καθ' ἑκάστην ἡ τῆς ἀρχῆς δυναστεία ἄχρι τῆς Ἀρκαδίου, τοῦ πατρὸς Θεοδοσίου τοῦ νέου, βασιλείας, ἀφ' οὗ συμβέβηκε Ῥουφῖνον τὸν ἐπίκλην ἀκόρεστον, ὃς ἦν ὕπαρχος αὐτῷ, τυραννίδα μελετήσαντα τοῦ μὲν σκοποῦ ὑπὲρ λυσιτελείας τῶν κοινῶν ἐκπεσεῖν, εἰς βάραθρον δ' ἀχανὲς τὴν ἀρχὴν καταρρῖψαι. αὐτίκα μὲν γὰρ ὁ βασιλεὺς τῆς ἐκ τῶν ὅπλων ἰσχύος ἀφαιρεῖται τὴν ἀρχήν, εἶτα τῆς τῶν λεγομένων φαβρικῶν οἱονεὶ ὁπλοποιιῶν ἐξουσίας, τῆς τοῦ δημοσίου δρόμου φροντίδος καὶ τῆς ἑτέρας αὐθεντίας, δι' ὧν τὸ λεγόμενον συνέστη μαγιστήριον. ὡς δὲ δύσεργον ἦν ἀποτρέφειν μὲν τὸν ὕπαρχον ἀνὰ τὰς ἐπαρχίας τοὺς δημοσίους ἵππους καὶ τοὺς αὐτοῖς ἐφεστῶτας, ἑτέρους δὲ κεκτῆσθαι τὴν ἐπ' αὐτοῖς ἐξουσίαν καὶ διοίκησιν, νόμος ἐτέθη θεσπίζων ἀντέχεσθαι μὲν τὸν ὕπαρχον τῆς τοῦ δημοσίου δρόμου φρον-*

6 δασμῶν C, sed 2 10 δασμοῖς. 7 βαρυνθέντων 2 10: hic enim C βαρηθέντων. 9 στρατηγικοῖς C. 10 ἀλλ' οὐν] ἄλλων C.

40. Constantinus postquam, ut dixi, cum fortuna Romam reliquit, et quot Istrum custodierant copiae, decreto imperatoris per Asiam inferiorem sparsae sunt, Scythiam Mysiamque et illarum vectigalia aerarium amisit, barbaris qui ultra Istrum habitabant Europam, nullo resistente, incursantibus: Orientis autem populis tributis haud mediocribus oneratis, necesse fuit praefectum praetorio aulae et copiis, quarum illa magistro quem vocant, hae strategis nuper creatis traditae, non amplius praeesse, sed praefectum Orientis appellari. neque minus potestas magistratus, morti in dies propior, ad Arcadii, patris Theodosii iunioris, imperium dilacerata est; sub quo Rufinus cognomine insatiabilis, quo praefecto praetorii ille utebatur, tyrannidem meditatus a proposito quidem, bono rei publicae, aberravit, in barathrum autem immane magistratum praecipitavit. namque imperator continuo potentiam ab armis magistratui adimit, deinde fabricarum, ut vocant (id est armorum conficiendorum) potestatem, cursus publici curam, aliamque auctoritatem; quibus magisterium quod vocant conflatum est. verum cum incommodum esset praefectum praetorio equos publicos iis praepositos in provinciis sustentare, aliorum autem sub potestate eos administrationeque esse, lex data est ut cursus

τίδος, τὸν πρῶτον μέντοι τῶν φρουμενταρίων (πρίγκιπα αὐτὸν σήμερον τοῦ μαγίστρου καλεῖσθαι συμβαίνει) παρεῖναι διὰ παντὸς τῷ δικαστηρίῳ τοῦ τῶν πραιτωρίων ὑπάρχου καὶ πολυπραγμονεῖν, καὶ τὰς αἰτίας ἐξερευνᾶν ὧν ἕνεκα πολλοὶ ποριζόμενοι παρὰ τῆς ἀρχῆς τὰ λεγόμενα συνθήματα τῷ δημοσίῳ κέχρηνται δρόμῳ (ταύτῃ καὶ κουριῶσος ὠνομάσθη ἀντὶ τοῦ περίεργος, καὶ οὐκ αὐτὸς μόνος ἀλλὰ καὶ πάντες ὅσοι κἀν ταῖς ἐπαρχίαις τοῖς δημοσίοις ἐφεστήκασιν ἵπποις), προϋπογράφοντος τοῖς ἐπὶ τῷ δρόμῳ συνθήμασι καὶ τοῦ λεγομένου μαγίστρου. ὅτι δὲ οὕτως, αὐτῆς δυνατὸν ἀκοῦσαι τῆς διατάξεως, ἐν μὲν τῷ παλαιῷ Θεοδοσιανῷ κειμένης, ἐν δὲ τῷ νεαρῷ παροφθείσης.

41. Οὕτως οὖν ὥσπερ δι' ὑποβάθρων τινῶν καταφερομένης τῆς ἀρχῆς, τοὺς μὲν στρατιωτικοὺς καταλόγους ἔταξεν ἡ βασιλεία ὑπὸ τοῖς τότε καλουμένοις κόμησιν ἢ στρατηγοῖς, τὰς δὲ ἐν τῷ παλατίῳ τάξεις ὑπὸ τῷ πρωτεύοντι τῶν δυνάμεων τῆς αὐλῆς, ὃν καὶ αὐτὸν ἄρχοντα οὐ μικρόν, καθάπερ τοὺς λεγομένους στρατηλάτας, αἱ τῆς ἐπαρχότητος ἐλαττώσεις ἀπετέλεσαν· τὰ γὰρ πολυτελῆ τῶν οἰκοδομημάτων καταλυόμενα πολλοῖς ἐπαρκεῖ πρὸς οἰκοδομήν. καὶ ἕως μὲν τοὺς βασιλέας ἐπεξιέναι δι' ἑαυτῶν τοῖς πολέμοις συνέβαινεν, εἶχέ τινα ἡ ἀρχή, εἰ καὶ μὴ τοσαύτην, πλὴν ὑπὲρ πάσας τὰς ἄλλας ἰσχύν τε καὶ δύναμιν· ἐξότε δὲ συνέβη τελευταῖον Θεοδόσιον νέον κομιδῇ τῆς βασιλείας ἐπιλαβέσθαι καὶ κατὰ τὴν τοῦ πατρὸς νομοθεσίαν μὴ συγχωρεῖσθαι τοῖς πολέμοις παρεῖναι, καὶ τούτου νόμῳ γενικῷ κωλυθέντος, ἀπολέγοντι βασι-

1 μέντοι F, μὲν C. 23 πολεμίοις vulgo.

publici curam praefectus praetorio retineret quidem, primus tamen frumentariorum (principem magistri eum hodie vocant) in auditorio eius semper adesset et cuncta curiose investigaret, causasque inquireret cur multi, impetratis a praefecto praetorio synthematis, cursu publico utantur (unde etiam curiosus dictus est, neque ille solus, sed quicunque equis publicis in provinciis praepositi); utque synthemata ad cursum et magister, isque primus, subscriberet. quod ita esse ipsa constitutio docet, in vetere codice Theodosiano exstans, in novo autem praetermissa.

41. Sic igitur tanquam per gradus labente magistratu, militaribus catalogis imperator, quos comites tum vocabant sive duces, officiis autem palatii principem aulicarum copiarum praefecit; quem ipsum magistratum haud parvum, sicuti στρατηλάτας quos vocant, praefectura imminuta reddidit: quippe magnifica aedificia dissoluta multis ad aedificandum sufficiunt. ac dum imperatores ipsi bella obiere, habuit quandam magistratus, etsi non tantam, maiorem tamen quam ceteri omnes, potentiam atque auctoritatem: ex quo autem Theodosius postremus imperium admodum adolescens capessivit, patris lege quo minus contra hostes iret impeditus, generalique lege in bellum proficisci prohibiti sunt imperatores

λεῖ Ῥωμαίων ὁρμᾶν ἐπὶ πόλεμον, εἰκότως τοῖς μὲν στρατηγοῖς τὰ τῶν πολέμων τῷ δὲ μαγίστρῳ τὰ τοῦ παλατίου γέγονε χώρα, ὡς μηδὲν ἕτερον ἔχειν τὸ λοιπὸν τὴν ἐπαρχότητα ἢ μόνον τὴν ἐπὶ ταῖς δαπάναις φροντίδα, ἃς εἰκός ἐστι γενέσθαι κατὰ τὸ ἀναγκαῖον περί τι τοὺς ἐξ αὐτῆς παραφυομένους ἄρχοντας καὶ περὶ ἐκείνους γε μὴν ὧν αὐτοὶ δῆθεν ἐτάχθησαν ἄρχειν.

42. Εἰ δέ τις καὶ τοὺς ἐκ τῶν προρρήσεων στοχασμούς, οὕς τινες καλοῦσι χρησμούς, ἐν ἀριθμῷ λόγων παραλαβεῖν ὑπομένοι, πέρας ἔλαβε τὰ Φωντήϊῳ τῷ Ῥωμαίῳ ῥηθέντα ποτέ. φησὶ γὰρ ἐκεῖνος, καὶ στίχους τινὰς δοθέντας δῆθεν Ῥωμύλῳ ποτὲ πατρίοις ῥήμασιν ἀναφέρει, τοὺς ἀναφανδὸν προλέγοντας τότε Ῥωμαίους τὴν τύχην ἀπολείψειν, ὅτε αὐτοὶ τῆς πατρίου φωνῆς ἐπιλάθωνται. καὶ τὸν μὲν λεγόμενον χρησμὸν τοῖς περὶ μηνῶν γραφεῖσιν ἡμῖν ἐντεθείκαμεν, πέρας δὲ μᾶλλον ἔσχε τὰ τοιαῦτα μαντεύματα. Κύρου γάρ τινος Αἰγυπτίου, ἐπὶ ποιητικῇ ἔτι καὶ νῦν θαυμαζομένου, ἅμα τὴν πολίαρχον ἅμα τὴν τῶν πραιτωρίων ἐπαρχότητα διέποντος καὶ μηδὲν παρὰ τὴν ποίησιν ἐπισταμένου, εἶτα παραβῆναι θαρρήσαντος τὴν παλαιὰν συνήθειαν καὶ τὰς ψήφους Ἑλλάδι φωνῇ προενεγκόντος, σὺν τῇ Ῥωμαίων φωνῇ καὶ τὴν τύχην ἀπέβαλεν ἡ ἀρχή. νόμον γὰρ αὐτιγράφειν ὁ βασιλεὺς ἀνεπείσθη πάσης ἀφαιρούμενον ἐξουσίας τὴν ἐπαρχότητα· ἡ γὰρ ἄρτι καὶ κουφίσαι ὅρους καὶ σιτήσεις καὶ φῶτα καὶ θέας καὶ ἀνανεώσεις

4 ἃς F, ἣν C. 12 ἀπέλειπεν C. 20 ἀπέβαλεν add F e 2 12. αὐτιγάρφειν C. 22 lego φόρους. F.

Romani, ut necesse erat, quae ad bella pertinent, ducum, quae ad palatium, magistri provincia fuere; ut nihil aliud praefectura habeat nisi solam sumptuum administrationem, qui, ut perspicuum est, cum in obvias necessitates tum in magistratus ex illa, ut dixi, ortos, adeoque in eos quibus hi praefecti sunt, impenduntur.

42. Quodsi quis et coniecturas e praedictionibus, quae oracula a nonnullis vocantur, rationum in numero habere non recuset, exitum habuere a Fonteio Romano quondam dicta. ait enim ille, et versus quosdam Romulo scilicet olim datos patrio sermone refert, aperte praedicentes tum Romanos fortunam derelicturam, cum ipsi patriae linguae oblíti fuissent; quod oraculum (ut vocant) nostro de Mensibus tractatui inseruimus. exitum vero utique haec vaticinia habuere. quippe postquam Cyrus quidam Aegyptius, quem ob poesin etiamnum admirantur, praefectura urbis et praetorii simul fungens, neque aliud quicquam praeter poesin sciens, veterem consuetudinem transgredi ausus est decretaque Graeco sermone protulit, cum Romana lingua fortunam quoque magistratus amisit. legem enim autographam ferre persuasus est imperator, omni magistratum potestate spoliantem. nam qui nuper et tributa levandi et

ἔργων αὐθεντοῦσα ταῖς πόλεσιν ἐπιδοῦναι οὐκ ἤρκεσε τὸ λοιπὸν οὐδὲ ἐτόλμησε μικρᾶς γοῦν τινὸς παραψυχῆς ἐκ τῶν δημοσίων μεταδοῦναί τινι. ὁ δὲ καθ' ἡμᾶς Δημοσθένης, ὃς καὶ αὐτὸς ὕπαρχος ἦν, οὐδὲ μετὰ κέλευσιν τῆς βασιλείας, γραμμάτων χωρίς, εἰ μὴ πραγματικὸς ἠργήσατο νόμος, ἄδειαν ἔχειν τὴν ἐπαρχότητα ἐπιδοῦναι τοῖς ὑπηκόοις κατεπράξατο, μὴ μόνος αὐτὸς εὖ ποιῆσαι τοὺς ὑποτελεῖς παραφυλαξάμενος, ἀλλὰ καὶ ἄλλοις τὸ λοιπὸν ἀποκλείσας. τῆς δὲ ἀρχῆς ἤδη καὶ αὐτὴν τὴν ἐπιπόλαιον ὄψιν ζημιωθείσης, ἠκολούθησε τοῖς τὰς δίκας λέγουσιν ἐκκλήτοις εὐτελίσαι τὸ δικαστήριον παρὰ τὸ πάντῃ κεκωλυμένον. καὶ νόμῳ τοῦτο διωρίσθη· οὐ γὰρ ὑπέμεινεν ἡ βασιλέως πραότης τοῖς δικαζομένοις τὴν ἀπὸ τῆς ἐφέσεως περικόπτειν ἐλπίδα, ἣν προθεωροῦντες οἱ δικάζοντες ἴσως ἀδεκάστως εἰς τὰ πράγματα εἰσβλέψουσι. τοσαῦτα περὶ τῆς ἀρχῆς ἐπιδακρύσας φημί.

43. Κωλύσει δὲ οὐδὲν ὥσπερ ἐν ὑποτυπώσει μνησθῆναι τῆς κατὰ μικρὸν ἐλαττώσεως· οὐ γὰρ ἄν τις ἐπιδείξει σαφῶς τὴν ἀφαίρεσιν, μὴ προαριθμησάμενος ταῦθ' ἅπερ ὄντα τὸ πρὶν ὕστερον ἀφῃρέθη. μετὰ γοῦν Θεοδόσιον καὶ Μαρκιανὸν τὸν μέτριον ἐλθὼν ὁ Λέων καὶ τὸν πλοῦτον εὑρὼν ὃν Ἄττιλας ὁ τῆς οἰκουμένης πολέμιος λαμβάνειν ἔμελλεν (ἦν δὲ ὑπὲρ τὰς χιλίας ἑκατοντάδας τοῦ χρυσίου λιτρῶν), ὀγκωθεὶς τῇ δυνάμει ἔγνω Βανδήλοις,

1 λοιπὸν F, λόγιον C. vulgo. 5 πραγματικῶς C. 8 ἐπὶ πόλεων 10 τούτῳ C. 17 ἃ παρόντα? an ἃ ὑπάρχοντα? 21 τοῦ deleverim.

victum et lumina et spectacula operumque refectiones civitatibus concedendi potestatem habuisset, non habuit deinde, neque ausa est vel parvum quoddam solatium de publicis cuiquam dare. noster vero Demosthenes, qui et ipse praefectus praetorio erat, ut ne post iussionem imperatoris quidem sine literis praefectura, nisi si pragmatica lex dedisset, licentiam haberet civibus largiendi effecit, non ipse tantum ne civibus bene faceret cavens, verum alios quoque in posterum impediens. ipsa autem specie externa iam adempta magistratui, deinceps per electos causarum actores elevatum est iudicium, contra quod omnibus modis prohibitum. atque id lege temperatum est: neque enim sustinuit imperatoris mansuetudo litigantibus spem ab appellatione imminuere, quam praevidentes iudices integre fortasse res intuebuntur. haec de magistratu collacrimans commemoro.

43. Nihil autem impediet quominus paulatim progressae imminutionis quasi imaginem quandam exprimamus: nec enim imminutionem perspicue ostenderit, nisi qui prius, quae olim fuere posteaque erepta sunt, enumeraverit. post Theodosium igitur prudentemque Marcianum secutus Leo, cum divitias queis Attalus orbis terrarum hostis potiturus erat (erant autem super centum auri librarum milia) invenisset, potentia inflatus

ἔθνει Γερμανικῷ ἀπὸ τῆς ἀρκτῴας ἐπὶ τὰς Ἱσπανίας διὰ τοῦ Πυρηναίου ἐνσκήψαντι τῇ Λιβύῃ, πολεμεῖν. μυρίαις οὖν ναυσὶ μακραῖς, ἃς καλοῦσι λιβύρνας, ἐπιστήσας στρατὸν οἷον ὁ μακρὸς ἀπεθαύμασε χρόνος, εἰς ἐσχάτην ἀπορίαν περιέστησε τὴν ἀρχήν, ἀποτείνων αὐτὴν καὶ βιαζόμενος καὶ δαπάνην τεσσαράκοντα μυριάσιν ἀνδρῶν πρὸς μάχην διαπόντιον καὶ γῆς ἀλιμένοις ὅρμοις ὠχυρωμένης δυσχωρίαν καὶ βαρβάρων ὑπὲρ λόγον πλουτούντων δύναμιν ἀρκεῖν. ἀνάλωται γὰρ περὶ τὸν κακοδαίμονα πόλεμον ἐκεῖνον, Βασιλίσκου τῶν δεινῶν ἡγησαμένου, χρυσίου μὲν λιτρῶν μυριάδες ἓξ πρὸς πεντακισχιλίαις, ἀργύρου δὲ χιλιάδες λιτρῶν ἑπτακόσιαι, ἵππων δὲ καὶ ὅπλων καὶ ἀνδρῶν τοσοῦτον ὅσον ἄν τις τῷ παντὶ χρόνῳ ἐλλείπειν καλῶς ἀφορίσεται. (44) καὶ μετὰ ταῦτα πάντα ναυάγιον τῆς ὅλης πολιτείας. οὐ γὰρ ἀρκέσαντος τοῦ δημοσίου χρήματος καὶ ὅσον ἦν ἴδιον τῇ βασιλείᾳ, πάντα τὰ τῶν στρατιῶν πληρώματα ταῖς ἀστοχίαις ἐναπώλετο τοῦ πολέμου. καὶ ἵνα μὴ μακρηγορῶ, ἐξ ἐκείνου τοῦ συμπτώματος οὐκέτι τὸ ταμιεῖον ἐπήρκεσεν ἑαυτῷ, ἀλλὰ προσδαπανᾷ τοῖς πράγμασι πρὸ καιροῦ τὰ μήπω ἐν ἐλπίδι γοῦν τοῖς ὑποτελέσιν ὄντα, ὡς ἀπέραντον εἶναι τὴν ἀπορίαν τοῦ δημοσίου. ἐπιλείποι δ' ἂν ἡμᾶς ὁ χρόνος, εἰ τὰς ὑπὸ Λέοντι πεσούσης τῆς πολιτείας ἀπαριθμησώμεθα συμφοράς, τῶν τότε οἴκοι κακῶν, τῶν ἐν μέσῳ πυρὶ δαπανηθέντων, συνέμιξαν τῶν τότε πολέμων τὸ δυστυχὲς καὶ ἄλλων μυρίων ἀτυ-

1 γερμανικῶς C. patet aliquid excidisse. F. 5 καὶ] an εἰς? 7 ὠχυρωμένην C. 10 μυριάδων - πεντακισχιλίας — χιλιας C. 12 lego ἐκλιπεῖν. F. ἀφορήσεται C. 18 ἦγον C, ἤγουν F. 21 τῶν - κακῶν - συνέμιξαν. legendum, ni fallor, τοῖς - κακοῖς - συμμίξαν. F.

Vandalis, nationi Germanicae, quae a Septentrione in Hispanias per Pyreneum montem transgressa Libyam invaserat, bellum inferre decrevit. itaque cum decem milia navium longarum, quas liburnas vocant, exercitu, qualem nulla aetas mirata est, implesset, magistratum ad incitas redegit, intentum coactumque quadringentis hominum milibus, trans mare contra terrae importuosis sinubus defensae difficultatem et barbarorum mirum quantum opulentorum potentiam dimicaturis, sumptum sufficere. insumpta quippe fatali illi bello, Basilisco malorum duce, auri sexaginta quinque, argenti autem septingenta librarum milia, equorum vero armorumque et hominum tantus numerus quantum omni aevo interiisse quis iure negaverit. (44) et post haec omnia naufragium totius rei publicae. nam cum non sufficeret pecunia publica, quantumque privatae erat imperatori, omnia exercituum complementa belli cladibus una perierunt. ac ne longus sim, ex illo casu aerarium haud amplius suffecit, sed ante tempus, quae nondum in spe, id est collatoribus sunt, in rem publicam impendit, ut infinita sit aerarii angustia. tempus autem, opinor, nos deficiat, lapsae sub Leone rei publicae clades si enarremus, domesticis tum malis, media urbis parte igne consumpta, mixtam bellorum infelicitatem aliorumque

χημάτων· ὡς αὐτὸν ἐκεῖνον, τὸν βασιλέα λέγω, τοῖς οἰκείοις κακοῖς ταραττόμενον μὴ μόνον τὴν αὐλὴν ἀπολιπεῖν, φασμάτων αὐτὸν ὥσπερ Ὀρέστην ἄνανδρον ἐνοχλούντων ἑτέρωθι διαιτᾶσθαι, ἀλλὰ καὶ αὐτὴν δὲ τὴν πάγχρυσον ἀπολιπεῖν διασκέψασθαι ἀπολεῖ καὶ εἰς τοιαύτην βασιλείαν μετατρέψαι, εἰ μὴ θεὸς τοῦθ' ὃ δέδωκε τῇ πόλει διεσώσατο κράτος. (45) καὶ Λέων μέν ποτε ἀπηλλάττετο, ἡ δὲ ἀρχὴ τοῖς ἐκείνου κατακλυσμοῖς ἐβυθίζετο, Ζήνωνος ἔνθεν τὸ τοῦ κηδεστοῦ κράτος ὑπεξελθόντος. δειλὸς δὲ ἦν, μᾶλλον δὲ δείλαιος, καὶ τοὺς πολέμους ἀπηργυρίζετο, μηδὲ ἐν εἰκόσι μάχην ὑπομένων ὁρᾶν, καὶ συνώθει τὸν ὕπαρχον χρυσίῳ πολλῷ τὴν εἰρήνην ὠνεῖσθαι, αὐτὸς περὶ δημεύσεις καὶ ὄλεθρον τῶν ἐν τέλει τῆς πολιτείας ἀγρυπνῶν. ἔσχε δὲ ὅμως καὶ αὐτὸς ἀναίσιον πέρας. τοσούτων κακῶν ἐπιχεθέντων τῇ πρόσθεν εὐδαίμονι τῶν ἀρχῶν, ἡ τύχη βραχύ τι γνήσιον δὲ γελῶσα τὸν Ἀναστάσιον θανατῶσιν ἐπέστησε τοῖς ὑπηκόοις, ὃς διὰ πάσης ἦλθεν ὁδοῦ τὴν ἔνδειαν τῶν κοινῶν ἀποτίσασθαι, καὶ δίκην οἰκοδεσπότου τινὸς τοὺς φόρους, ὅσοι σώζεσθαι δύναιντο, ταῖς ἀληθείαις ταῖς δαπάναις προσαρμόσας, καὶ λογισμοὺς ἀπῄτει τῶν δαπανῶν καὶ δικαίως ἐτίθετο, τὴν ἀμετρίαν διαφεύγων, οὐχ ὥσπερ ὁ Νέρων ποτέ, καὶ εἴ τινες ἐκεῖνον ζηλώσαντες δαπάνας μὲν ἀμέτρους ἐποιήσαντο, λογισμοὺς δὲ μέχρι μνήμης ἢ λαβεῖν πρὸς τῆς ἐπαρχότητος ἢ πρᾶξαι πρὸς αὐ-

2 τὸν C. 4 πόλιν? 8 κηδεστοῦ C. 10 θρᾶν C. 14 θανατωσεν C. 17 ταῖς ἀληθεστάταις δ.? 19 οὐχ add F.

innumerarum calamitatum; ut ipse ille, imperator inquam, suis perturbatus malis, non modo aula relicta, spectris quasi ignavus Orestes exagitatus, alibi habitaverit, verum ipsam quoque auream civitatem exitio relinquere cogitaverit, unusque tantam imperii sedem evertisset, ni deus, quod dedit urbi imperium, conservasset. (45) et Leo quidem aliquando esse desiit: at praefectura concitatis ab eo inundationibus submersa est, Zenone deinde soceri imperium tenente. erat autem timidus, seu potius miser, et bella pecunia redimebat, ne in imaginibus quidem pugnam sustinens videre, praefectumque multo auro pacem mercari cogebat, ipse bonis publicandis et principum in re publica virorum exitio intentus. habuit vero et ipse pariter infelicem exitum. tantis malis submerso felici quondam magistratu, fortuna paulisper quidem sed sincere arridens Anastasium moribundis civibus praeposuit; qui ut publicae inopiae mederetur, nullam non iniit rationem, et more patrisfamilias cuiusdam tributa, quanta servari poterant, sumptibus re ipsa accommodans, rationes sumptuum et exigebat et iuste reddebat, immodicum fugiens; neque quemadmodum Nero olim, et si qui eum aemulati, sumptus quidem immodicos fecere, rationes autem mentione tenus aut accipere a praefecto aut ei

τὴν ἠξίωσαν, ποταμοὺς ἢ τάχα θάλασσαν ὅλην βλύζειν αὐτοῖς τὸ χρυσίον οἰόμενοι.

46. *Νέμασα δ' οὖν ὅμως ἡ τύχη, καὶ σκοπῷ διοικήσεως τὰ νεῦρα παρέλυσε τῆς πολιτείας. τῶν γὰρ βουλευτικῶν συστημάτων διοικούντων τὰς πόλεις καὶ τὸν στρατιώτην ἀποτρεφόντων καὶ ἀληθῶς πολιτευομένων τοῖς πράγμασι, Μαρῖνός τις ἐκ τῶν λεγομένων σκριναρίων τῆς ἑῴας διοικήσεως παρεισδὺς ἐντέχνως τῷ βασιλεῖ ἀναπείθει πᾶσαν αὐτῷ τὴν πολιτείαν, διαψηφίσαντι τοὺς φόρους, καταπιστεῦσαι, ὁμολογήσας χρυσίον τῷ βασιλεῖ περιποιεῖν. φιλοκερδὴς δὲ ἡρέμα ἐτύγχανεν ἐκεῖνος οἷα Ταυλάντιος καὶ Ἐπιδάμνου τῆς Ἰλλυρίδος· Δυρράχιον αὐτὴν Κρῆτες ἀποικήσαντες ἐκεῖ προσηγόρευσαν, ἀπὸ Δουρράχου τότε βασιλεύοντος Κρητῶν, ὡς ὁ Ῥωμαῖος Λουκανὸς ἐν τῇ δευτέρᾳ τῶν ἐμφυλίων φησίν, ἢ Κορκυραῖοι Κορινθίων ἄποικοι κατὰ τὸν συγγραφέα. καὶ πολὺς ἦν λόγος ἀπληστίας κατηγορῶν τὸν Ἀναστάσιον, ὡς καὶ ἐλεγείας τινὰς ἐπὶ τοῦ ἱπποδρομίου ἀνατεθῆναι πρὸς τοῦ δήμου κατ' αὐτοῦ, εἰκόνος αὐτῷ σιδηρᾶς ἐπὶ τοῦ ἱπποδρόμου ἀνατεθείσης. οἱ δὲ στίχοι τοῦ λεγομένου παρὰ μὲν Ῥωμαίοις φαμώσου καθ' ἡμᾶς δὲ βλασφημίας οἵδε.*

εἰκόνα σοί, βασιλεῦ κοσμοφθόρε, τήνδε σιδήρου
στήσαμεν ὡς χαλκῆς οὖσαν ἀτιμοτέραν,

1 lego *οὐκ ἠξίωσαν*. F. vel *ἀπηξίωσαν*. 3 *νεμεσᾷ δ' ὅμως*? 8 *ἀναπείθειν* C. 10 *καὶ*] *ἐξ*? 11 *ἀποικησαν* C. 13 Lucanus 2 610, de Brundusio: *urbs est Dictaeis quondam possessa colonis.* haec Lydus de Epidamno poetam dixisse putavit, eidemque, quod aliunde acceperat de nomine huius urbis, attribuit. F. 13 *ἢ* F, *οἱ* C. 15 *ἐλεγεῖά τινα* F. 19 *ὧδε* vulgo. 21 Anthologia: *ἄνθεσαν ὡς χαλκοῦ πολλὸν ἀτιμοτέρην.* F.

reddere non sunt dignati, flumina vel totum forte mare aurum sibi profundere arbitrantes.

46. At fortuna crudeliter dominata specie quoque administrationis nervos rei publicae solvit. nam cum curialia collegia civitatibus praeessent ac militem sustentarent vereque rem publicam moderarentur, Marinus quidam e scriniariis, ut vocant, orientalis dioecesis, cum se callide rebus insinuasset, imperatori persuadet ut totam sibi rem publicam, tributa vendituro, credat, aurum se imperatori conciliaturum pollicitus. erat autem ille lucri paulo amantior, ut pote Taulantius et Epidamno Illyriae civitate oriundus (Durrhachium eam Cretenses, qui coloni illuc venerant, a Durrhacho tum Cretensium rege appellarunt, ut ait Lucanus Romanus in libro secundo de bello civili; vel Corcyraei, Corinthiorum colonia secundum historicum). incusabantque vulgo Anastasium insatiabilis avaritiae, adeo ut disticha quaedam in eum in Hippodromo populus suspenderit, cum ferrea ei imago in illo posita fuisset. versus autem famosi (ut Romani vocant, quam nos blasphemiam) hi sunt: "imaginem tibi, imperator mundum destruens, hancce e ferro posuimus ut aenea vilio-

ἀντὶ φόνου πενίης τ' ὀλοῆς λιμοῦ τε καὶ ὀργῆς,
οἷς πάντα φθείρει σὴ φιλοχρημοσύνη.
γείτονα δὲ Σκύλλης ὀλοὴν ἀνέθεντο Χάρυβδιν,
ἄγριον ὠμηστὴν τοῦτον Ἀναστάσιον.
δείδιθι καὶ σύ, Σκύλλα, τεαῖς φρεσί, μή σε καὶ αὐτὴν
βρώξῃ, χαλκείην δαίμονα κερματίσας.

διαβάλλονται γὰρ πρὸς τῶν ἀρχαίων οἱ τὴν Εὐρώπην οἰκοῦντες σχεδὸν ἅπαντες ἐπὶ φιλαργυρίᾳ, ἅμα κερδαίνοντες ἅμα δαπανῶντες τὰ περιγινόμενα αὐτοῖς, οἱ δ' Ἠπειρῶται μάλιστα, Σύρων ὄντες ἄποικοι, ὡς ὁ Πολέμων ἐν πέμπτῃ ἐξηγήσεων τῆς κατὰ Λουκανὸν τὸν Ῥωμαῖον ἐμφυλίου συγγραφῆς ἀπεφήνατο. ὅθεν καὶ Παλαιστήνη πρὸς τῶν ἀρχαίων καλεῖται, ἐν ᾗ Ἡρώδης ποτὲ πρὸς τιμῆς Αὐγούστου Νικόπολιν ἐδείματο τὴν πόλιν, παρὰ Λευκάτην καὶ τὸν Ἄκτιον κόλπον, ὅπου Κλεοπάτραν μετ' Ἀντωνίου παρεστήσατο.

47. Ἦν μὲν οὖν τοιοῦτος ὁ βασιλεύς, τὰ δὲ ἄλλα συνετὸς καὶ πεπαιδευμένος, ἐπιεικής τε ἅμα καὶ δραστήριος, μεγαλόδωρός τε καὶ κρείττων ὀργῆς, ἐρυθριῶν τε τοὺς λόγους, ὡς καὶ πλήρωμα χρόνου καὶ βαθμὸν τοῖς τῶν λόγων διδασκάλοις βουληθέντα παρασχεῖν ταῖς αὐτῶν διχονοίαις ἐμποδισθῆναι· πέφυκε γὰρ ἐξ ἀπραγμοσύνης τὸ λογικὸν πρὸς ἑαυτὸ διαφωνεῖν. ἦν οὖν ἀγαθός, ὡς

1 δὲ ὀλοῆς λοιμοῦ C. 2 οἷς πάντα φθείρει σὴ F, οἷς πάντα φθείρεις ἐκ φιλοχρημοσύνης Anthologia, ἡ πάντα φθειρίσει C. 3 Anthologia: ἐγγύθι τῆς Σκύλλης χαλεπὴν στήσαντο Χάρυβδιν. Lydus manifesto putavit posteriora duo disticha unum cum praecedentibus epigramma efficere, unde patet cur scripserit δέ, non τῆς. F. 10 ἐξη . . . σεων C. 11 ἐμφυλίους F, ἐμφυλίων C. 12 lego Παλαίστη. cf. Caes. Bell. Civ. 3 6 et Lucan. 5 460.

rem, pro caede paupertateque exitiosa fameque et ira, queis omnia destruit tua avaritia. vicinam autem Scyllae exitiosam posuere Charybdim, ferum crudivorum hunc Anastasium. time et tu, Scylla, tuo animo, ne te quoque ipsam devoret, aeneam deam postquam signavit." etenim apud antiquos omnes fere Europam incolentes ob avaritiam male audiunt, simul lucro studentes, simul parta consumentes, Epirotae autem maxime, Syrorum colonia, ut Polemo in libro quinto commentariorum ad Lucani Romani de bello civili carmen ostendit. unde etiam Palaeste ab antiquis vocatur, in qua Herodes quondam in honorem Augusti Nicopolin urbem ad Leucaten Actiumque sinum aedificavit, ubi Cleopatram cum Antonio ille devicit.

47. Erat igitur talis imperator, at cetera prudens et eruditus, humanusque simul et diligens, munificentissimusque et ira fortior, literarumque adeo reverens ut temporis complementum et gradum literarum magistris concedere cupientem dissensiones eorum impedierint: solent enim docti, utpote otiosi, inter sese dissentire. erat igitur bonus, ut

ἔφην, καὶ μηδένα τῶν δεομένων σκυθρωπὸν ἀποπέμπων, ὡς μὴ πόλιν, μὴ φρούριον [μὴ εὐσίνιον] ἢ λιμένα ἢ τόπον οὖν τινὰ τῆς πάσης Ῥωμαίων πολιτείας ἀμοιρεῖν τῶν ἐκείνου κατὰ τὸ ἀναγκαῖον δωρειῶν. ὅτι δὲ μόνος αὐτὸς μετὰ Κωνσταντῖνον τὴν τῶν ψυχῶν ἐκούφισε δασμολογίαν, εἰ καὶ μὴ πᾶσαν (οὐδὲ γὰρ ἔφθασε), θεὸν ἐχέτω ἵλεω τῶν ὁπωσδήποτε πλημμεληθέντων αὐτῷ· καὶ γὰρ ἄνθρωπος ἦν. πολλῶν δὲ ὄντων καὶ ὑπὲρ τῶν κοινῶν Ἀναστάσιος ἔπραξεν, ἀρκέσει μόνη πρὸς ἀπόδειξιν ἡ παρ' αὐτοῦ ὑπὲρ Εὐφράτην κατασκευασθεῖσα πόλις (Δάραν αὐτὴν οἱ ἐπιχώριοι, Ἀναστασίου δὲ πόλιν ἐξ αὐτοῦ προσαγορεύουσι καθ' ἡμᾶς), ἣν εἰ μὴ θεὸς πρὸς ἐκείνου ταῖς φάρυγξι Περσῶν ἐπέβρισεν, ἔκπαλαι ἂν τὰ Ῥωμαίων Πέρσαι, οἷον προσεχῆ αὐτοῖς ἐστί, κατεσχήκεσαν.

48. Οὐκ ἀλεπὸν δὲ οὐδὲν καὶ μιᾶς αὐτοῦ σκοτίας καὶ λανθανούσης ἔτι ἐπιμνησθῆναι πράξεως· δεῖ γὰρ καὶ τῶν ἰδικῶν τὰνδρὸς ἀρετῶν μίαν ἐναποθέσθαι τῷ λόγῳ. Παῦλος ἀνὴρ εὐπατρίδης ἐκ Βιβιανοῦ πατρὸς ἐπισημοτάτου γέγονεν ὑπ' αὐτῷ, ὃς καὶ τοὺς πώποτε τῶν ἔμπροσθεν ἐπὶ μεγαλοφροσύνῃ θαυμασθέντων ὑπάτων ταῖς φιλοτιμίαις ἀπέκρυψεν. οὗτος χρειῶν ἰδιωτικῶν ἕνεκα λυσιτελῶν αὐτῷ ἐπωφείλησε Ζηνοδότῳ, ὡς καὶ αὐτὸς τοῖς ὑπάτοις πρὸς ἀξιώματος καὶ μόνου τυχών, ἀναφαίρετον χρυσίον, εἰς χιλίας χρυσίου λίτρας συναγόμενον. τοῦ δὲ Παύλου πρὸς τὴν ἔκτισιν ἀτονοῦντος, ὁ Ζηνόδοτος ποτνιώμενος τὸν Ἀναστάσιον ἀντεβόλει

7 καί] ἃ F. malim καὶ ὑπὲρ ἀριθμὸν ἃ. 12 ὅσα? 19 ἐποφέλησεν C. lego τῆς ὑπατείας. F. 20 ἀναφέρετον C.

dixi, neque quemquam petentem tristi vultu dimittebat; ut non urbs, non castellum... non limen, nullus denique totius rei publicae Romanae locus munerum eius, postulante necessitate, expers esset. quod vero solus ipse post Constantinum animarum tributum, quamvis non omne (quippe mors praevertit eum), levavit, deum propitium experiatur suis qualibuscunque peccatis: etenim homo erat. multa autem cum sint quae pro re publica Anastasius fecit, ad rem declarandam satis erit una trans Euphratem ab eo aedificata urbs (Daram eam indigenae, nos Anastasii urbem ab ipso appellamus); quam nisi deus cum illo Persarum faucibus imposuisset, iam olim, opinor, Persae, quae finitima iis sunt Romanorum, occupassent.

48. Nihil vero nocebit unum quoque obscurum eius atque etiam latens factum commemorare: oportet enim et privatarum viri virtutum unam literis mandare. Paulus, vir patricius, Bibiano splendidissimo patre ortus, sub eo vixit; qui quidem priores consules, quorum unquam in admiratione magnificentia fuit, liberalitate obscuravit. hic, privatas propter necessitates Anastasio utilis, Zenodoto, quippe et ipse consulatu honorem tantum consecutus, pecuniam, quae negari non posset, ad summam mille auri librarum debebat. cui solvendae cum par non esset Paulus, Zenodotus Anastasii opem imploravit; qui intelligens neque Paulum

ἀμύνειν αὐτῷ. ὁ δὲ συνορῶν μηδὲ τὸν Παῦλον ἀρκεῖν πρὸς ἀπόδοσιν μηδὲ Ζηνόδοτον πρὸς ἔνδοσιν, δύο χιλιάδας χρυσίου δέδωκε λιτρῶν αὐτῷ, τὰς μὲν χιλίας τῷ χρήστῃ, τὰς δὲ λειπομένας (τοσαῦται δὲ ἦσαν) τῷ Παύλῳ χαρισάμενος.

49. Ἐγὼ δὲ ἀναστρέφω τῷ λόγῳ πρὸς Μαρῖνον. ἐκλαβὼν τοίνυν Σύρος ἀνὴρ καὶ πονηρὸς ὡς ἐπιεικὴς τοὺς φόρους, τὰ μὲν βουλευτήρια πασῶν παρέλυσε τῶν πόλεων, ἀπεμπολῶν τοὺς ὑπηκόους παντὶ ὡς ἔτυχεν, εἰ μόνον αὐτῷ τὸ πλέον ὑπόσχοιτο, καὶ ἀντὶ τῶν ἀνέκαθεν στηριζόντων τὰ πράγματα βουλευτῶν προχειρίζεται τοὺς λεγομένους βίνδικας (Ἰταλοῖς θεὸν ἀποκαλεῖν), οἳ παραλαβόντες τοὺς συντελεῖς οὐδὲν πολεμίων ἧσσον τὰς πόλεις διέθηκαν. καὶ γίνεται μὲν πολύχρυσος, εἴπερ τις ἄλλος, ὁ βασιλεὺς καὶ μετ' αὐτὸν ὁ Μαρῖνος καὶ ὅσοι Μαρινιῶντες ἁπλῶς· ἀπορία δὲ παντελὴς καὶ πενίας βάθος κατέπιε τὰ πράγματα. τὸ λοιπὸν τῆς ἐπαρχότητος τρόπῳ χαμαιζήλου δικαστοῦ μόναις ταῖς ἰδιωτικαῖς διαδικασίαις σχολαζούσης. ἠρυθρία δὲ ὅμως ὁ Μαρῖνος, καὶ τὴν ἀρχὴν ἐδόκει τιμᾶν, τέχνῃ τὸν φθόνον ἀπωθούμενος. ἔνθεν τῶν δημοσίων ὥσπερ ὑφ' ἑτέρους τελούντων καὶ μὴ κατὰ τάξιν πραττομένων, ὑπώλισθεν ἡ τάξις καὶ πενίας ἐνήρχετο· τί γὰρ περιεγίνετο αὐτῇ μόναις ταῖς δίκαις τῶν ἰδιωτῶν ἐξυπηρετουμένῃ;

50. Οὕτως οὖν τῶν πραγμάτων ὑπὸ τῷ Μαρίνῳ πεσόντων, συνεῖδεν ὁ βασιλεὺς ἑτέρᾳ τιμῇ τὴν ἀτιμίαν παραμυθήσασθαι

10 patet aliquid excidisse. F. 13 μαρινιόντες C, μαρῖνοι ὄντες F. 19 πενίᾳ συνείχετο?

solvere neque Zenodotum remittere posse, duo milia auri librarum ei dedit, mille creditori, reliquus (erant autem totidem) Paulo largiens.

49. Ego vero enarratione ad Marinum redeo. cum igitur Syrus homo improbusque tributa quasi aequus suscepisset, curialia omnium urbium sustulit, cives cuilibet temere, dummodo plus ei polliceretur, vendens; proque curialibus, antiquis publicorum moderatoribus, creat quos vindices (quo nomine Itali deum appellare solent) vocant, qui nacti in collatores potestatem, nihilo quam hostes melius civitates habuere. et auro quidem, si quis fuit alius, ditissimus fit imperator, post eumque Marinus, et quot omnino Marini: summa vero angustia et paupertatis abyssus causas absorbuit, praefectura deinceps more pedanei iudicis privatis tantum litibus vacante. verebatur tamen Marinus videbaturque colere magistratum, arte invidiam repellens. inde, cum quasi ad alios publica pertinerent neque rite exigerentur, collapsum officium est coepitque paupertate laborare: solis enim privatorum causis operam dans quid reliqui habuit?

50. Sic igitur rebus sub Marino ruentibus, imperator alio honore contemptum magistratus solari constituit. nam forensium oratorum opti-

τῆς ἀρχῆς. τῶν γοῦν δικανικῶν ῥητόρων τοὺς ἀρίστους ἐπὶ τὴν ἀρχὴν προύφερε· καί ποτε πρὸς τῆς γαμετῆς Ἀριάδνης ὀχλούμενος Ἀνθεμίῳ τῷ Ἀνθεμίου τοῦ Ῥώμης βεβασιλευκότος παιδὶ τὴν ἀρχὴν ἐγχειρίσαι ἠγανάκτησεν, εἰπὼν δὲ μηδενὸς ἢ μόνων λογικῶν ἀξίαν εἶναι τὴν ἐπαρχότητα. ὅπως δὲ ἠρυθρία τὴν ἀρχήν, γνώσεταί τις ἐκ τούτου. Ἑρμίας τις τοῖς Λυδίας σκριναρίοις συναριθμούμενος ὑπὸ μέμψιν γέγονε, Σεργίου τοῦ τότε τὴν ἐπαρχότητα διέποντος ἀγανακτήσαντος. ὁ δὲ βασιλεὺς πρὸς τῆς Ἑρμίου μητρὸς ὀχλούμενος πολὺς ἐγίνετο τὸν ὕπαρχον παρακαλῶν παραχωρεῖν Ἑρμίᾳ· ἐκεῖνος δὲ μέχρι παντὸς ἀνεβάλλετο, καὶ ὁ βασιλεὺς ἐνεδίδου, τήν τε ἀρχὴν τήν τε Σεργίου σεμνότητα παρατηρούμενος· ἴσχυσε δ' ὅμως ὑπὲρ δικαίου παρακαλῶν. αὐτῶν οὖν τῶν ἐν λόγῳ ἀμοιβαδὸν τὴν ἀρχὴν παραλαμβανόντων, παραδίδωσιν ἐκ τῶν λεγομένων Αὐγουσταλίων οἳ μάλιστα τοῖς λόγοις ἐνέπρεπον, καὶ μὴν καὶ ταχυγράφων τοῖς ἀκολούθοις, παριέναι καὶ λόγους παραδιδόναι καὶ ἀκροάσεσι δημοσίαις ἐπιδείκνυσθαι τὴν οὖσαν αὐτοῖς ἐπὶ τοῖς λόγοις παρασκευήν, γερῶν τε οὐ μικρῶν τυγχάνειν.

51. Τοιαῦτα μέν τινα τότε ἐπράττετο, ὁ δὲ βασιλεὺς ἐτρύφα, ταῖς Μαρίνου περινοίαις πλουτῶν καὶ ταῖς τῶν ὑπάτων εὐφημίαις ἐναβρυνόμενος. εἰρήνη δὲ βαθεῖα τὴν πᾶσαν ἐχαύνου πολιτείαν, καὶ οὐχ ἥκιστα τὸν στρατιώτην, πάντων ὁμοῦ τὴν τῆς αὐλῆς ῥᾳστώνην ζηλούντων καὶ διωκόντων τὰ βασιλέως ἐπιτηδεύ-

9 μὴ πρὸς C. ἐγένετο vulgo. 13 παράδωσιν C. an δίδωσιν? 16 δημοσίοις C.

mos ad praefecturam evexit; atque aliquando ab uxore Ariadne sollicitatus ut Anthemio Anthemii, qui Romae imperavit, filio praefecturam deferret, succensens nemine nisi literatis dignam esse praefecturam dixit. quomodo autem veritus sit magistratum, ex hoc licet intelligere. Hermias quidam e Lydiae scriniariis reprehensionem incurrit, Sergio, qui tum praefectura fungebatur, succensente. imperator autem, ab Herminae matre sollicitatus, multum hortabatur praefectum ut Hermiae concederet. at ille usque differebat; indulsitque imperator, et magistratum et Sergii splendorem reverens, quamvis causa esset fortior, quippe qui ad iustam rem hortaretur. cum igitur clarissimus quisque magistratu vicissim potiretur, ex Augustalibus, ut vocant, iis qui maxime eloquentia praestabant, nec non aemulantibus eos inter notarios, accedere concessit, orationesque tradere, et publicis in auditoriis suam in dicendo facultatem ostendere, praemiaque non exigua consequi.

51. Talia quaedam tum fiebant. imperator autem mollitiei indulgebat, Marini artibus dives, et consulum laudibus elatus. pax vero profunda totam laxabat rem publicam, et maxime militem, omnibus una aulae otium aemulantibus sectantibusque studia imperatoris. ac finis cete-

ματα. καὶ πέρας ἦν λοιπὸν Ἀναστασίου τοῦ βίου τοῖς ἀπὸ τῶν δογμάτων καὶ Βιταλιανοῦ θορύβοις ταραττόμενον. Ἰουστίνου δὲ τὴν βασιλείαν παραλαβόντος (ἀνὴρ δὲ ἦν ἀπράγμων καὶ μηδὲν ἁπλῶς παρὰ τὴν τῶν ὅπλων πεῖραν ἐπαστάμενος) Μαρῖνος μὲν καὶ ὅσοι Ἀναστασίου τῆς αὐξήσεως ... οὐκ ὄντων δὲ τὸ λοιπὸν τοῖς κρατοῦσι κερδῶν ὥσπερ τὸ πρότερον (καὶ γὰρ ἀπεστρέφοντο τὰς κατὰ τῶν ὑπηκόων ἐπηρείας), ἅπας μὲν ὁ πλοῦτος Ἀναστασίου, εἰς ἀπείρους μυριάδας χρυσίου λιτρῶν συναγόμενος, διερρύη, ὄχλος δὲ πολέμων τὰ Ῥωμαίων ἐδόνει, Περσῶν τὴν ἀειθρύλητον ἐπὶ ταῖς Κασπίαις πύλαις ἀπαιτούντων δαπάνην. ὃ δὲ περὶ αὐτῆς λόγος τοιοῦτος.

52. *Πρὸς ἀνίσχοντα ὑπὸ λέοντι ἥλιον, ἐν ἀρχῇ στενῇ τοῦ Καυκάσου, πρὸς Βορέαν ἄνεμον κατὰ τὴν Κασπίαν χωριζομένων φύσει τῶν τοῦ Καυκάσου σφυρῶν εἴσοδος ἀπετελέσθη βαρβάροις τοῖς ἀγνοουμένοις ἡμῖν τε καὶ Πέρσαις, οἳ περὶ τὴν Ὑρκάνην νέμονται, δι' ἧς εἰσβάλλοντες τά τε πρὸς Εὖρον Πέρσαις τά τε πρὸς Βορέαν Ῥωμαίοις ἀνήκοντα ἐδῄουν. καὶ ἕως μὲν Ἀρτάξατα καὶ ἔτι ἐπέκεινα εἶχον ὑφ' ἑαυτοῖς οἱ Ῥωμαῖοι, ἀντέβαινον παρόντες ἐκεῖ· ὡς δὲ τούτων ἐξέστησαν καὶ ὅσων ἄλλων ἐπὶ Ἰοβιανοῦ, οὐκ ἐξήρκουν οἱ Πέρσαι τά τε ἑαυτῶν τά τε πάλαι Ῥωμαίων φρουρεῖν, καὶ θόρυβος ἀεὶ τὰς ἑκατέρων Ἀρμενίας εἶχεν ἀφόρητος. γίνονται δὴ οὖν λόγοι μετὰ τὴν ἐπὶ Ἰουλιανοῦ Ῥωμαίων ἀστοχίαν Σαλουστίῳ τε, ὃς ἦν ὕπαρχος, ἐξ ἡμῶν καὶ Περσῶν τοῖς ἐξοχω-*

5 post *αὐξήσεως* aliquid excidit. F. 19 *ὅσον ἄλλον* C.

rum vitae Anastasii cum dogmaticis tum Vitaliani tumultibus perturbata est. Iustino autem imperium tenente (erat vero vir ignavus, nihil omnino praeter armorum usum sciens) Marinus quidem, et quot ab Anastasio aucti fuerant ... sed cum deinceps nulla, ut antea, imperantibus lucra essent (etenim aversabantur subditorum iniurias), omnes Anastasii divitiae, innumera auri librarum milia, dilapsae sunt. bellorum vero turba rem Romanam agitabat, Persis semper celebratum de Portis Caspiis sumptum repetentibus; de quo sumptu haec traduntur.

52. Orientem sub leone solem versus, angusto in aditu Caucasi, ventum Boream versus Caspiumque mare divisis natura Caucasi radicibus, introitus patefactus est barbaris, nobis Persisque ignotis, qui circa Hyrcaniam incolunt; per quem irruentes et Eurum versus, quae Persarum, et Boream versus, quae Romanorum erant, populabantur. ac dum quidem Artaxata et ulteriora etiam possidebant Romani, praesentes ibi occurrebant: cum vero haec et quae alia sub Ioviano perdidissent, non sufficiebant Persae ad sua simul, et quae prius Romanorum fuerant, custodienda; semperque tumultus utrorumque Armenias intolerabilis agitabat. itaque post Romanorum sub Iuliano cladem inter Sallustium praefectum praetorio, ab nostra parte, et Persarum nobilissimos posteaque

τούτοις καὶ Ἰσδιγέρδῃ ὕστερον, ὥστε κοιναῖς δαπάναις ἄμφω τὰ πολιτεύματα φρούριον ἐπὶ τῆς εἰρημένης εἰσόδου κατασκευάσαι, ἐπιστῆσαί τε βοήθειαν τοῖς τόποις πρὸς ἀναχαιτισμὸν τῶν κατατρεχόντων δι' αὐτῆς βαρβάρων. Ῥωμαίων δὲ τοῖς περὶ τὴν ἑσπέραν καὶ τὴν ἄρκτον πολέμοις ἐνοχλουμένων, οἱ Πέρσαι ἔσχον ἀνάγκην οἷα προσιχέστεροι ταῖς τῶν βαρβάρων ἐφόδοις ἀντοικοδομεῖν φρούριον ἐκεῖ, Βιραπαρὰχ αὐτὸ πατρίως καλέσαντες, καὶ δυνάμεις ἐπέστησαν, καὶ πολέμιος οὐκ εἰσῄει.

53. Ἐκ ταύτης τῆς ἀφορμῆς οἱ Πέρσαι Ῥωμαίοις ἐπετέθησαν κατὰ σμικρὸν ἐπὶ τὰς Συρίας καὶ Καππαδοκίας ἐκχεόμενοι, ὡς δῆθεν ἀδικούμενοι καὶ τὴν ὑπὲρ τῶν κοινῶν γενομένην δαπάνην κατὰ τὸ ἐπιβάλλον Ῥωμαίοις ἀποστερούμενοι, ὥστε Σποράκιον τὸν πρῶτον ὑπὸ Θεοδοσίου τοῦ μείζονος ἐκπεμφθῆναι διαλεχθησόμενον Πέρσαις. ὁ δὲ δυνάμει τε χρημάτων καὶ συνέσει λόγων ἐγγὺς ἔπειθε Πέρσας, Ῥωμαίων ὥσπερ χαριζομένων αὐτοῖς, [ὑπὸ Ῥωμαίων] ἡσυχάζειν καὶ φίλους εἶναι. καὶ ταῦτα ἕως τοῦ καθ' ἡμᾶς Ἀναστασίου διεσύρη λαλούμενά τε καὶ τυπούμενα καὶ ἁπλῶς ῥητημένα. ἐπὶ δὲ αὐτοῦ, Κωάδου τοῦ γέροντος ὅλην Περσίδα κατὰ Ῥωμαίων ἄγοντος, γίγνεται πόλεμος· καὶ χειρὶ μὲν νικῶν Ῥωμαῖοι δυνάμενοι, ἀσωτίᾳ δὲ καὶ τρυφῇ Ἀρεοβίνδου τοῦ τελευταίου (ἦν γὰρ φιλῳδὸς καὶ φίλαυλος καὶ φιλορχήμων καὶ ἀπειρίᾳ καὶ δειλίᾳ Πατρικοῦ καὶ Ὑπατίου τῶν στρατηγῶν ἠλαττώθησαν

2 εἰρήνης C. 4 τοῖς] τῆς C. 7 3, 53, C βιριπαραχ. 15 Πέρσαις vulgo. 21 φιλορήμων C. 22 legendum Πατρικίου. F.

Isdigerdem convenit, ut communibus utriusque imperii sumptibus castellum ad dictum introitum aedificaretur praesidiumque locis imponeretur, quo barbari per eum irruentes arcerentur. Romanis autem bellis, quae in Occidente et Septentrione coorta erant, perturbatis, Persae, utpote propiores barbarorum incursionibus, coacti sunt castellum ibi contra eos aedificare, quod Biraparach patrio sermone dixerunt, praesidiumque imposuere; nec hostis ingressus est.

53. Hac occasione utentes Persae Romanos aggressi sunt, paulatim in Syrias Cappadociasque irruentes, quippe utique iniuriam passi et sumptu communem in rem facto pro parte Romanorum spoliati; quare Sporacius primus a Theodosio maiori ad colloquium cum Persis missus est. hic autem cum pecuniae vi tum orationis prudentia prope persuasit Persis ut, quasi concedentibus ipsis Romanis, quiescerent amicique essent; atque ita res ad Anastasium nostrum usque colloquiis pactionibusque tracta et omnino suspensa est. sub eo autem, Coade sene omnem in Romanos Persidem agente, bellum existit; cumque manu vincere possent Romani, luxuria mollitieque Areovindi postremi (erat enim cantus, tibiae et saltationis amator), et inscitia ignaviaque ducum, Patricii et

μὲν τὸ πρότερον, ἐξαπίνης τῶν Περσῶν ἐπιχειθέντων· τῶν δὲ λοιπῶν τούς τε Πέρσας διωξάντων καὶ Ἀμίδαν ἁλοῦσαν ἀνασωσάντων αὖθις, ὁ Πέρσης λόγους ἐκίνησε πρὸς Κέλερα, ὃς ἦν μάγιστρος τῶν τῷ Ἀναστασίῳ, περὶ Βιριπαράχ, ὡς προέφαμεν, καὶ τῆς κατὰ μόνας ὑπὸ Περσῶν γενομένης περὶ αὐτοῦ δαπάνης. καὶ πέρας ἔσχεν ἡ φιλονεικία μετρίων τινῶν ὑπὸ Ἀναστασίου χαρισθέντων Κωάδῃ· τὸ γὰρ μεγαλόφρον Ἀναστασίου καὶ εὐμέθοδον εὐσεβῶς τὴν ὑπὲρ εἰρήνης ζημίαν ὑπέμενε. τοιοῦτος μὲν οὖν ὁ περὶ τῶν Κασπίων πυλῶν τοῖς Ῥωμαίων συγγραφεῦσιν ὁ λόγος. Ἀρριανὸς ἐπὶ τῆς Ἀλανικῆς ἱστορίας καὶ οὐχ ἥκιστα ἐπὶ τῆς ὀγδόης τῶν Παρθικῶν ἀκριβέστερον διεξέρχεται, αὐτὸς τοῖς τόποις ἐπιστὰς οἷα τῆς χώρας αὐτῆς ἡγησάμενος ὑπὸ Τραϊανῷ τῷ χρηστῷ· τοιούτους γὰρ ἄρχοντας ἐκεῖνος ἔσχεν, οἳ τοῖς τε λόγοις τοῖς τε ἔργοις εἰς τοσαύτην εὔκλειαν τὴν πολιτείαν ἀνέστησαν.

54. Τοιούτων μὲν περὶ Πέρσας, μυρίων δὲ ἄλλων πολέμων ἀναπτομένων τὸ λοιπὸν λογικοῖς πάροδος οὐκ ἦν ἐπὶ τὴν ἐπαρχότητα. ἔδει δὲ χρημάτων, καὶ οὐδὲν ἦν ἄνευ αὐτῶν πραχθῆναι τῶν δεόντων. ὅπως δὲ μηδὲν τῶν πρὸς ἀνατροπὴν τῆς πρόσθεν εὐπραγίας παροφθῇ, σάλοι σκιρτῶντες καὶ διαστῶντες τὴν γῆν ῥιζόθεν τὴν Σελεύκου Ἀντιόχειαν κατέλαξαν, τῷ ὑπερκειμένῳ βουνῷ τὴν πόλιν σκεπάσαντες, ὡς μηδεμίαν διαφορὰν ὄρους καὶ πόλεως

1 ἐπισχιθέντων C. 2 ἐδίωξεν τῶν C. 4 τῶν] addo ὀφφικίων. cf. 2 24 ὀφφικίων et 3 17 in fine. F. 5 πέρσας C. 9 ὃν Ἀρριανὸς? 10 σαλανικῆς C. ὀχ C. 11 Παρθικῶν] παροίκων vulgo. αὐτοῖς vulgo.

Hypatii, primo quidem superati sunt, repente irruentibus Persis: at reliqui cum reppulissent Persas Amidamque captam recepissent, Persa cum Celere, qui erat magister officiorum Anastasio, collocutus est de castello Biraparach, ut praediximus, deque sumptu quem in illud Persae soli impenderant. finemque habuit contentio, modicis quibusdam ab Anastasio Coadae concessis: quippe Anastasii generosus moderatusque animus iacturam pacis gratia pie ferebat. haec igitur de Portis Caspiis Romanorum historici tradunt. Arrianus in historia Alanica, et maxime in libro octavo Parthicorum accuratius explicat; quippe ipsa loca lustravit, utpote ipsi regioni sub optimo Traiano praefectus: tales enim illi magistratus fuere, qui rem publicam et literis et factis ad tantam gloriam eveherent.

54. His quoad Persas, innumeris vero aliis bellis coortis, in posterum literatis ad praefecturam aditus non patuit. pecunia autem opus erat, nec sine ea quicquam eorum quae oportebat fieri poterat. ac ne quid in evertenda pristina felicitate praetermitteretur, exsultantes terramque findentes motus Seleuci Antiochiam radicitus eruerunt, superiacenti colle urbem tegentes, nullo ut discrimine montis urbisque locis re-

ἀπολειφθῆναι τῷ χωρίῳ, νάπην δὲ τὸ πᾶν καὶ σκοπέλους, οἳ πάλαι τὸν Ὀρόντην παρολισθαίνοντα τῇ πόλει ἐσκίαζον. χρυσίον οὖν ἄπειρον ἐχρῆν ἐπομβρίσαι τὴν ἐπαρχότητα πρὸς ἐκφορὰν τέως τῶν ἀπὸ τοῦ πτώματος ἐξογκωθέντων καὶ εἰς ἡλίβατον δυσχωρίαν ἀνοιδησάντων χωμάτων· οὐδὲ γὰρ ἦν ἀσφαλὲς τὴν Σύρων πρωτεύουσαν παριδεῖν ἐρριμμένην εἰς ἔδαφος. ὡς δὲ κόπῳ πολλῷ καὶ χρημάτων ἀφθονίᾳ καὶ τεχνῶν συνεργίᾳ ὥσπερ ἐρεβόθεν ἡ πόλις ἀνεφύετο Ἰουστίνου τέλος λαμβάνοντος, Χοσρόης ὁ κακοδαίμων διὰ τῆς Ἀραβίας ἐμπεσὼν σὺν ἀπείρῳ στρατιᾷ ταῖς Συρίαις αὐτὴν μὲν τὴν ἄρτι καταπεσοῦσαν, εὐχείρωτον αὐτῷ φανεῖσαν ὡς ἄφρακτον, λαβὼν πολέμῳ κατέφλεξε, φόνον ἄπειρον κατεργασάμενος, τοὺς δὲ ἀνδριάντας, οἷς ἐκοσμεῖτο τὸ ἄστυ, σὺν πλαξὶ καὶ λίθοις καὶ πίναξιν ἁπλῶς ἀναρπάσας ὅλην εἰς Πέρσας Συρίαν ἀπίλασε. γεωργὸς δὲ οὐκ ἦν, οὐχ ὑποτελὴς τῷ δημοσίῳ λοιπόν· καὶ δασμὸς μὲν οὐκ εἰσεφέρετο τῇ βασιλείᾳ, τὸν δὲ στρατιώτην ἀποτρέφειν ὁ ὕπαρχος ἠναγκάζετο καὶ πάσας τὰς συνήθεις ἐπιδιδόναι τῇ πολιτείᾳ δαπάνας, δὺ μόνον τοὺς ἀπὸ Σύρων φόρους ζημιούμενος, οἳ καὶ μόνοι ῥοπὴν τοῖς κρατοῦσιν ἐποίουν, ἀλλ' ἔτι καὶ προσεπιδιδόναι δαπάνας ἀριθμοῦ κρείττονας συνωθούμενος περί τε τὰς ἁλοὺσας τῶν πόλεων περί τε τοὺς συντελεῖς, εἴ πού τινας τὰ Περσῶν δεσμὰ διαφυγόντας ἐμπλανᾶσθαι ἐν ταῖς ἐρημίαις τῶν πάλαι θαυμαζομένων χωρίων συνέβαινεν.

3 recentior manus ἐπομβρῆσαι. 16 συνηθείας C.

licto totum valles et scopuli occuparent, qui praeterfluenti urbem Orontae umbram quondam praebuerant. immensam itaque auri copiam effundere praefectus cogebatur, quo elatae ruina moles, quae in excelsa aviaque iuga intumuerant, interim auferrentur: etenim periculosum erat Syrorum principem urbem delectam negligere. cum autem multo labore et pecuniae vi artiumque opc quasi ex erebo urbs enasceretur, Iustino fato fungente, fatalis Chosroes per Arabiam cum innumerabili exercitu in Syrias irruit, ipsamque nuper collapsam urbem, facilem sibi, utpote apertam, superatu visam, bello captam, infinita caede patrata, combussit; signis autem, queis ornata erat, cum tabulis lapidibus picturisque omnibus una ablatis, totam in Persas Syriam abegit. neque vero agricola aut collator fisco relictus erat; et tributum quidem nullum imperatori inferebatur, at militem sustentare praefectus cogebatur, omnesque consuetos rei publicae sumptus praebere, qui non tantum Syrorum tributa, quae quidem sola magni imperantibus momenti erant, amisisset, sed addere insuper sumptus numero maiores cogeretur, cum in captas urbes tum in collatores, si quos elapsos Persarum vinculis in desertis admirabilium quondam locorum errare contingeret.

55. *Τοιούτοις κλύδωσι τοῦ πολιτεύματος καὶ θυέλλαις κακῶν ῥιπιζομένου, ἀντίρροπον προύθηκεν ἡ τύχη τῆς πάλαι ῥᾳθυμίας τὴν ἐμμέλειαν Ἰουστινιανοῦ, τὸν πάντων βασιλέων ἀγρυπνότατον ἐπιστήσασα τοῖς κοινοῖς, ὃς ζημίαν τῆς οἰκείας ζωῆς ᾤετο συμβαίνειν αὐτῷ, εἰ μὴ πάντες κατ' αὐτὸν ἀγρυπνοῖεν καὶ ὑπερμάχοιντο τῆς πολιτείας, μὴ τὰ Ῥωμαίοις διενεγκόντα ποτέ, εἶτα ῥᾳστώνῃ τῶν ἔμπροσθεν ἐξολωλότα μόνα, ἀλλ' ἔτι καὶ τὰ πολεμίων πρὸς ἐκείνοις λαμβάνοιεν. καὶ Πέρσας μὲν οὖν καὶ Χοσρόην τὸν ἄτακτον χρυσίῳ μὲν πρῶτον, εἶτα παλιμμαχοῦντα καὶ σιδήρῳ κατέχωσε· Βανδήλοις δέ, ἔθνει Γερμανικῷ, τὴν Λιβύην κατεσθίουσι πόλεμον ἐξαπίνης ἐπιχείων ἐν μόναις δύο σελήναις εἷλέ τε αὐτοὺς καὶ πολέμῳ λαβὼν παρεστήσατο τῇ βασιλείᾳ, Γελίμερα αὐτὸν σὺν τοῖς ἐνδόξοις τοῦ ἔθνους, οὓς ἐκάλουν ἀστίγγους οἱ βάρβαροι, γαμετῇ τε καὶ παισὶ καὶ πλούτῳ βαθεῖ, καθάπερ οἰκέτας ἀχρειοτάτους, πρὸς δουλείαν Ῥωμαίοις ἐκδούς. μικροῦ δὲ τούτου φανέντος αὐτῷ, Γέταις τήν τε ἱερὰν Ῥώμην καὶ πάντα ὅσα ὑπ' ἐκείνην ἐτέλει διασπῶσι, Ῥωμαίων τε τοὺς ἀνέκαθεν εὐπατρίδας ὑβρίζουσιν, ἐπελθὼν ἥρπασεν αὐτοὺς παυσίπους, σὺν Οὐϊττίγει τῷ τυράννῳ παρεστήσατο, τῇ δὲ Ῥώμῃ τὰ Ῥώμης ἀπέσωσεν.*

56. *Ὡς δὲ καὶ Συγάμβροις ἐπαγρυπνεῖν ἠπείλει (Φράγκους αὐτοὺς ἐξ ἡγεμόνος καλοῦσιν ἐπὶ τοῦ παρόντος οἱ περὶ Ῥῆνον καὶ*

6 lego ὡς μὴ. F. 9 χρυσίον C. πάλιν μαχοῦντα vulgo.
16 τήν add F. 19 lego καὶ σὺν. F.

55. Talibus fluctibus malorumque procellis iactata re publica, parem fortuna priori ignaviae diligentiam Iustiniani opposuit, omnium imperatorum vigilantissimum rebus praeficiens, qui vitae suae iacturam reputabat, si non omnes secundum ipsum vigilarent proque re publica pugnarent, ut non tantum Romanis quondam subiectis, priorum deinde ignavia perditis, verum insuper hostium ad haec rebus potirentur. et Persas quidem immanemque Chosroem auro primum, deinde iterum pugnantem ferro quoque obruit. Vandalos vero, populum Germanicum, Libyam exedentes, cum bello repente invasisset, duobus tantum mensibus vicitque eos, et bello captos imperatoriae urbi exhibuit, Gelimerem ipsum cum illustribus gentis, quos Astingos barbari vocabant, uxoreque et liberis atque ingentibus divitiis, quasi vilissimos servorum, Romanis in servitutem tradens. quod cum ei parvum videretur, Getas sacram Romam, et quaecunque ei subiecta, lacerantes, Romanorumque priscis patriciis insultantes, aggressus, raptam universam gentem cum Vittige tyranno nobis adduxit, Romaeque sua restituit.

56. Cum autem et Sicambris invigilare minitaretur (Francos eos a duce nunc vocant, qui circa Rhenum Rhodanumque incolunt), iterum

Ῥοδανόν), αὖθις Χοσρόης ὡς μηδενὸς ἄρτι πραχθέντος ἐπὶ τὰς Συρίας ἀπροόπτως ἐξεχύθη, τῶν Ῥωμαϊκῶν δυνάμεων Λιβύης τε πρὸς Μαυρουσίων σειομένης καὶ τῆς ἑσπέρας πρὸς Γετῶν ὅλης ταραττομένης ὑπερμαχουσῶν, Κολχούς τε καὶ τὸν Καύκασον Σκυθῶν καὶ τὴν Θρᾳκικὴν μυρίων ὅσων θηρίων ἐνοχλούντων. καὶ ὁ μὲν βασιλεὺς ἤρκει πρὸς πάντας τοὺς πολέμους ὡσεὶ πρὸς ἕνα μαχόμενος, ἡ δὲ ἐπαρχότης θελλάτοις συνείχετο θυέλλαις, τῶν μὲν ὑπηκόων ταῖς ἀκινήτοις κτήσεσι δι' ἔνδειαν ἀπολεγόντων, τῶν δὲ πρακτόρων μηκέτι τοὺς φόρους εἰσάγειν, οὐκ ὄντων ὑποτελῶν, τοῖς κρατοῦσιν ἰσχυόντων. ὑπουργεῖν δὲ ὅμως ταῖς δαπάναις τοσαύταις οὔσαις καὶ οὕτως ἀνενδότοις ὁ κατὰ καιρὸν ὕπαρχος συνωθεῖτο. εἰκότως οὖν ἄλλος ἐξ ἄλλου συνεχεῖς ὁμοῦ καὶ βαρεῖς ἐξ ἀνάγκης διαδεχόμενοι τὴν ἀρχὴν διέσπασαν. ἡ δὲ τάξις οὐδ' ἐν λόγῳ οὐδ' ἐν ἀριθμῷ, ἀπολώλει δὲ παντελῶς· τῶν γὰρ περιεχόντων ἀπολλυμένων εἰκὸς ἦν ἀπολέσθαι τὰ περιεχόμενα.

57. Καί που μετὰ τὸ δαιμόνιον συνώθει, πρὸς ἀνάμνησιν ἑξάγων μυρίων κακῶν, Ἰωάννης τις ἐκ Μαζακῶν ὁρμώμενος. Καισάρειαν τὴν πόλιν Τιβέριος Καῖσαρ μετωνόμασεν, Ἀρχέλαον τὸν Καππαδοκῶν βασιλέα δόλῳ μεταστειλάμενος ἐν τῇ Ῥώμῃ καὶ κατασχὼν ἐν αὐτῇ· τὴν δὲ Καππαδοκίαν, οὐκ οὖσαν ἄνωθεν, πρῶτος ἐπαρχίαν Ῥωμαίοις ὑπόφορον ἀπέφηνεν. οὗτος ὥρμητο μέν, ὡς ἔφην, ἐξ ἐκείνης, τοῖς δὲ τῆς στρατηγίδος ἀρχῆς σκρινια-

3 ὅλων C. 11 ὁ add F. 14 οὐδὲ ἀριθμῷ C. 19 τὸν F, τῶν C.

Chosroes, quasi nuper nil actum, Syrias de improviso invasit, Romanorum copiis pro Libya, quam Mauri agitabant, et Occidente, quem totum Getae turbabant, pugnantibus, Colchos vero et Caucasum Scythis et Thraciam innumeris veluti belluis vexantibus. et imperator quidem omnibus bellis sufficiebat, quasi contra unum pugnans: at praefectura fatalibus procellis agebatur, cum subditi immotis possessionibus inopia renuntiarent, exactoresque tributa, quod tributarii nulli essent, imperantibus porro inferre non possent. sufficere tamen tantis tamque necessariis sumptibus tum temporis praefectus cogebatur. itaque, quod necesse erat, alius ex alio, frequentes simul succedentes et necessitate graves, magistratum dilaceravere. officium vero omni amisso honore peribat: pereuntibus enim quibus steterat, necesse erat ipsum quoque perire.

57. Et impellebat quodammodo fatum, qui memoriam mille malorum revocat, Ioannes quidam Mazacis oriundus. Caesaream hanc urbem Tiberius Caesar nominavit, Archelaum Cappadocum regem dolo accersitum Romae retinens. Cappadociam idem, cum initio non fuisset, primus provinciam tributariam Romanis constituit. hic, ex illa, ut dixi, oriundus, cum militaris praefecturae scriniariis annumeratus fuisset, seque

ρίοις συναριθμούμενος, δολερῶς οἷα Καππαδόκης παρεισδύς, οἰκειοῦται τῷ βασιλεῖ, καὶ κρείττονα πίστεως ἐπαγγειλάμενος πρᾶξαι ὑπὲρ τῆς πολιτείας εἰς λογοθέτας προῆλθεν. εἶτ' ἐκεῖθεν, ὥσπερ κατ' ἐπιβάθραν, ἐπὶ τοὺς λεγομένους ἰλλουστρίους ἀνιλθών, καὶ μήπω γνωσθεὶς ὁποῖός τίς ἐστι τὴν φύσιν, ἀθρόως εἰς τὴν ὕπαρχον ἀνηρπάσθη τιμήν· οὐδὲ γὰρ ὑ... ὑπέμενεν ὁ βασιλεύς, καλὸς καὶ ἐπιεικὴς τυγχάνων, πονηροῖς ἄρχουσι καταπιστεῦσαι τὴν ἀρχήν, ἤδη μαθὼν καὶ τοῖς ἔργοις εὑρὼν ὡς

Καππαδόκαι φαῦλοι μὲν ἀεί, ζώνης δὲ τυχόντες
φαυλότεροι, κέρδους δ' εἵνεκα φαυλότατοι·
ἢν δ' ἄρα δὶς καὶ τρὶς μεγάλης δράξωνται ἀπήνης,
δή ῥα τότ' εἰς ὥρας φαυλεπιφαυλότεροι.

οὕτως οὖν, ὡς ἔφθην εἰπών, ὁ πονηρὸς Καππαδόκης δυνάμεως ἐπιλαβόμενος δημοσίας ἀπειργάσατο συμφοράς, πρῶτον μὲν δεσμὰ καὶ πέδας καὶ ποδοκάκας καὶ σίδηρα προθείς, ἔνδον τῆς πραιτωρίας αὐλῆς ἰδιωτικὴν ἐν σκότῳ φυλακὴν ἀφορίσας ταῖς ποιναῖς τῶν ὑπ' αὐτῷ τελούντων, Φάλαρις ὥσπερ ἄνανδρος καὶ μόνοις τοῖς δούλοις ἰσχυρότατος, ἐκεῖ τε ἐνείργων τοὺς πιεζομένους, οὐδένα τύχης οἱασοῦν ἐξαιρούμενος τῶν αἰκισμῶν, ἀναρτῶν τε ἁπλῶς ἀζητήτως τοὺς μόνον ἔχειν χρυσίον διαβαλλομένους, καὶ ἢ γυμνοὺς ἢ νεκροὺς ἀπολύων. καὶ τούτων μάρτυς μὲν ὁ δῆμος, ἐγὼ δὲ οἶδα θεωρὸς γενόμενος καὶ παρὼν τοῖς πραττομένοις. καὶ ὅπως

4 ἐπιβαραθραν C. 6 lego ὕστερον. F. 10 δ' Anthologia om. ἕνεκα ἐστι (vel ἐτι) φαυλότατοι C. 12 δράξωνται μεγαλως ἀπημεις δ' ἤρατό τις ὁρας φαυλ' ἐπιφαυλοτέρας C, Anthologia δὴ τότε γίγνονται φαυλεπιφαυλότατοι. 15 πεδοκάκας C. 19 ἀναρτῶνται ἁπλῶς C.

callide, utpote Cappadox, insinuasset, familiaris imperatori factus, fideque maiora pro re publica se facturum pollicitus, inter discussores receptus est. inde porro quasi per gradus ad illustres quos vocant evectus, neque dum qualis natura esset notus, praefecturae honorem subito invasit: neque enim postea sustinuit imperator, utpote bonus atque benignus, improbis rectoribus magistratum credere, cum iam didicisset reque cognovisset quod "Cappadoces mali quidem semper, cingulo autem potiti peiores, lucri autem causa pessimi: si vero bis et ter magnum tetigere currum, utique tum in horas peiores." sic igitur, uti praedixi, potestatem adeptus improbus Cappadox publicarum calamitatum auctor exstitit, primum vincula ac pedicas nervosque et catenas proferens, intus in praetoria aula privatam in tenebris custodiam poenis apparitorum suorum constituens, Phalaris veluti ignavus et servis tantum fortissimus, ibique vinctos includens, neminem, qualiscunque fortunae, cruciatibus excipiens, omninoque nulla cognitione aurum tantummodo in simulatos habere suspendens, atque aut nudos aut mortuos solvens. quorum testis quidem est populus: ego vero memini spectatorem me, cum fierent, adstitisse,

ἐρῶ. Ἀντίοχός τις, ἤδη γέρων τὴν ἡλικίαν, ἐμηνύθη αὐτῷ χρυσίου δεσπότης εἶναί τινος· συσχὼν οὖν αὐτὸν καλῳδίοις στιβαροῖς ἀνέδησεν ἐκ χειροῖν, ἕως ἔξαρμος γενόμενος ὁ γέρων νεκρὸς τῶν δεσμῶν ἠλευθερώθη. ταύτης ἐγὼ τῆς μιαιφονίας γέγονα θεωρός· ἠπιστάμην γὰρ τὸν Ἀντίοχον.

58. Πρᾶξις μὲν οὖν αὕτη τῷ Καππαδόκῃ πασῶν μετριωτάτη. καὶ εἴθε γοῦν μόνος ταῖς ἀδικίαις ἐνηγρύπνει! Βριάρεως δὲ καθάπερ ὁ τοῦ μύθου μυρίας χεῖρας ἔχειν τοῖς ποιηταῖς λέγεται, οὕτως ... ἐκεῖνος ἀλάστωρ ἀπείρους ὑπουργοὺς τῶν κακῶν ἔχων οὐκ ἐπὶ τῆς βασιλέως μόνον εἰργάζετο, ἀλλ' ἐπὶ πάντα τόπον τε καὶ χώραν ἀπέστελλε τοὺς ὁμοίους αὐτῷ, δίκην ἐξεπότηρος τὸν ἀπανταχοῦ λανθάνοντα τέως ὀβολὸν ἀνιμώμενος. ἐκ δὲ τῶν πολλῶν ἑνὸς πρὸς ἀπόδειξιν τῆς τῶν λοιπῶν βδελυρίας ἀναμνησθήσομαι. ὁμώνυμός τις ἦν αὐτῷ, πρὸς γένους ἐγγύς, ἀνὴρ ὑπὲρ πᾶσαν ἐπίνοιαν θηλάτου κακίας, Καππαδόκης μὲν καὶ αὐτός, καὶ ἐκ μόνης τῆς τοῦ σώματος διασκευῆς τὸ βδελυρὸν τῆς ψυχῆς ἐκκαλύπτων. ἦν μὲν γάρ τις πολύσαρκος καὶ περιττὸς τὴν ὄψιν, πλάτει μὲν ἀμέτρῳ καὶ κρεῶν περιττώμασι τὰς σιαγόνας ἐξωδημένος, καὶ τῷ βάρει τῶν σαρκῶν οἷα μανδύην ἀποκρεμάσας τοῦ προσώπου· τῶν θυλάκων μαξιλλοπλουμάκιον αὐτὸν ὁ δῆμος ἀπεκάλει. οὗτος ὁ Κέρβερος ὁ καρχαρόδους κοινὸς μὲν ἐτύγχανεν ἁπάντων ὄλεθρος, τὴν δ' ἐμὴν Φιλαδέλφειαν οὕτως εἰς λεπτὸν ἀπεμασή-

7 μόναις C. 9 post οὕτως literae aliquot exstinctae. F. ὑπουργοὺς] coniectura ex reliquiis literarum. F. 14 recentior manus πρὸς γένους: prima enim πρὸς γένος. 18 ἐξοιδημένος C.

quemadmodum exponam. Antiochum quendam iam senem auri nonnihil possidere, ei indicaverant. correptum itaque duris funiculis e manibus suspendit, donec solutis iuncturis senex mortuus e vinculis liberatus est. huius ego necis spectator fui: noveram enim Antiochum.

58. Facinus quidem hoc omnium Cappadocis moderatissimum: atque utinam solus utique iniuriis invigilasset! verum Briareus veluti fabulae sexcentas manus habere a poetis dicitur, sic ... nefarius ille innumeros malorum ministros habens non tantum imperatoria in urbe agebat, sed in omnem locum regionemque sui similes mittebat, haustri more ubicunque latentem hucusque obolum hauriens. e multis vero ad declarandam ceterorum impietatem unius mentionem faciam. erat quidam eiusdem cum illo nominis, vir super omnem cogitationem fatalis improbitatis, Cappadox et ipse, soloque corporis habitu impurum animum prodens. erat enim admodum carnosus quidam, et redundanti facie; latitudine quidem informi, et maxillis luxuriante carne tumentibus, carnium pondere quasi manduen a vultu demittens. ab utribus Maxillothylacium eum vulgo vocabant. Cerberus hic acutis dentibus communis quidem erat omnium pernicies: meam vero Philadelphiam ita penitus exhausit,

σατο ὡς μετ' αὐτόν, ἔρημον οὐ χρημάτων μόνον ἀλλὰ καὶ ἀνθρώπων γενομένην, μηδεμίαν ἐπιδέχεσθαι τὸ λοιπὸν ἀφορμὴν τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς. περιηχηθεὶς γὰρ ὁ μηδὲν ἧ νερτέριος δαίμων ὡς Εὐριπίδης εἶπε Λυδῶν ὑπάρχειν τὰς πολυχρύσους γύας, στῖφος θηρίων καὶ Καππαδοκῶν στρατὸν ἐπαγόμενος ἐνσκήπτει τῇ χώρᾳ, οὐδὲν κοινόν, οὐδὲν μέσον, ἀλλ' ἔπαρχος πραιτωρίων χρηματίζων. εἶτα διατρίβων ἐν αὐτῇ οὐδενὶ τῶν δειλαίων τῆς χώρας οἰκητόρων οὐ σκεῦος οἰονοῦν, οὐ γαμετήν, οὐ παρθένον, οὐ μειράκιον ἀπήμαντον καὶ φθορᾶς ἔξω καταλέλοιπε, ταῖς μὲν ποιναῖς τῶν ἀναιτίων ὡς Φάλαρις, ταῖς δὲ ξενοκτονίαις ὡς Βούσιρις, ταῖς δὲ ῥιθυμίαις καὶ τρυφαῖς ὡς Σαρδανάπαλος διατελῶν.

59. Καὶ εἴθε ... τούτων καὶ μόνων καὶ μὴ καὶ φόβων ὑπὲρ τραγῳδίαν ἐγίνετο τοῖς ὑπηκόοις αἰτιώτατος. τὰ πλεῖστα δὴ οὖν τῶν αὐτοῦ μιασμάτων ἐξηγεῖσθαι φρίττων (ἄπειρα δέ ἐστιν, ὡς καὶ αὐτῶν μόνων μεγίστας βίβλους πενθήρεις ἀποτελεῖν) μίαν αὐτοῦ πρᾶξιν τέως χρημάτων ἕνεκα τραγῳδήσω τῷ λόγῳ. Πετρώνιός τις ἐπὶ τῆς ἐμῆς Φιλαδελφείας ἀνὴρ ἀξιόλογος, γένει τε καὶ περιουσίᾳ καὶ λόγοις διαπρεπής. οὗτος ἐκ προγόνων κύριος ἦν λίθου τιμίας πολλῆς ἅμα καὶ διὰ κάλλος καὶ μέγεθος τοῖς ἰδιώταις ἀχρήστως. τοῦτον ἁρπάσας ὁ Κύκλωψ, σίδηρά τε περιθείς, γυμνὸν ῥάβδοις ἔξαινε διὰ βαρβάρων ἀφειδῶς, ἐνείρξας αὐτὸν ἐπὶ

4 γαίας vulgo. 12 videtur fuisse ἄχρι. F. καὶ μὴ καὶ μόνων καὶ vulgo. 14 φρίττω vulgo. 17 καὶ post τε add F. 20 ἀχρήστως] recentior manus ἀπόβλεπτος. 21 ἐνείξας C.

ut post eum, non pecunia tantum sed hominibus quoque vacua, nullam inposterum spem melioris condicionis recipiat. nam cum circumsonasset illum vere infernalem daemonem, quod Euripides dixit, Lydorum esse auro abundantes terras, agmen belluarum et Cappadocum exercitum trahens in regionem irruit, nullum commune, nullum medium, sed praefecti praetorio nomen usurpans. deinde in ea commorans nulli miserorum regionis incolarum aut vas quodcunque aut uxorem virginemve aut adolescentem incolumem et stupri expertem reliquit, innocentium poenis Phalarin, hospitum caedibus Busirin, voluptatibus et luxuria Sardanapalum referens.

59. Atque utinam his contentus, neque et ... et terrorum tragicis malorum civibus auctor fuisset! plurima quidem eius facinora sane horreo referre: innumera autem sunt, ut vel iis solis maxima volumina lugubria conficias. unum tragicum eius facinus pecuniae causa patratum hic depingam. Petronius quidam Philadelphiae, in patria mea, habitabat, vir honoratus et genere facultatibus literisque clarus. hic a maioribus gemmas multas possidebat, simul et pulchritudine et magnitudine conspicuus multitudini. quem cum rapuisset Cyclops catenisque onerasset, nudum virgis per barbaros crudeliter laceravit, mulorum in stabulo

τῆς ἐπαύλεως τῶν ἡμιόνων· σιάβλον αὐτὸν Ἰταλοὶ λέγουσιν. οὗ δὴ γνωσθέντος

ὦρτο πόλις πτήξασα καὶ ὅμμασι πήξατο χεῖρας,

ἀνεκώκυέ τε ὁ δῆμος, βοηθεῖν τῷ διασπωμένῳ μηδὲ πείθειν τολμῶν τὸν ἀλάστορα. ὅ γε μὴν τὴν πόλιν ἐπισκοπῶν σὺν τοῖς ἱερωμένοις ἅπασιν, ἀναλαβὼν καὶ τὰ θεῖα λόγια, ἔδραμεν ὡς αὐτόν, πείθειν δι' αὐτῶν ἐννοήσας· ὁ δὲ Σαλμωνεὺς εἰς τοὺς ἀνθρώπους καὶ θεὸν ὁρῶν ἐκέλευσεν ἐπὶ σκηνῆς ἐλθόντας πράττειν τὰ ἑαυτῶν, μηδὲν ὑποστελλόμενος τῶν ὅσα ἐν πορνείοις κεκλημένοις τοῖς ἀκολάστοις λόγοις ἀσελγαίνεσθαι. καὶ ἀσκεπῆ καὶ πᾶσι κάτοπτα παρῆν τὰ θεοῦ γνωρίσματα, καὶ ὁ ἱερεὺς μετ' αὐτῶν ὑβριζόμενος ἐθρήνει πικρῶς, οὕτως ὁρῶν τὸ θεῖον περιορώμενον ἀτίμως. ὁ δὲ Πετρώνιος τῆς οἰκείας περιουσίας πρῶτον ὁρῶν τὸν θεόν, πέμψας εἰς οἶκον, πάντα ὅσα ἦν αὐτῷ σὺν καὶ ταῖς λίθοις ἐκείναις ἐνεγκὼν ἔρριψεν ἐπὶ αὐλείου τοῦ Κύκλωπος. καὶ... τό τε χρυσίον λαβὼν ἐπὶ τόκῳ κατέθηκεν ἐπὶ τοὺς τιμωρούς, ὡς δὴ κεκμηκότας ἐπ' αὐτῷ, σπορτούλων ἕνεκα· οὕτω δὲ τὸν ἔρανον οἱ Ῥωμαῖοι προσαγορεύουσιν.

60. Μετρίου δὲ τούτου δόξαντος εἶναι, συνεῖδεν ὁ Κέρβερος καὶ μιαιφονίας ἐργάσασθαι. Πρόκλον οὖν τινά, ἀπόμαχον τῆς ἐπιχωρίου στρατιᾶς, εἴκοσι χρυσίνους ἀπαιτῶν εἰσφέρειν αὐτῷ συνώθει οὐκ ἔχοντα, καὶ πάντα τὰ τῶν ποινῶν ὄργανα ἀπήμβλυνε τοῖς νεύροις τοῦ ἀθλίου πένητος· ὃς τὸ λοιπὸν μηδὲ ζῆν ὑπομένων μηδὲ

4 lego μηδὲ βοηθεῖν. F. 9 ὑποστιλλομένους C. 14 τοῖς λίθοις ἐκείνοις C. 15 ἀλίου C.

(ut Romani dicunt) inclusum. qua re cognita, excita civitas consternata, et oculis admovit manus: ingemuitque populus, neque adiuvare quem lacerabat, neque persuadere nefandum audens. episcopus tamen urbis cum omnibus sacerdotibus, assumptis etiam sacris literis, ad eum accurrit, his movere meditatus: at Salmoneus ille in homines et deum intueus, in scenam progressos sua agere iussit, nihil eorum quae in lustris audire licet promere proterva lingua veritus. et intecta cunctisque conspicua aderant divina signa, et sacerdos cum iis ludibrio habitus amare flebat, numen tam ignominiose contemptum cernens. Petronius autem, facultatum suarum primum videns deum, postquam domum misit, omnia quae ei erant una cum gemmis illis ferens, ante vestibulum Cyclopis proiecit. et... aurumque vindicibus, utpote sane in eo fatigatis, sportularum (sic Romani dicunt Graecum ἔρανος) causa in fenere posuit.

60. Quod cum ei parum videretur, caedes etiam patrare Cerberus constituit; veluti Proclum quendam, emeritum indigeni exercitus, viginti aureos poscens ferre non habentem cogebat, et cuncta poenarum instrumenta nervis miseri pauperis obtundebat; qui deinde, neque vivere su-

τελευτᾶν συγχωρούμενος τέχνῃ μετῆλθε τὸν θάνατον. λαβὼν οὖν τοὺς ποινουργούς, καὶ δοῦναι τοὺς εἴκοσι χρυσοῦς ἐξ ἀνάγκης ἐπαγγειλάμενος, εἰ τυχὸν ἕψονται ἐπὶ τὸ καταγώγιον αὐτῷ γινομένῳ, ὡς ἦλθεν ἐκεῖ, παρελθὼν τῶν φυλάκων ἔξωθεν προστηρούντων, βρόχον ἐνάψας τῷ τραχήλῳ τῆς ζωῆς ἀπηλλάγη. ὡς δὲ τὸ λοιπὸν οὐ προῆλθεν, εἰσφρήσαντες ἐκεῖνοι καὶ ἐξηρτημένον αὐτὸν ἰδόντες τὸν μὲν νεκρὸν αὐτοῦ ἔρριψαν ἐπ' ἀγορᾶς συμπατοῦντες ὡς δῆθεν ἠπατημένοι, τὰ δὲ ὄντα αὐτῷ διήρπασαν, μηδὲ πρὸς ταφὴν οἰκτροῦ τινὸς ἐπιβλήματος ἀξιώσαντες.

61. Τοιούτοις κατορθώμασιν ἐνασχολούμενος ὁ Λαιστρυγὼν ἢ μᾶλλον ὁ τεκνοραίστης λυμεὼν ἐμῆς πάτρης, ὡς φησιν ὁ Λυκόφρων ἐκεῖνος, ἐφ' ὅλον ἔτος τὴν πόρθησαν τῶν Λυδῶν διέτεινε. γλίσχρον δὲ καὶ φαῦλον ἡγούμενος εἰ μόνην τὴν πρόσθεν εὐδαίμονα Λυδίαν ὑπάγοι τοῖς ἀδικήμασιν, ἐφ' ὅλην ὁμοῦ τὴν τῆς Ἀσιανῆς ῥάχεως διοίκησιν συνεῖδεν ἐκτεῖναι τὴν ἀσέβειαν. νόμος ἄνωθεν ἐκράτησε πλατὺν ἅμα καὶ ὀξὺν δρόμον ἐνιδρύσθαι ταῖς ἐπαρχίαις, ὧν ὁ μὲν πλατὺς ὀχήμασιν ἐχρῆτο, ὁ δὲ ὀξὺς ὑποζυγίοις ἵπποις· βεραίδους αὐτοὺς οἱ κρατοῦντες ὠνόμασαν, καὶ τὴν αἰτίαν ἐν τοῖς περὶ μηνῶν ἴσμεν ἀποθέμενοι. τῆς γὰρ ἠπείρου σχεδὸν ἁπάσης ὑπ' αὐτοῖς, οὐκ ἦν εὐχερὲς τὰ πρὸς τὴν ἕω συμβαίνοντα ἐπὶ τοὺς κυρίους τοῦ πολιτεύματος ὡς θᾶττον ἀναφέρειν,

3 ἀπαγγειλάμενος vulgo. 9 ἐπιβλήματος F, ἐπιρρήματος C. 11 τεκνοφόστης λυ. εων C. 12 versus est Cass. 38. ἐπολον C, et mox ἐπολην. 16 ὀξυδρομον C. 19 v. de Mens. p. 12. 20 ὑπ' αὐτοῖς τελούσης?

stinens neque moriendi facultatem habens, arte mortem quaesivit. sumptis itaque carnificibus, viginti aureos se daturum necessitate pollicitus, si forte se in deversorium euntem sequi velint, ubi eo venit, progressus, dum custodes foris praestolantur, in laqueum inserto collo vita liberatus est. inde cum non prodiret, ingressi illi et suspensum conspicati cadaver quidem in foro proiectum, quippe utique decepti, conculcarunt, facultates vero eius diripuere, ne vili tegumento quidem ad sepulturam eum dignantes.

61. Huiusmodi praeclaris facinoribus intentus Laestrygon, seu potius infanticida, perditor patriae meae, ut Lycophron ille ait, annum integrum Lydorum vastationem continuavit. parvum autem et vile reputans, si solam felicem ante Lydiam iniuriis subiiceret, per totam simul Asiani dorsi provinciam impietatem extendere noverat. secundum antiquam legem in provinciis latus simul et celer cursus constituti erant, quorum ille carpentis, hic autem subiugibus equis (veredos eos imperatores vocavere, causamque in opere de mensibus a nobis relatam esse scimus) utebatur. quippe tota fere continente iis subiecta, non erat facile, quae in Oriente acciderant, ad principes rei publicae quam celer-

ἔστιν ὅτε καὶ αὐτὸν ὠκεανὸν τοῖς ὅπλοις ...ἄγοντας. τῷ γοῦν ὀξεῖ δρόμῳ τὰ τῆς μηνύσεως πρὸ τῆς ἀκοῆς ἐγίνετο. καὶ ταύτην τὴν οὕτω σωτηριώδη τοῖς πράγμασιν ἐπίνοιαν συνεῖδεν ὁ πλατύγναθος ἀπαλεῖψαι δι' οἰκείας μηνύσεως, ἀναπείσας τὸν ὁμόγνιον καὶ ὁμόψυχον τῆς αὐτοῦ βδελυρίας ὕπαρχον, περιττὴν εἶναι διαγνοὺς τὴν τῶν δημοσίων ἵππων ὑπηρεσίαν, οὐ συνορῶν ὁ Νιόβης αὐτῆς λιθωδέστερος τὸ τοῦ πράγματος χρήσιμον· ὁ δὲ ὕπαρχος ἀγνοούσης τῆς βασιλείας (πῶς γὰρ ἐνεδίδου τοῖς κοινοῖς ἀτυχήμασι;) καὶ ταύτην τὴν ὄψιν τῆς πολιτείας ἠφάνισεν. ἔνθεν τῶν εἰδῶν ἀπράτων ἐνοχλουμένων ταῖς κτήσεσιν, ἐξαλρου σχεδὸν τῆς Ἀσιανῆς τυγχανούσης, ὁ συντελέστης ἀπώλετο, χρυσίον πρὸς τῶν δασμολογούντων ἀντὶ τῶν εἰδῶν εἰσπραττόμενος, μηδὲ διαπωλεῖν τὰ εἴδη δυνάμενος πόρρω θαλάσσης ἀπῳκισμένος, μηδὲ δαπανᾶν ὡς πάλαι τῷ δημοσίῳ συγχωρούμενος. τούτοις ἠκολούθησε καὶ ἡ τῶν ἐνιδρυμένων τοῖς τόποις στρατευμάτων μετάθεσις πρὸς τὸ χρεωδὲς ὑπὸ τῶν κοινῶν γενομένη, ὡς κἀκ τούτου τοῦ συγκυρήματος τῶν καρπῶν ἐναπομενόντων τῇ χώρᾳ, [καὶ] τοὺς μὲν φόρους εἰς χρυσίον μεταβληθῆναι, τοὺς δὲ καρποὺς ἀπογεοῦσθαι κατ' ἔτος. καὶ εἴθε μόνος αὐτὸς καὶ μόνην ἐκείνην τὴν ἐπαρχίαν ἔτυχε διατρώγων, καὶ μὴ καθ' ἑκάστην πόλιν τε καὶ χώραν οἷος αὐτὸς ἄλλοι, καὶ χείρονς αὐτοῦ, τὸν ὁποίᾳ δ' ἂν κατορωρυγμένον ὀβολὸν ἀνασπῶντες παρῆλθον, στρατὸν ἀλιτηρίων καὶ στίφη Καππαδοκῶν ἐπισυρόμενοι!

1 lego περιάγοντας. F. 7 τὸ vulgo om. 10 ἐξ ἀλεύρου F. 13 ἀποκείμενα F, ἀπωκισμένον C. 16 an ὑπὲρ? 22 ἀναπῶντες C.

rime afferre, quandoque ipsum oceanum armis lustrantes. celeri itaque cursu nuntiatio ante famam fiebat. et hoc tam salutare rei publicae institutum lata illa maxilla delere sua nuntiatione constituit, et consanguineum ipsiusque concordem nequitiae praefectum persuasit, supervacaneum iudicans publicorum equorum ministerium, neque intelligens, Niobe ipsa lapidosior, rei utilitatem. praefectus vero inscio imperatore (qui enim publicis calamitatibus indulsisset?) et hoc rei publicae institutum exstinxit. inde cum species non venditae in possessionibus putrescerent, Asiana provincia fere in frumentum conversa, collator periit, aurum specierum loco ab exactoribus postulatus, cum neque vendere species posset, procul a mari habitans, neque fisco eas impendere, ut antea, liceret. his accessere constituti in regionibus exercitus, contra utilitatem a concordibus illis translati; quippe et hac mutatione fruges in regione manebant, dumque tributa in aurum, ipsae in terram quotannis convertebantur. atque utinam solus ipse solamque illam provinciam exhausisset, neque in unaquaque civitate provinciaque, qualis ipse, alii, ipso etiam peiores, ubicunque demum defossum obolum retrahentes prodissent, exercitu nefariorum et agminibus Cappadocum stipati!

62. *Συνήχθη οὖν πλοῦτος ἄπειρος τῷ δικαιοτάτῳ ὑπάρχῳ, ὥστε αὐτὸν καὶ πρὸς τυραννίδα παρακαλεῖν, τῆς αὐθαδεστέρας μοίρας τοῦ δήμου συνούσης αὐτῷ καὶ τοῖς ἐγχειρουμένοις συναπομένης. θερμαίνων οὖν καὶ προσοικειούμενος αὐτὴν οὐκ ᾤετο πείθειν ὡς ἐραστὴς εἴη τοῦ κατ' αὐτὴν κόμματος, εἰ μὴ πρὸς τὴν ζῶ διαβαίνων αὐτὸς καὶ στολὴν ἀνθηρῷ χλοάζουσαν χρώματι περιθέμενος διαφανὴς ἅπασι γένοιτο. οἷα μὲν οὖν ἔπραξε περὶ Κίλικας, καὶ ὅσοις τοὺς δασμοὺς ἐπέβρισεν ἄχθεσι παρὰ τὴν βασιλέως εὐμένειαν, οὐδενὶ τῶν πάντων ἠγνόηται. ἐπανελθὼν δὲ πρὸς ἡμᾶς, ὡς εἶδεν ὠκεανοὺς χρημάτων περιρρέοντας αὐτόν, πάντας μὲν ᾠκειωμένους αὐτῷ, καὶ τοὺς ὀψοποιούς γε μήν, ἐπὶ τὰ πρῶτα τῶν τῆς πολιτείας ἀξιωμάτων ἁνήρπασεν, ὡς μηδένα καὶ τῶν ἀργυρωνήτων αὐτοῦ ἔξω πλούτου βαθέος καὶ τιμῆς βουλευτικῆς εὐκταίας ἀφεθῆναι γυμνόν, αὐτὸς δὲ ἐτρύφα, μειρακίοις ψιλοῖς καὶ μήπω λίω τοῦ σώματος ἀρρενοφανέσι καὶ πορνῶν ταῖς ἀκολάστοις συμβαλανευόμενος, καὶ ἀκολασταίνων τὸ πράττειν ἅμα καὶ πάσχειν, ἐξ ἑκατέρας ὠχριῶν νόσου, ἔλκων τε ἐπὶ τῶν ἐμπύρων τὸν ἄκρατον οὕτως ἀφειδῶς ὡς φοράδην ἐκκεχυμένον ὑπὸ τῶν γυμνῶν ἀναβαστάζεσθαι, πρὸς ἀντιβολὴν ὄψων ἐπιχωννύντων τὸν οἶνον. οὐκ ἐξαρκοῦντος τῇ τρυφῇ οὐ τοῦ ὑποκειμένου τῇ πόλει πορθμοῦ, οὐχ Ἑλλησπόντου σύμπαντος, τὸ λοιπὸν οὐ κτενός, οὐκ ἔλοπος, χρυσοστάθμου ἰχθύων ποικιλίας καταλειφθείσης τῷ πελά-*

6 *ἀνθηροχλοάζουσαν* C. 7 *διαφανη* C. 8 *δεσμοὺς* C. 15 *λείω* F. 17 *νόσους* C. cf. Iuvenalis Sat. 2 50: *morbo pallet utroque.* 19 *ἐπιχωννύντος* C. 20 *τῇ*] *δὲ τῇ*? 22 *χρυσοστάθμους* vulgo.

62. Collectae igitur immensae divitiae iustissimo praefecto, adeo ut ad tyrannidem eum hortarentur, audacissima populi parte cum eo stante conatusque adiuvante. quam colens conciliansque sibi, non putavit se persuasurum eius se notae amantem esse, nisi in Orientem traiiciens ipse, et florida virentem colore vestem indutus, omnibus manifestus fieret. et apud Cilices quidem quae egerit, quantisque tributa oneribus contra imperatoris benevolentiam gravarit, nemo est qui ignoret. ad nos autem reversus cum oceanos pecuniarum se circumfluentes videret, omnes familiares suos, quin etiam coquos, ad primas rei publicae dignitates rapuit, ut neminem vel e mancipiis suis ingentium opum et honoris curialibus optandi expertem reliquerit. ipse autem luxuriabatur, cum adolescentulis depilibus et impubere etiam propter corporis laevitatem adspectu, cumque scortorum impudicissimis una lavans, ac faciendo simul et patiendo libidinans, utroque pallens morbo, merumque ad tosta tam immoderate hauriens, ut in sella extensus ab nudis referretur, vicissim obsoniorum acervo vinum operiente. cui luxuriae cum non subiectum urbi fretum, non totus Hellespontus sufficeret, postea, non pectine, non acipensere, non aureorum piscium varia copia in pelago relicta, ad

γει, ἐπὶ τὸν Εὔξεινον οἱ τῆς τρυφῆς ὑπηρέται ἐτρέποντο, μὴ τῇ θαλάττῃ ἰχθύος, μὴ τοῖς ὄρεσιν ἢ τοῖς ἄλσεσιν ὀρνέου συγχωρουμένου, μὴ Φάσιδος ὅλου ταῖς εὐωχίαις ἀποχρῶντος, ὡς ἀφίστασθαι τοὺς κτένας, μὴ τῇ κατὰ φύσιν ἐκ τόπου εἰς τόπον πτήσει καταπιστεύοντας ἑαυτούς, ἀλλ' εἰς ἀέρα, τοῖς ὀστράκοις ὡσεὶ πτέρυξι χρωμένους, δοκεῖν ἐκκλίνειν τὴν Καππαδοκῶν ἀδηφαγίαν.

63. Ὅτι δὲ τυχὸν ἔλοπος τοῦ ἰχθύος μνήμη παρῆλθε, περὶ αὐτοῦ τὰ γνωσθέντα μοι παραθήσομαι. ἰχθύς ἐστιν ἁπαλός, διαυγής, ὡσεὶ πηκτὴν καὶ κρυσταλλώδη ἀλλ' οὐ ναστὴν καὶ ἰνώδη δοκῶν ἔχειν τὴν σάρκα, ζωοτόκος μὲν καὶ μηρυκισμόν τινα ἀνάγων. πέφυκε δὲ τοῖς εὐτυχέσιν ἐνδιατρίβειν τόποις· ὅθεν μετ' αὐλῶν καὶ κυμβάλων τοῖς Ῥωμαίοις παρετίθετο, ὡς φησιν Ἀθήναιος. ἐν δὲ τῷ νήχεσθαι σκέπει τοὺς ὀφθαλμοὺς ταῖς παριπεφυκυίαις αὐτῷ πτέρυξι. καὶ ἔλοπα μὲν αὐτὸν Ἀριστοτέλης καὶ πάντες οἱ φυσικοὶ καλοῦσι, καὶ Ἀριστοφάνης δὲ ὁ Βυζάντιος ἐν τῇ ἐπιτομῇ τῶν ἐν ἰχθύσι φυσικῶν, οἱ δὲ Ῥωμαῖοι ἀκυπήνσερα, δι' ἃς αὐτοὶ γεγράφασιν αἰτίας. Κορνήλιος Νέπως καὶ Λαβέριος ὁ ποιητής, ἄμφω Ῥωμαῖοι, φασὶν Ὀπτάτου τινὰ ναύκληρον τοῦ Καρπαθίου στόλου, οἰκεῖον Κλαυδίου βασιλέως, ἐνεγκόντα ἐκ τῆς κάτω θαλάσσης ἔλοπας ἀνὰ μέσον τῆς Ὀστησίας καὶ Κυμ-

9 *ωσι πικτην* C. 10 *ειvώδη* C. *δοκειν* C. 17 *Νέπως* F, *δὲ πῶς* C. Lydus, e Plinii loco (H. N. 9 17) haec, ut videtur, fallente memoria petens, de Cornelio Laberioque, ante Claudii principatum exstinctis, plane aliud, de Optato idem fere atque Plinius rettalit, mutato tamen piscium nomine; in eo enim scari sunt, non acipenseres. F. 19 *οἰκιον* C. 20 *ανανα* C.

Euxinum se luxuriae ministri converterunt, non mari piscem, non montibus silvisve avem concedentes, toto Phaside epulis haud sufficiente, ut refugere pectines, non naturali e loco in locum volatui sese confidentes, sed per aërem, ostracis veluti alis utentes, evitare Cappadocum voracitatem viderentur.

63. Quod vero acipenseris piscis forte mentio incidit, de eo mihi cognita proponam. piscis est mollis, pellucidus, ut quasi glaciei et crystallo similem neque densam et nervosam carnem habere videatur; viviparus idem, et quodammodo ruminat. solet autem felicibus locis immorari; unde cum tibiis cymbalisque apud Romanos apponebatur, ut ait Athenaeus. natans autem succrescentibus ipsi pinnis oculos tegit. et elopem quidem eum Aristoteles omnesque physici vocant, nec non Aristophanes Byzantius in epitome de piscium proprietatibus: Romani vero aquipenserem, ob quas ipsi tradidere causas. Cornelius Nepos et Laberius poeta, ambo Romani, aiunt Optatum quendam, Carpathiae classis nauclerum, Claudii imperatoris familiarem, elopes ex infero mari

πάνης περισπεῖραι θαλάσσης. τοιαῦτα μέν τινα τοῦ ἰχθύος χάριν εἰρήσθω.

64. Περὶ δὲ τὴν ἄνοδον, μᾶλλον δὲ ἀνακομιδὴν τοῦ Καππαδόκου στιχηδὸν αὐτῷ παρεφαίνοντο κόραι σάνδυξι περικεχυμέναι τὰ μέλη, προφανῶς ἐκκαλύπτουσαι ὅσα καλύπτειν ὄμμαθ' ἁρσένων ἐχρῆν. πρὸς βραχὺ δὲ τὸ προκείμενον ἀφείς, ὅ τι τυγχάνει σάνδυξ καὶ ποῖον εἶδος ἐσθήματος γέγονε Λυδοῖς τὸ πάλαι, ἑρμηνεῦσαι πειράσομαι. σπουδὴ γέγονε τοῖς πολυχρύσοις τὸ πάλαι Λυδοῖς εὐπορίᾳ χρυσίου, ὅσον αὐτοῖς ὁ Πακτωλὸς μετὰ τὸν Ἕρμον ἐχορήγει, καὶ χρυσοστήμονας διεργάζεσθαι χιτῶνας (καὶ μάρτυς ὁ Πείσανδρος εἰπὼν Λυδοὶ χρυσοχίτωνες), καὶ οὐκ αὐτοὺς μόνους ἀλλὰ καὶ τοὺς καλουμένους σάνδυκας (χιτῶνες δὲ ἦσαν ὑπ' αὐτῶν εὑρημένοι, λινῶν μὲν οἱ διειδέστατοι, σάνδυκος δὲ χυλῷ τῆς βοτάνης καταβάπτοντες αὐτούς· σαρκοειδὴς δὲ ὁ χρὼς τῆς βοτάνης), οὓς αἱ γυναῖκες τῶν Λυδῶν γυμνῷ τῷ σώματι ἐπισκιάζουσαι οὐδὲν μὲν ἐδόκουν ἢ ἀέρα μόνον περικεῖσθαι, κάλλει δὲ ἔξω τοῦ καλοῦ καὶ σώφρονος ἐφείλκοντο τοὺς θεωμένους. τοιούτῳ τὸν Ἡρακλέα χιτῶνι περιβαλοῦσα Ὀμφάλη ποτὲ αἰσχρῶς ἐρῶντα παρεθήλυνε. ταύτῃ καὶ Σανδὼν Ἡρακλῆς ἀνηνέχθη, ὡς Ἀπουλήϊος ὁ Ῥωμαῖος φιλόσοφος ἐν τῷ ἐπιγραφομένῳ ἐρωτικῷ, καὶ Τράγκυλλος δὲ πρὸ αὐτοῦ ἐν τῷ περὶ ἐπισήμων πορνῶν ἀνενηνόχασιν. ἔνθεν οἶμαι σανδόνας ἔτι καὶ νῦν πρὸς διασυρμοῦ λέγεσθαι, οὓς τὸ πλῆθος ἀπὸ τῆς κατασκευῆς τῶν σινδόνων σαν-

7 τυγχάνοι vulgo. 11 πίσανδρος C. 14 κατίβαπτον?

attulisse atque inter Ostiense et Campanum mare sparsisse. haec de pisce.

64. Revertebatur autem Cappadox, seu referebatur potius, serie puellarum utrinque comitatus, quae sandycibus membra circumfundentes cuncta aperte ostendebant quae celare viriles oculos oportebat. ego vero, relicto paulisper proposito, quid sandyx et quale vestis genus antiquis Lydis fuerit, exponere conabor. auro olim abundantes Lydi, quod Pactolus iis Hermusque praebebant, tunicas adeo aureis staminibus texere studuerunt (quod testatur Pisander, dicens "Lydi aureas tunicas gerentes"); neque illas tantum, verum etiam sandyces quos vocant (erant autem tunicae ab iis inventae, linearum lucidissimae, quas succo sandycis plantae tingebant: carnosus autem plantae color); quibus nudum corpus inumbrantes Lydorum mulieres aëre tantum indutae videbantur, formaque, decore et pudore remotis, intuentes alliciebant. tali Herculem tunica Omphale olim circumdedit, cum turpiter amantem effeminavit. hinc et Sandon Hercules dictus est, ut Apuleius Romanus philosophus, in libro qui amatorium inscribitur, et ante eum Tranquillus in opere de insignibus meretricibus rettulit. inde existimo sandonas etiamnum ignominiae causa dici, quos vulgus ab habitu sindonum san-

δόνας ὥσανεὶ σινδόνας οἴεται χρηματίζειν. ταιαῦτα μὲν ἄν τις ὡς ἐν παρεκβάσει λέγοι, (65) ἐγὼ δὲ πρὸς τὸν Καππαδόκην ἐπάνειμι. ἐπεσπῶντο δὲ αὐτὸν πόρναι, ὑπ' ἄλλων πορνῶν γυμνοφανῶν βασταζόμενον, φιλήμασιν ἐκλύτοις, πρὸς μῖξιν αὐτίκα βιαζομένοις· ὁ δὲ κεχυμένος ἐκ τῶν προτεινομένων ὄψων τε καὶ ποτῶν πρὸς κιναίδων ἄλλων ἐλάμβανε· τοσαῦτα δὲ ἦν καὶ οὕτω μαλακὰ ὡς ἐμετὸν αὐτῷ κινεῖν, μηκέτι χωροῦντος τοῦ στόματος, χειμάρρου δὲ δίκην ἐξαυλακίζοντος τὴν ἑστίαν, καὶ κίνδυνον οὐ μικρὸν ἐξολισθαίνουσι τοῖς κόλαξι τῷ στιλπνῷ τῶν ψηφολογημάτων ἐπιφέροντος. οὕτω διετέλει σηπόμενος, συνάπτων ταῖς νυξὶ τὰς ἡμέρας, ὥστε πέρας μὲν αὐτῷ ἑστιωμένῳ τὸν φωσφόρον, ἀρχὴν δὲ πραγμάτων τὸν ἕσπερον γίνεσθαι. ὅπως δὲ μὴ τυχὸν ἐμπόδισμα ταῖς ῥᾳθυμίαις ἐγγένοιτο, ἀπολέγειν καθάπαξ τῷ τεμένει τῆς δίκης (σήκρητον αὐτὸ καλοῦσιν ἐν τοῖς δικαστηρίοις), φαίνεσθαι μόνον ὑπομένων ἐν αὐτῷ, ὅτε περιφερόμενος τῇ ἀμετρίᾳ τῶν σίτων τοὺς ἐπιφανεστάτους τῆς τάξεως ταῖς ποιναῖς ἐξέθετο. δικαστὰς δὲ προβάλλεται ἐπὶ τῆς βασιλέως στοᾶς, ὥστε ἐκείνων τῶν ἐπὶ χρήμασι δικῶν ἀκροωμένων αὐτόν, ὡς ἔφθην εἰπών, ἀγρυπνεῖν.

66. Οὐκ ἦν οὖν τὸ λοιπὸν οὐ δικηγόρῳ σπουδὴ λόγων κοσμῆσαι τὴν συνηγορίαν ἢ πείθειν ἄρχοντα δυναμένων μέγιστον, οὐδενὸς τὸ λοιπὸν ἐπὶ σηκρήτου πραττομένου, οὐ πρεσβείας ἢ

7 *αἱμετον* C. 13 excidit aliquid, aut legendum *ἀπολέγει*. F. 15 *αὐτοῖς* C. 18 *αὐτῶν* C. 19 *εἰπόντες* C. an *οἷς ἔφθην εἰπὼν ἐναγρυπνεῖν*? 20 *οὐδὲ δ.?* 21 *ἢ* vulgo om. *δυναμένῳ* vulgo.

donas, quasi sindonas, appellari arbitratur. haec quasi in digressione. (65) ego vero ad Cappadocem redeo. quem dum alia scorta nuda, ut videbantur, ferebant, alia eundem osculis enervantibus, ad coitum statim cogentibus, pelliciebant: ipse autem extensus de porrectis obsoniis potibusque ab aliis cinaedis accipiebat. tanta autem erant tamque mollia, ut vomitum ei moverent, non amplius capiente ore, sed torrentis instar epulas eructante, periculoque non parvo labentes splendido pavimento adulatores exponente. sic agebat, putrescens, noctibus dies iungens; ut finis epulanti Lucifer, initium vero negotiorum Hesperus esset. ne autem impedimentum forte voluptatibus incidat, semel templo iustitiae (secretum illud in iudiciis vocant) renuntiat, tantum apparere in eo sustinens, cum, dum ob ciborum immensam copiam circumferebatur, eminentissimos apparitorum poenis obiiceret. iudices autem creat in porticu imperatoris, ut, dum illi pecuniarias causas audirent, ipse, ut modo diximus, vigilaret.

66. Nemo itaque advocatus, qui ornare defensionem et summum magistratum movere posset, porro eloquentiae studuit, cum postea nihil in secreto tractaretur, neque deprecatio, neque unimembris actio, neque

μονομεροῦς ἐντυχίας ἢ διδασκαλικοῦ ἢ μετρήσεως ἢ ἐξισώσεως ἤ τινος ἑτέρου τῶν πάντων, ὥστε λοιπὸν οὐδένα τῶν ἔμπροσθεν εἰωθότων εὐδοκιμεῖν περὶ λόγους τοιούτοις τισὶν ἐπαγρυπνεῖν. τίνι γὰρ ἔμελλέ τις ἀρκέσειν, ἢ τίνος χάριν τῶν ἐπαίνων ἀντέχεσθαι, ὅτε μηδὲ μάρτυς ἦν τις ἢ ὅλως ἐπαινεῖν τὸ σχῆμα τῶν δικαστηρίων δυνάμενος; ἔνθεν ἀπόλωλεν ἡ τάξις, καὶ πραγμάτων οὐκ ὄντων ἀσχήμων ἐρημία κατερρύπωσε τὸ δικαστήριον, οἰμωγαί τε καὶ δάκρυα τῶν πρὸς τὸ πέρας τῆς στρατείας ἀφικνουμένων εἰς γῆρας ἄπορον καταφερομένων. εἰκότως οὖν οὐδεὶς ἐπὶ στρατείαν ἀπήγγελλε, τὸ πρὶν εἰωθὸς ὑπὲρ χιλίους κατ' ἔτος ταχυγράφους στρατευομένους τοῖς πανομένοις τῶν πόνων, μάλιστα τῷ λεγομένῳ ματρικουλαρίῳ (ἀντὶ τοῦ τῶν καταλόγων φύλακι) πόρον οὐ μικρὸν περιποιῆν. καὶ ταύτης ἐγὼ μετέσχον τῆς ἀστοχίας, μηδὲ τὴν ἐφήμερον δαπάνην ἐν τῷ πληροῦν τὴν στρατείαν εὑράμενος. μαρτυροίσης γάρ μοι τῆς ἀληθείας, ἕνα ταχυγράφον παρ' ὅλον τὸν ἐνιαυτὸν τοῦ πληρώματος οὐκ οἶδα στρατευσάμενον, πολυτρόπου τῆς ἀφορμῆς συγχανούσης, πρῶτον μὲν τῆς ἐν τοῖς πράγμασι παντελοῦς ἀπορίας, εἶτα δὲ καὶ τῆς τῶν καλουμένων προβατορίων δυσπορίστου μεταλήψεως. καὶ ὅπως ἐρῶ. (67) ἡ παλαιότης πέντε χρυσίνους οἷδε παρεχομένους τοῖς μεμοριαλίοις ὑπὲρ προβατορίας ἀδιούτωρος πρὸς τὴν ἔπαρχον ἐξουσίαν καταπεμπομένης, καὶ τότε ἡνίκα κατὰ τὸ μυθικὸν ὁ χρυσοῦς αἰὼν ἐξέ-

3 τοιούτους vulgo. 4 ἀρέσειν? 7 κατερρίπωσε vulgo.
9 πηρας C. 11 μάλιστα δὲ τῷ? an καὶ μάλιστα τῷ?
17 τῆς] τοῖς C. 22 τὸν C: cf. 1 25. quanquam utroque loco nescio an praestet, quod est 2 29, κατὰ τὸν μῦθον.

aestimatio, neque aequatio, neque aliud omnino; quare nemo eorum qui antea eiusmodi in orationibus cum laude versari consueverant, in ullis porro operam posuit. cui enim opem tulisset, aut cur laudibus vacasset, cum ne testis quidem quisquam adesset, aut omnino qui laudare iudiciorum formam posset? inde periit officium; et cum causae nullae essent, deformis solitudo iudicium evertit, cum gemitu lacrimisque eorum qui ad finem militiae perveniebant, inopem senectutem sortientes. iure igitur nemo militiae nomen dabat, cum antiqua consuetudine plus mille quotannis notarii militantes laboribus perfunctis, praesertim matricolario, ut vocant (id est catalogorum custodi), non parvum reditum conciliassent. atque huius ego particeps fui infortunii, ne quotidianum quidem victum complendo militiam consecutus. etenim, testante mihi veritate, unum notarium per totum completionis annum haud scio militasse. cuius rei variae erant causae, primum quidem summa litium penuria, deinde vero et quas probatorias vocant parandi difficultas, quemadmodum exponam. (67) more antiquo memorialibus pro probatoria adiutoris, quae ad praefecturam mittebatur, quinque aurei praebebantur tum quoque, cum secundum fabulam aurea aetas splendebat: nunc autem,

λαμπε· νῦν δέ, ὅτε οὐδὲ ὄνομα ἔστιν εὑρεῖν τῷ καθ' ἡμᾶς χρόνῳ ἀρκοῦν ἐπιδεῖξαι τὴν ἐν αὐτῷ μοχθηρίαν, εἴκοσι χρυσῶν ἔκριναν αὐτοῖς ἀποδίδοσθαι τὴν προβατορίαν. ὡς δὲ ἔγνωσαν μηδένα τολμᾶν, μᾶλλον δὲ μὴ ἔχειν τοσούτου χρήματος προβατορίαν πορίζεσθαι, τύπον πραγματικὸν ἑαυτοῖς ἐξεμύζησαν μηδενὶ συγχωροῦντα γραμμάτων ἄνευ βασιλικῶν ἐπὶ στρατείαν ὑπὸ τοῖς ἐπάρχοις διαβαίνειν. τὸ δὲ ὅλον πρὸς ἀτιμίας ἐπράττετο τῆς ἀρχῆς, τοῦ νόμου δόντος ἀνέκαθεν αὐτῇ δι' οἰκείων ψήφων οὓς ἂν ἐθέλῃ τοῖς ταχυγράφοις τοῦ δικαστηρίου συναριθμεῖν· καὶ πολλοὺς αὐτὸς ἐπίσταμαι ἀπὸ διαλαλιᾶς στρατευσαμένους, διαπρέψαντάς τε ἅμα καὶ τὴν ζώνην ἐντίμως ἀποθεμένους. καὶ ταύτης δὴ οὖν τῆς ὁδοῦ τὸ λοιπὸν σχολαζούσης εἰς παντελῆ δυστυχίαν ἦλασε τὰ τῆς τάξεως, τὸ δὲ τῶν καλουμένων ματρικουλαρίων ῥιζόθεν ἀνασπασθὲν ὅλωλε φρόντισμα. καὶ τί λέγω, αὐτῶν πάντων καθ' ὁμαλοῦ μετὰ τὸ τῆς στρατείας πέρας ἐν ἀπορίᾳ αἰσχρᾷ ὀδυνηρὸν τὸν λοιπὸν τῆς ζωῆς χρόνον παρασυρόντων; τὴν οὖν στρατείαν ἀπεθέμην τεσσαράκοντα ἐνιαυτοὺς προσεδρεύσας καὶ μηδὲν παρὰ τὴν ἐπωνυμίαν τοῦ πληρώματος ἀπενεγκάμενος. καὶ καλὸν μὲν ἀναχωρῆσαι τὸ λοιπὸν τῆσδε τῆς τραγῳδίας, ἀποχρώσης τῆς ἐκβάσεως ἐπιδεῖξαι τὴν ἀλήθειαν· πλὴν καὶ ἄλλης χρῆναι νομίζω ἀφηγήσεως ἅψασθαι.

68. Νόμος ἀρχαῖος ἦν πάντα μὲν τὰ ὁπωσοῦν πραττόμενα παρὰ τοῖς ἐπάρχοις, τάχα δὲ καὶ ταῖς ἄλλαις τῶν ἀρχῶν,

5 ἐξεμοίζησαν C. 10 αὐτοὺς C.

cum ne nomen quidem est reperire tempori nostro par eius pravitati exprimendae, viginti aureis probatoriam iis vendi decreverunt. cum autem intelligerent neminem audere, imo neminem posse tanti pretii probatoriam sibi parare, pragmaticam formam sibi extorsere nemini permittentem sine literis imperatoriis ad militiam praefectis subiectam accedere. totum vero in contemptum magistratus fiebat, cui inde ab initio lex concessisset, suo suffragio quos vellet notariis iudicii annumerare; multosque ipse scio colloquio receptos militasse, et eminuisse simul cingulumque cum honore posuisse. et hac itaque via in posterum occlusa penitus res apparitorum concidere, matriculariorum vero, ut vocant, munus radicitus evulsum interiit; de quo quid multa, cum omnes una post finem militiae aerumnose turpi in inopia reliquum vitae tempus trahant? militiam igitur post quadraginta annorum operam deposui, nihil ea praeter nomen completionis consecutus. iamque congruum huic tragoediae finem imponere, exitu ad declarandam veritatem sufficiente. unam tamen rem etiam mihi commemorandam esse existimo.

68. Lex antiqua erat, omnia, quae quomodocunque apud praefectos ac forte alios etiam magistratus agerentur, Latino sermone efferri;

τοῖς Ἰταλῶν ἐκφωνεῖσθαι ῥήμασιν· οὗ παραβαθέντος ὡς εἴρηται (οὐ γὰρ ἄλλως) τὰ τῆς ἐλαττώσεως προύβαινε. τὰ δὲ περὶ τὴν Εὐρώπην πραττόμενα πάντα τὴν ἀρχαιότητα διεφύλαξεν ἐξ ἀνάγκης διὰ τὸ τοὺς αὐτῆς οἰκήτορας, καίπερ Ἕλληνας ἐκ τοῦ πλείονος ὄντας, τῇ τῶν Ἰταλῶν φθέγγεσθαι φωνῇ, καὶ μάλιστα τοὺς δημοσιεύοντας. ταῦτα μετέβαλεν ὁ Καππαδόκης εἰς γραώδη τινὰ καὶ χαμαίζηλον ἀπαγγελίαν, οὐχ ὡς σαφηνείας φροντίζων, ἀλλ' ὅπως πρόχειρα ὄντα καὶ κοινὰ μηδεμίαν ἐμποιῇ δυσχέρειαν τοῖς κατὰ σκοπὸν αὐτοῦ πληροῦν τὰ μηδαμόθεν αὐτοῖς ἀνήκοντα τολμῶσι. πράττων γὰρ καὶ γράφων καὶ καινοτομῶν καὶ ἐκ παντὸς τρόπου σαλεύων τὴν ἀρχαιότητα, οὐ τοῖς ἁρμοδίοις τῶν χωρῶν ἐπιστάταις (οὓς καλοῦσι τρακτεύτας ἀντὶ τοῦ κλιματούρχας) ἢ διαψηφισταῖς ἐδίδου κατὰ τὸ σύνηθες τὰ πραττόμενα πρὸς πλήρωσιν, ὥστε μηδὲν παρὰ τὸν νόμον γίνεσθαι· ἀλλ' αὐτὸς διὰ τῶν οἰκείων πληροῦσθαι τὰ σύμβολα ἐκέλευσε, τῶν εἰωθότων παρέχεσθαι δαπανημάτων τοῖς ἁρμοδίοις πληρωταῖς αὐτὸς γενόμενος κύριος. εἶτα ἐκ τῆς μὴ κατὰ τὸ προσῆκον τολμωμένης τῶν χαρτῶν ἐκδόσεως μεγίστων ἀνισταμένων τοῖς ὑποτελέσι δυσχερειῶν, αὐτὸς ἠγανάκτει καὶ θανάτους ἐπέφερε τοῖς οὐκ ἐπισταμένοις τὴν τῶν ἀναίδην καὶ ὡς ἔτυχεν ἀπολελυμένων χαρτῶν δύναμιν. καὶ νόμος ἐκράτησεν ἐξ ἐκείνου, καὶ πάντες ὡς ἔτυχε καὶ γράφουσι καὶ πληροῦσι καὶ ἀπολύουσι τὰ παντελῶς αὐτοῖς ἀγνοούμενα, τὸ πρὶν μυρίοις κατησφαλισμένα τρόποις, τοῖς τε λεγομένοις κοττιδιανοῖς

12 forte legendum κλιματάρχας. F. 18 δυσχερῶν vulgo.
20 lego ἀνέδην. F.

qua neglecta res, ut diximus (neque enim aliter), prolabi coeperunt. quae vero circa Europam agebantur, cuncta antiquitatem necessario servaverant, quoniam eius incolae, quamvis maiori ex parte Graeci, latina lingua utebantur, maxime qui publica munera gerebant. haec Cappadox in anilem quandam humilemque expositionem mutavit, non quod perspicuitas ei curae erat, sed ut in promptu res communisque easet, neque ullam iis difficultatem exhiberet qui ex eius voluntate implere nequaquam ad se pertinentia auderent. agendo enim et scribendo et innovando, omnibus denique modis antiquitatem concutiens, non congruis regionum praesidibus (quos tractatores vocant, id est regionum praefectos) aut rationalibus, secundum consuetudinem, acta implenda dabat, ne quid contra legem fieret; verum per suos chartas compleri iussit, sumptibus, quos congruis completoribus praeberi mos fuerat, ipse potitus. deinde cum ob chartas temerarie illiciteque editas maxima subiectis incommoda existerent, ipse iratus chartarum audacter temereque absolutarum vim ignorantes morte afficiebat. atque ex illo mos obtinuit, omnesque et scribunt et complent et absolvunt sibi prorsus ignota, olim mille modis firmata, cum cotidianis (ut vocant, id est

οἷον ἐφημέροις τοῦ ἀβ ἄκτις, τοῖς τε προσφόροις σκρινίοις, καὶ αὐτοῖς δὲ τοῖς ἐξ αὐτῶν ἔχουσι τὸν πόρον. καὶ τί μακρηγορῶ; πάντα παντελῶς διαπέπτωκε, μηδεμίαν ἐπίγνωσιν τῶν πρὶν κατορθωμάτων διασώζοντα.

69. Οὕτω τοῦ μιαρωτάτου πολεμίου τῶν νόμων διαγενομένου θεὸς ἐπεστράφη, ἐκδοῦναι τὸν αἴτιον τῶν κακῶν ταῖς ἰδίαις πράξεσι ψηφισάμενος, πείθων αὐτὸν ὡς

ἔστι δίκη νέμεσίς τε κακοῖς κακότητα φέρουσα.

τοῦ γὰρ ἡπιωτάτου βασιλέως μηδὲν τούτων ἐπισταμένου, πάντων δὲ διὰ τὴν ἄκρατον δυναστείαν, καίπερ ἀδικουμένων, συνηγορούντων τῷ πονηρῷ Καππαδόκῃ καὶ τοῖς πάντων ἐξοχωτάτοις ἐπαίνοις ἐπ' αὐτῷ παρὰ βασιλεῖ χρωμένων (τίς γὰρ ἂν ἐτόλμησε καὶ μόνης ἐπαίνων χωρὶς μνησθῆναι τῆς αὐτοῦ προσηγορίας;) μόνη ἡ ὁμόζυγος γυνή, κρειττων τῶν ὄντων ὁτεδήποτε ἐπὶ συνέσει, καὶ συμπαθείᾳ τῶν ἀδικουμένων ἀγρυπνοῦσα, μὴ φέρουσα τὸ λοιπὸν περιορᾶν τὴν πολιτείαν βυθιζομένην, οὐ μετρίοις λόγοις ὡς τὸν βασιλέα ὁπλισθεῖσα διαβαίνει, ἅπαντα αὐτὸν τὰ τέως διαλανθάνοντα διδάσκουσα, καὶ ὡς κινδυνεύοι οὐ τὸ ὑπήκοον μόνον ἐναπολεῖσθαι τοῖς κακοῖς, ἀλλὰ καὶ αὐτὴν ἐγγὺς σαλεύεσθαι τὴν βασιλείαν. εἰκὸς οὖν ὁ βασιλεύς, καλὸς ὢν καὶ πρὸς ἄμυναν τῶν κακῶν βραδύς, ἀμηχάνοις ἀπορίαις εἴχετο, μηδὲ ἀποκινεῖν τὸν καταστροφέα τοῦ πολιτεύματος εὑρίσκων· οὕτως ἔτυχεν, οἷα κακός, ταράξας τὰ πράγματα καὶ τοὺς πόρους ἀπορίᾳ καὶ συγχύ-

9 ἡπιστάτου C. 14 κρειττον C. 20 εἰκὼς C. v. ad p. 202 19. 23 κακῶς C.

ἐφημέροις) actis praefecti, tum competentibus scriniis, tum vero per eos ipsos qui ex illis reditum habebant. paucis dicam: omnia penitus interiere, nullo prioris eorum excellentiae indicio relicto.

69. Sic cum egisset sceleratissimus legum hostis; respiciens deus malorum auctorem ipsius tradere factis decrevit, persuadens ei "esse Iustitiam Nemesinque, malis mala ferentem." nam cum horum nil sciret mansuetissimus imperator, omnes vero propter immodicam eius potentiam, quamvis iniuria affecti, improbum Cappadocem tuerentur, longe omnium maximis laudibus eum apud imperatorem celebrantes (quis enim vel solius nominis eius sine laude mentionem facere ausus fuisset?), sola coniux, omnibus quae unquam fuere ingenio praestans, et iniuriarum miseratione vigilans, diutius negligere praecipitantem rem publicam non sustinens, haud levibus instructa rationibus ad imperatorem accedit, cunctaque eum hucusque occulta edocet, nec subiectos tantum malis interire periclitari, sed ipsi quoque imperio ruinam imminere. itaque, quod necesse erat, imperator, utpote bonus et in malorum ultione lentus, summa consilii inopia laborabat, ne, quemadmodum rei publicae eversorem amoveret, reperiens quidem: adeo, utpote improbus, res perturbaverat, ac reditus difficultate et inexplicabili confu-

σει ἀδιακρίτῳ σκοτώσας, ἀλλήλαις τὰς λεγομένας ἐπινεμήσεις ἐμιξας, ὡς μηδέποτε πέρας αὐτῷ γενέσθαι τῆς ἀρχῆς, μηδέ τινα τῶν ἀπὸ τῆς βουλῆς ἢ ὅλως τοῦ δικαίου περιαγραῦντα τολμᾶν ἐπιλαβέσθαι τῆς διοικήσεως. ἐπεκούρει δὲ ὅμως τοῖς ὑπηκόοις ὁ βασιλεὺς καθ' ὅσον ἀνθρώποις δυνατόν. (70) οἱ δὲ ὑποτελεῖς τὸ λοιπὸν οὐκ οὔσης αὐτοῖς οὐδὲ ἀφειθείσης περιουσίας διὰ τὰς συντωνὰς καὶ ἀγγαρίους καὶ τοὺς ἐξ αὐτῶν πόνους, γυναικῶν τε σὺν ἐπιμαζίοις βρέφεσιν ἀχθοφορουσῶν καὶ διακομιζουσῶν τὰ εἴδη ἐκ μεσογείου μακρᾶς ἐπὶ θάλασσαν ἀνηλεεῖς καὶ ἄταφοι ἐπὶ τῆς ὁδοιπορίας θάνατοι, τῶν τε τοὺς δασμοὺς πραττομένων πολυτρόπους καὶ πολυσημάντους .... κηνσουάλια, ὁλογραφικά, βουλευτικά, δημόδουλα, δημόκηνσα, ἀφαντικά, ἐγκαταλελειμμένα, πολιτικά, ταμιακά, δεπουτάτα, ῥικολάτα, ῥέφουσα, κεραστισμούς, ῥοπάς, παραλλα.α, τόπους, ἐνδοματικά, μητατορικά, καὶ μετὰ τὴν τούτων ... ελληφορον ἀπαίτησιν, ἐπὶ τοῦ νομίσματος ἄλλων μυρίων ὥσπερ ἐξ ὕδρας ἀνισταμένων κακῶν τοῖς ὑποτελέσιν ὑπὲρ ἀνωμεριτικων σουσος παιδων .... ιμων, κομιτατησίων, μονοπτέρων, μονα... ἀπηλλημένων, λευκοχρύσων ...περας τας ἐν ... καὶ ... ὑπερμαχούντων τὰς κατὰ ... προνοουμένων λαφυραγωγοὺς ἁρπαγάς, βίας τε καὶ φθορὰς τῶν παραπορευομένων διὰ τῶν ἐπαρχιῶν στρατευμάτων, ὅσα κατὰ τὸ ἀναγκαῖον ἐπὶ τοὺς πολέμους ὁρμῶν συμβαίνει, διὸ κουφοτέραν τὴν ἐπιδρομὴν τῶν βαρβάρων τῆς ἐπιστασίας τῶν οἰκείων τὸ ὑπήκοον ἑαυτῷ συλλογίζεται. διὰ ταύτας τοίνυν τὰς αἰτίας, μᾶλλον δὲ περιστάσεις,

3 περιαλγοῦντα? an περιεργοῦντα? 4 ὅμως τοῖς F, ὁμοίως C. 11 tributorum nomina, quoniam alia non intelligo, alia Latina sunt aut depravata, in versione omisi. F. 24 ἀρτίας C.

sione, quas indictiones vocant inter se miscens, involverat, nunquam ut finem eius magistratus haberet, neque quisquam e senatu, aut omnino cui cordi esset iustitia, suscipere administrationem auderet. succurrebat nihilominus subiectis imperator quantum ab homine fieri poterat. (70) collatores vero cum porro neque facultates neque eas acquirendi copiam haberent ob coemptiones et angarios atque inde nascentes labores, mulierum, lactantibus cum infantibus onera ferentium, dum species longinquum ad mare portant, immiserabiles et sepultura carentes in itinere obitus; et tributa exigentium multiplices multorumque nominum .... ad quorum .... exactionem alia innumera mala accedebant, e numismate subiectis veluti ex hydra nascentia .... tum ob propugnatorum, quibus prospiciebant, praedantium rapinas, vimque et populationes per provincias iter facientium exercituum, quos obvia necessitate in hostes ire contingit; quam ob rem leviorem sibi barbarorum incursionem quam suorum moram subiecti reputant: has igitur ob causas seu potius cala-

τὰς ἐνεγκούσας αὐτοὺς ἀπολείποντες ἅπαντες, καὶ ῥᾳθυμεῖν μᾶλλον ἢ κάμνειν σωφρόνως ἐθέλοντες οἷα μηδὲ συγχωρούμενοι, τὴν βασιλέως πόλιν ὄχλου ἀχρήστου ἐνεφόρησαν. καὶ πολὺς ἦν ὁ νόμιος πρὸς ἀπειρίαν πταισμάτων τῷ πλήθει συνεκτεινόμενος, ὥστε καὶ τοὺς τὸ πρὶν ἠμελημένους ἄρχοντας προαγαγεῖν, πραίτωράς τε καὶ κναισίτωρας, κατὰ τήν ποτε κρατήσασαν παρὰ Ῥωμαίοις συνήθειαν, ὡς προαφηγησάμεθα. τῶν δὲ τοῖς ἁμαρτήμασι τοῦ δήμου ἐπεξιόντων σφοδρότερον, ἀναστὰν τὸ πλῆθος καὶ εἰς κακοδαίμονα συναχθὲν ὁμόνοιαν πᾶσαν ἐγγὺς τὴν πόλιν ἐνέπρησε. καὶ ὁ μὲν Καππαδόκης ἄφαντος ἐγίνετο, ἀρχῆς δὲ λαβόμενον τὸ πῦρ ἐκ τῶν τῆς αὐλῆς εἰσόδων, εἶτα ἐξ αὐτῶν ἐπὶ τὸ πρῶτον ἱερόν, ἐξ ὧν ἐπὶ τὴν Ἰουλιανοῦ γερουσίαν, ἣν καλοῦσι σίνατον κατὰ τὴν Αὐγούστου πανήγυριν, ἀφ' ἧς ἐπὶ τὴν ἀγορὰν ἣν καλοῦσι Ζεύξιππον ἀπὸ Ζευξίππου βασιλέως, ὑφ' ᾧ ἐπὶ τῆς τριακοστῆς ὀγδόης ὀλυμπιάδος Μεγαρεῖς εἰς Βυζάντιον ἀποικήσαντες πρὸς τιμὴν αὐτοῦ τὴν ἀγορὰν οὕτως ἐπωνόμασαν, καθάπερ τὰς Χαριδήμου στοὰς οἱ Κύζικον οἰκίσαντες Μεγαρεῖς· καὶ ... βασιλεῦσαι Ἑλλήνων μνημονεύεται, ὡς ὁ Κάστωρ ἐν ἐπιτομῇ χρονικῶν ἀπέθετο. τὸ γὰρ δημόσιον βαλανεῖον Σεβήρειον ἀπὸ Σεβήρου Ῥωμαίων ἡγησαμένου παρωνόμασται, ὃς ἀρθρίτιδι νόσῳ ... νμενος ἰδείματο τὸ βαλανεῖον, προσκαρτερῶν τῇ Θράικῃ διὰ τὴν πρὸς Νίγρον δια-

3 ὄχλον ἄχρηστον vulgo. 9 κακοδαίμονας C: quo servato F ὁμονοίας. 15 μεσγαρις C. πρὸς τιμῆς usitatius: v. p. 168 10, 240 12. 16 χαριδήμους C. 17 οἰκήσαντες C. lego καὶ γὰρ. F.

mitates, suam quisque patriam relinquentes, cum otiari quam sapienter laborare mallent, quippe ne copiam quidem habentes, imperatoriam urbem inutili turba replebant. crescebatque contra innumera delicta una cum multitudine legis severitas, adeo ut antea neglectos magistratus, praetores et quaesitores, iuxta priscam apud Romanos, ut supra memoravimus, consuetudinem, creaverit. qui cum populi peccata persequerentur acrius, excita multitudo, et fatales in consensiones compulsa, totam paene urbem incendio delevit. et Cappadox quidem evanuit, ignis vero, initio ex aulae aditibus capto, ab iis porro ad primum templum, ab hoc ad Iuliani curiam, quem senatum secundum Augusti congregationem vocant, indeque ad forum progressus est, quod Zeuxippum a Zeuxippo rege vocant, sub quo octogesima octava olympiade Megarensium colonia Byzantium missa in eius honorem forum ita appellavit, quemadmodum Charidemi porticibus, qui Cyzicum condiderunt Megarenses, nomen posuere: etenim imperasse Graecis traditur, uti Castor in epitome Chronicorum commemoravit. balneum publicum autem Severium a Severo Romanorum imperatore nominatum est, qui articulari morbo laborans balneum illud exstruxit, propter ortam inter eum et Ni-

ροράν. τῶν δὲ τηλικούτων σωμάτων εἰς πῦρ μεταβαλόντων, ἡρπάγησαν αἱ μέχρι τῆς Κωνσταντίνου ἀγορᾶς τὴν πόλιν διευθύνουσαι στοαί, κάλλει καὶ μεγέθει κιόνων εὐγράμμως διασκηνοῦσαι τὴν πλατεῖαν. Καμπάνοι ταύτας εἰς χάριν Κωνσταντίνου λέγονται κατασκευάσαι, ἀπὸ Παρθενόπης τῆς καθ' ἡμᾶς Νεαπόλεως καὶ τῆς ποτὲ Δικαιαρχίας νῦν δὲ Πουτεόλων εἰς Βυζάντιον πρὸς χάριν, ὡς εἴρηται, τοῦ βασιλέως παραγενόμενοι. συναπετεφρώθη οὖν (πῶς γὰρ οὐκ ἔμελλον;) τὰ συντημένα τοῖς μέσοις πρὸς τὸ βόρειον καὶ νότιον ἄνεμον οἰκοδομήματα, καὶ ὄρος ἦν ἡ πόλις καὶ βουνοὶ μέλανες ἀπερρωγότες, καθάπερ ἐν Λιπάρῃ ἢ Βεσβίῳ, κόνει καὶ καπνῷ καὶ δυσωδίᾳ τῶν ἀποτεφρουμένων ὑλῶν ἀοίκητος, φόβον ἐλεινὸν τοῖς θεωμένοις ἐνσείουσα. καὶ ὁ μὲν δῆμος, μᾶλλον δὲ τὸ βάρβαρον καὶ ἀνηλιὲς πλῆθος, ποιναῖς ταῖς ἀξίαις πρὸς αὐτῆς ὑπεστάλη τῆς νίκης, εἰς πέντε σύνεγγυς μυριάδας σιδήρῳ χύδην διαφθαρέν· ἡ δὲ πόλις ἔρριπτο πυρὶ καὶ χώμασι καὶ λειψάνων ἀμορφίᾳ κατάπληκτος. ἀλλὰ θεὸς (μόνου γὰρ ἦν αὐτοῦ τὴν τοσαύτην παραμυθήσασθαι

71. ἐνίκησε δὲ ὅμως μετὰ θεὸν ἡ βασιλέως τύχη, κατὰ πάντα συνεπών. καὶ ἐν βραχεῖ χρόνῳ κρείττων δὲ ἡ πόλις καὶ ... ἰσχυρά τε ὁμοῦ καὶ ἀσφαλής, καθάπερ ἐξ ἀμόρφου ὅλου αὖθις

1 μεταβαλλόντων C. 2 αἱ F, μὴ C. διευθήνουσαι C. 7 παραγεναμένων C. 9 οἰκοδομητά vulgo. 18 ante ἐνίκησε aut paucae tantum lineae, quas legere non potui, aut, quod verisimilius est, praeter has duae saltem paginae desiderantur. F. καθάπερ ἔφθην εἰπών? 19 post καὶ aliquot literae exstinctae. F.

grum discordiam in Thracia commorans. tantis autem molibus in ignem mutatis, correptae usque ad forum Constantini per urbem pertinentes porticus (Campani eas in gratiam Constantini exstruxisse dicuntur), pulchritudine et magnitudine columnarum, Parthenope (quae nunc Neapolis) et Dicaearchia (qui nunc Puteoli) Byzantium in gratiam, ut dixi, imperatoris advectarum, in tabernacula scite descripta plateam partientes. simul igitur in cineres redacta (qui enim non fuissent?) mediis ad Septentrionem et Meridiem cohaerentia aedificia; monsque erat urbs et nigri praeruptique colles, veluti in Lipare aut Vesuvio, pulvere fumo et foetore combustae materiae inhabitabilis, miserandum intuentibus terrorem incutiens. et populum quidem seu potius barbarum et immisericors vulgus meritis poenis ipsa victoria subiecit, ad quinquaginta fere milia acervatim ferro necatum: urbs vero iacebat, igne et ruderibus et reliquiarum deformitate horrenda. sed deus (etenim ille solus poterat) tantam solatus

71. vicit tamen post deum imperatoris, quae in omnibus ei affuit, fortuna; brevique et praestantior urbs et ... firmaque simul et secura

τοῦ δημιουργοῦ, καθάπερ τότε, πᾶν εἰς φῶς μόνῃ τῇ δυνάμει τῆς βουλῆς ἀνακαλοῦντος.

72. Πέρας οὖν τοῦτο τῆς πρώτης λῃσταρχίας τοῦ πονηροῦ Καππαδόκου. ἀντίρροπον δὲ θεὸς τῇ κακίᾳ εὐμένειαν ταῖς συμφοραῖς ἐπιδέδωκε. Φωκᾶς γέγονεν ἀνὴρ εὐπατρίδης, Σαλβίου μὲν τοῦ δικαιοτάτου ἔγγονος, Κρατέρου δὲ τοῦ πάντων εὐσεβεστάτου παῖς, ὃς τὰ πρῶτα τοῖς λεγομένοις σιλεντιαρίοις τῆς αὐλῆς διαπρέψας, τοὺς πώποτε ἐπὶ τῇ μεγαλύτητι ψυχῆς μετὰ δόσεων ἀμετρίας ὑπερβαλλόμενος, ἐπὶ τοὺς πατέρας τῆς βασιλείας κατ' ἀξίαν ἀνελήλυθε, πλούτῳ κομῶν καὶ τοῖς δεομένοις ἐπαρκῶν, αὐτὸς ἑαυτῷ μόνῳ φειδωλίαν διέσωζεν· δίαιτα γὰρ ἦν αὐτῷ καὶ τροφῆς ἀσιτία τοσαύτη ὅση τοῖς ἄγαν μεμετρημένοις τὸν βίον ἐν εὐτελίσιν ἠριθμεῖτο. καὶ τῆς μὲν περιουσίας τύχης αὐτοῦ ἀξίως τὰ τῆς ἑστίας δι... τοῖς φίλοις, αὐτὸς δὲ μόναις ταῖς τῶν δαιτυμόνων εὐθυμίαις ἐτρέφετο, σεμνὸς μὲν καὶ φιλόκαλος ὤν, ἀλλ' οὐ καλλωπιστής, ἐξ αὐτοῦ καὶ μόνου ...

73. ... καὶ δόλους ῥάπτειν, αἰτεῖν μὲν ἠρυθρία τῶν ἀναγκαίων δεύμενος, ἔστενε δὲ καὶ ᾤμωζε, καὶ δάκρυσι πεφορτωμένος τὰς ὄψεις δῆλος ἦν καὶ τοῖς ἄγαν ἀγνοοῦσιν αὐτὸν ὡς εἴη λυπούμενος. τοῦτον ὁ Φωκᾶς ἐκ τύχης ἰδών, καὶ ὡς ἀνὴρ ἀγα-

1 το... C. 2 versu post ἀνακαλοῦντος sequente C ΛΟΓΟΣ, nullo addito numero. in indice neque haec, neque libri tertii inscriptio reperitur. 7 ἐν τοῖς F. 8 μεγαληι C. 10 ἀνήλυθε vulgo. πλούτῳ δὲ κ.? 11 lego διασώζων. F. 12 τροφῆς? μεμετριμένοις C. 14 forte legendum διένεμε. F. δαιμόνων vulgo. 15 ἐτρέφετο F, ἐστρέφετο C. σιμνὴ C. 16 post μόνου sequitur pagina, quam legere frustra conatus sum. nihil praeterea desideratur ante καὶ δολουράπτειν. F. ita enim vulgo legebatur. 18 οἴμοζεν C.

exstitit, quasi ex informi mole rerum opifice iterum, quemadmodum olim, cuncta in lucem sola voluntatis potestate revocante.

72. Finis igitur hic primae latrocinalis improbi Cappadocis praefecturae. parem autem deus improbitati benevolentiam calamitatibus concessit. Phocas fuit vir nobili genere, Salvii iustissimi nepos et Crateri longe piissimi filius, qui cum primo inter quos silentiarios aulae vocant eminuisset, magnitudine animi et donorum immensa copia, quotquot unquam fuere, vincens, ad patres imperii pro merito pervenit, opibus splendidus, egentesque iuvans, sibi uni parsimoniam servans: is enim victus illi, ea luxuriae abstinentia erat, quam vel parcissime viventes vilem putarent. et abundanti quidem fortuna dignam amicis mensam adornabat; ipse autem solis convivarum oblectationibus alebatur, splendidus et pulchri, at non fuci amans, ex se solo ...

73. ... et dolos suere: rogare quidem erubescebat, necessariis egens, ingemiscebat autem, et oculis fletu gravatis vel prorsus ignorantibus ipsum manifeste tristitiam prodebat. hunc casu cum vidisset

θὸς καὶ λαβεῖν ἱκανὸς ψυχῆς ὀδύνην ἐκ μόνης ὀλιγωρίας τοῦ προσώπου γνωριζομένην, εἰπεῖν τι πρὸς αὐτὸν ἀν...λετο· ἐμὲ δὲ μεταστειλάμενος (καὶ γὰρ ἀγαπᾶν παρὰ τοὺς ἄλλους ἠξίου, ἀπατώμενος μᾶλλον ὡσεὶ περὶ λογυδρίων τινῶν δῆθεν οὐκ ἄφροντις) καὶ χάριν ἐθέλων παρ' ἐμοῦ λαβεῖν ἠξίου περινοῆσαί τινα πρὸς διδασκαλίαν αὐτῷ τῆς Ἰταλίδος φωνῆς, Λίβυν ἐπιζητῶν· αὐτοὺς γὰρ ἔφασκεν ἐγνωκέναι στωμυλωτέρως παρὰ τοὺς Ἰταλοὺς διαλέγεσθαι. ἑνὸς δὲ τῶν παρόντων Σπεκιώσου μνήμην ἀνάγοντος, ἐξαναστὰς ἐμέ τε καὶ τὸν εἰπόντα ἀντεβόλει, πρὸς ἔντευξιν ἐκείνου παρακαλῶν. ἐγὼ δὲ ἑρμαῖον ἡγησάμενος ὡς τάχος τὸν Σπεκίωσον ἄγω πρὸς αὐτόν· καὶ γὰρ ἠπιστάμην τὸν ἄνθρωπον. ὁ δὲ λαβὼν αὐτὸν κατ' ἰδίαν γονυπετῶν διετέλει, καὶ σωφρόνως ἐκλιπαρῶν ἤτει τῆς οὔσης αὐτῷ μεταδοῦναι φωνῆς. ἐμὲ δὲ χωρίσας βραχὺ τοῦ λόγου ἑκατὸν χρυσίνους λαβεῖν ἠξίωσε δοθησομένους ἐκείνῳ· ὃ δὴ πράξας ἐγώ, καὶ τῶν λεγομένων συστατικῶν ἕνεκα τῷ Σπεκιώσῳ δού;, ἔπεισα συχνότερον πρὸς τὸν πάντα ἀγαθὸν ἐκεῖνον ἄνθρωπον φοιτᾶν. (πῶς γὰρ οὐκ ἔμελλεν;) ὄρθριος παρῆν, πρὸ τῆς αὐλείου τοῦ δῆθεν ἠξιωκότος αὐτὸν παραφυλάττων· ὁ δὲ μεταστειλάμενος καὶ θεραπεύσας ἀντεβόλησε μὴ πρότερον προεδρεύειν αὐτῷ, πρὶν αὐτὸς διαστειλάμενος ἀξίως γενέσθαι παρ' αὐτόν. καὶ τὸ λοιπὸν ὁ Σπεκίωσος συμβάλλων τῇ τέχνῃ περιύδρῳ τοῦ σχέμματος ...θει τῆς προσιδρίας· οὐδὲ γὰρ ἔμελλε τῷ

2 lego *ἀνεβάλλετο*. F. 4 *ὡς εἶην*? λογοιδρύων C.
5 *ἐθέλων*] coniectura. in C literae exstinctae. F. 6 *αὐτὸς* C.
12 *καθιδιαν* C. 17 lego *ὁ δὲ (πῶς* etc. F. 20 *ἀξιώσῃ*?

Phocas, atque ut vir bonus et qui dolorem animi e solo vultus neglectu colligeret, alloqui tum quidem distulit; me autem arcessitum (etenim prae aliis diligere dignabatur) decipiens, quasi scilicet, ... quibusdam occupatus gratiam a me accipere vellet, rogavit ut aliquem sibi reperirem linguae latinae magistrum, Libyn quaerens: hos enim aiebat se animadvertisse lepidius prae Italis loqui. cum vero e praesentibus aliquis de Specioso mentionem fecisset, surrexit, meque et illum orans ut eum adiremus hortatus est. quod ego in lucro ponens, Speciosum quam celerrime ad eum adduco: noveram enim hominem. ille, postquam eum seduxit, genibus usque flexis, modesta prece petivit ut suam ipsi linguam velit communicare. me autem, a sermone paulisper avocatum, centum aureos petere iussit, quos illi darem; quod cum ego fecissem et commendaticiarum, ut aiunt, causa Specioso dedissem, suasi ei ut saepius ad optimum illum virum iret. ille autem (qui enim aliter fecisset?) mane aderat, ante vestibulum eius a quo fuerat videlicet rogatus praestolans. qui cum arcessitum coluisset, petivit ut non prius sibi adsideret, quam ipse digne instructus ad eum venisset. ac Speciosus deinde, antequam assedisset, solertes consilii ambages coniecit: neque enim iis

Φωκᾶ, μάλα πρὸς ἑκατέραν παρεσκευασμένῳ παιδείαν, μαθητείαν εὑρεῖν ἐκείνοις ἃ παρὰ τοὺς πολλοὺς ἀξιολόγως ἠπίστατο.

Καί τις στοχάσεται ἐκ τῶν περὶ ἀνθρώπους τἀνδρὸς κατορθωμάτων, πόσης ἦν περὶ τὸ θεῖον εὐσεβείας. μιᾶς οὖν πράξεως αὐτοῦ ἐπιμνησθεὶς πέρας ἐπιθήσω ταῖς ὑπὲρ ἀριθμὸν αὐτοῦ τῶν ἀγαθῶν ἀφηγήσεσιν. (74) πρὸς Πεσσινοῦντι πόλει τῆς Γαλατίας (οὕτω δὲ τὸ χωρίον ὀνομασθῆναι συμβέβηκεν ἐκ τοῦ πεσεῖν ἀπείρους ἐκεῖ, Γαλατῶν τῶν περὶ Ῥοδανὸν ἐπιπεσόντων τῇ χώρᾳ Βρέννου ἡγησαμένου, καὶ τὴν ὁμώνυμον αὐτοῖς χώραν ἐκδικεῖν βιαζομένων, ὡς Φενεστέλλας καὶ Σισέννας οἱ Ῥωμαῖοί φασιν, ὧν τὰς χρήσεις ὁ Βάρρων ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων ἀνήγαγεν· ἐγὼ δὲ τὰς βίβλους οὔπω τεθέαμαι) ἐκεῖ τοίνυν τέμενος ἦν τῇ ἀχράντῳ στρατιᾷ τῶν ἱερῶν ἀγγέλων τοῦ ἀῤῥήτου θεοῦ καθωσιωμένον, περὶ οὗ μετὰ πάντας ἀνθρώπους γνοὺς ὁ Φωκᾶς ὡς Ἕλλανός τις τῷ θείῳ χρυσίου λίτρας εἴκοσιν ὑφὲν ἐπιδούς, τοῖς ἱερουμένοις πρόσοδον ὀγδοήκοντα χρυσῶν προσγενέσθαι τῷ ἱερῷ εἰς φιλοξενίαν ἐσπούδασεν.

75. Τοιαύταις μὲν οὖν τέχναις ἐπὶ τῆς πόλεως ἐχρῆτο, χρυσίον δὲ κατ' ἔτος ἕκαστον ἐπὶ λύτροις αἰχμαλώτων λαθραίως ἐκχέων διετέλει, δακρύων εἴ πού τις περὶ πολεμίων ἐφόδων καὶ ἀπαγωγῆς αἰχμαλώτων πρὸς αὐτὸν διεξίοι τῷ λόγῳ. καὶ μάρτυρα τὴν ἀλήθειαν οὐκ αἰδοῦμαι καλεῖν ἀληθεύων· οἶδα κυτονίστων ...

2 τύρ C. 4 πόσος C. 13 τῷ ἀῤῥήτῳ θεῷ C. 22 legendum, ni fallor, κοιτωνιτῶν αὐτῷ (cum eius essem cubicularius). F.

quae prae vulgo probabiliter sciebat, Phocae utrisque literis admodum ornato disciplinam repperisset.

Ac coniiciet aliquis ex egregiis viri erga homines factis, quanta in deum pietate fuerit. ego ex innumeris eius virtutibus unam etiam rem commemorabo. (74) ad Pessinuntem urbem Galatiae (ita autem appellari locum contigit, quod innumera ibi Gallorum, circa Rhodanum habitantium, multitudo cecidit, qui Brenno duce regionem invaserant, cognominem ipsis terram ulcisci conantes, ut aiunt Fenestella et Sisena Romani, quorum loca Varro in libro de Rebus Humanis protulit; ego autem libros necdum vidi) ibi igitur templum erat immaculato sanctorum angelorum exercitui indicti dei consecratum; de quo Phocas, sicut omnes, sciens, Ellanum quendam deo viginti auri libras donasse, octoginta aureorum reditum, hospitibus in templo excipiendis destinandum, sacerdotibus adiungi curavit.

75. Eiusmodi quidem artibus in civitate utebatur. aurum vero quotannis captivis redimendis occulte effundebat, lacrimans, cum forte aliquis de hostium incursione captivisque abductis ei narraret. et veritatem testem invocare non vereor, vera dicens: scio ... me tantum

χρυσίου τοσούτου τυχών, ἀπόντος αὐτοῦ, πρὸς τὸ πλῆθος τῶν λυτρουμένων (ταύτης γὰρ ... ἀνθούσης ἐσθῆτα διεπώλησεν ... καὶ προσθεὶς ὅσον ἦν αὐτῷ δυνατὸν προ...αν τῶν λύτρων ἐξέπεμψε τοῦτον ἀμύνην ἀντίροπον καὶ θεοπρεπῶς ἀνέλαβε τὸν υἱὸν κατὰ πάντα τρόπον ἐκπαιδεύσας τούτοις ἐνασχολεῖσθαι. ὁ δὲ τὸν παριόντα καὶ μαρτυροῦντα τοῖς γινομένοις κατ' εὐχὰς ἀπενίκησεν, ὡς ἐκείνων χάριτας εἰδέναι τῷ θείῳ, ὅτι τῷ σώματι τελευτῶν ταῖς εὐσεβείαις ἀθάνατος διὰ τῶν παρὰ τοῦ παιδὸς πραττομένων διαμένοι.

76. Τοσοῦτον ὄντα τὸν ἄνδρα χαίρων ὁ βασιλεὺς πείθει καμάτῳ πολλῷ κοινὴν εἰς ἅπαντας ἐπιδείξασθαι τὴν οὖσαν αὐτῷ τῆς ψυχῆς ἐλευθερίαν, καὶ τὴν ὑπὲρ τῶν κοινῶν ἀναδέξασθαι φροντίδα, καὶ διοῦναι τὸν οἴακα βυθιζομένης ἤδη τοῖς κακοῖς τῆς ὅλης πολιτείας. ὁ δὲ ἄκων (οὐδὲ γὰρ ἀσφαλὲς βασιλέως αἴτησιν παρακρούσασθαι τοιούτου) τὴν μὲν λειτουργίαν ὑπῆλθε, δεδιὼς δὲ ὅμως καὶ τῷ μεγέθει τῶν φο... ἐλιγγιῶν εἶδε τὸν θεὸν παρόντα βοηθεῖν αὐτῷ προθυμούμενον. ἅμα γὰρ τὴν ἀρχὴν παραλαβὼν καὶ τῆς αὐλῆς προφανεὶς ἐπὶ τῆς ἀπήνης ἀνεφέρετο, σύμπας ὁ δῆμος ἡλικία τε πᾶσα καὶ φύσις, ὁμοῦ τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατείναντες, ὕμνους εὐχαριστηρίους μετὰ δακρύων ἀνέφερον τῷ θεῷ τοσαύτης ἀξιώσαντι προνοίας τοὺς μυρίοις κακοῖς κατεστρωμένους. πείθειν δὲ θεὸς ἀνθρώπους ἀξιώσας, δείκνυσι παρεῖναι τοῖς πραττομένοις καὶ βουλαῖς αὐτοῦ προϊέναι τὰ

2 post γὰρ aliquot literae exstinctae. F. post διεπώλησεν duae saltem paginae desiderantur. F. 3 καὶ — 5 ἐνασχολεῖσθαι in versione omisi. F. 13 οἶκα C. 16 ...ιὼς C. lego φόβων. F. 22 πείθει C.

auri ipso absente pro redimendorum captivorum multitudine accepisse (hac enim vigente ... vestem quoque vendidisset) ... ille autem supervenientem et facta testantem obsecrabat ut propterea gratias deo ageret, quod corpore piis operibus moriturus, immortalis per filii facta maneret.

76. Tanto viro laetus imperator multo labore persuadet communem omnibus suam animi bonitatem ostendere, et rerum publicarum cura suscepta, totius malis iam depereuntis imperii clavum regere. ille autem invitus (etenim periculosum erat talem imperatorem petentem reiicere) munus subiit: timens tamen, et magnitudine terrorum quasi vertigine correptus, vidit deum praesentem se adiuvare paratum. nam simul atque suscepto magistratu extra aulam curru vehens apparuit, universus populus omnisque aetas ac sexus, una extensis in coelum manibus, hymnos in gratiarum actionem cum lacrimis deo cantavere, tanta providentia innumeris malis prostratos dignato. persuadere autem hominibus dignatus deus, ostendit sese adesse rebus suisque consiliis optima

χρηστά. ὡς γὰρ ἔστη τῆς ἀπήνης ἔμπροσθεν ὁ ὕπαρχος, βέλος ἀναθεὶς τόξῳ πονηρός τις (ἔτι γὰρ ὁ δῆμος ἀτυχήσεσιν ἐχρῆτο) στοχάζεται μὲν αὐτοῦ, τοῦ δὲ βέλους ἁμπλακόντος αὐτὸς μὲν ἀβλαβὴς ὡς θεόπαις τῆς προνοίας φανερὸς ἀπεδείχθη. τούτου δὲ συμβάντος ὁ μὲν δῆμος τῶν ὅπλων καὶ θορύβων παρεχώρει, τόν τε κράτιστον ἀνυμνῶν βασιλέα ἐν εὐθυμίαις ἡδυπαθῶν καὶ σκιρτήμασι διετίλει, ἀθρόως ἐκ μεγίστων θορύβων καὶ φόβων εἰς αὐλοὺς καὶ χορίας μεταβαλών, πᾶσα δὲ ἀφθονία τῶν ἐπιτηδείων κατελήλυθε τὴν πόλιν, ἀδεῶς καὶ μετ' εὐφροσύνης πάντων τῶν ὁπουδήποτε κρυπτομένων καὶ διαφευγόντων τοὺς κινδύνους εἰσρεόντων τῇ πόλει καὶ παντοίαν συμφορούντων εὐετηρίαν· ᾔδει γὰρ ἅπας ...τις οὖν ἀβλαβῆ καὶ λυσιτελῆ τὸ λοιπὸν ἔσεσθαι τοῖς ὑπηκόοις τὴν τοῦ βίου μέθοδον, τῶν γε ἀγαθῶν ἐν αὐτῇ πλημμυρούντων. ἔχων ὁ βασιλεὺς μετὰ τὸν αὐτὸν ὕπαρχον ἐνάρχεται προθύμως ἀνιστᾶν τὸ τοῦ μεγάλου θεοῦ τέμενος· καὶ ποταμὸς ἔρρει χρημάτων ταῖς βασιλέως εὐχαῖς καὶ τῇ δικαιοσύνῃ τοῦ ὑπάρχου χιόμενος. τέσσαρας οὖν χιλιάδας αὐτίκα χρυσίου λιτρῶν ὁ ὕπαρχος τοῖς ἔργοις ἐπέχει τοῦ ἱεροῦ, μηδενὸς ἀδικουμένου, μηδὲ τῆς τυχούσης εὐετηρίας εἰς ἀσεβῆ ποίησιν ἐπινοηθείσης· ἔχαιρε γὰρ ἠξιωμένος, εἰς θεοῦ τιμὴν καὶ σπουδὴν εὐσεβείας παρατεινόμενος. καὶ θαυμάζειν οὐκ ἔνεστιν, εἰ θεοῦ παρόντος πάντα παρεῖναι συμβαίνει τοῖς αὐτῷ μᾶλλον ἢ περιουσίαις ἀνθρώπων τὴν

2 ἀναφεὶς vulgo. ἀτυχήσεσιν C. 3 ἐμπλακέντος vulgo.
4 ὡς θεόπαις] coniectura ex reliquiis literarum. F. ἀπεδέχθη C.
11 ᾔδη C. 12 post ἅπας aliquot literae exstinctae. F.
14 lego ἐξ ὧν. F. 18 ἐπιχειν C, ἐπέσχε F. 22 αὐτὸν C.

procedere. dum enim in primori curru praefectus stabat, arcum improbus aliquis (etenim calamitatibus adhuc populo opus erat) in eum dirigit: at erravit telum, ipseque incolumis veluti divinae providentiae filius manifeste apparuit. quo facto populus ab armis turbisque destitit, optimumque celebrans imperatorem oblectationibus saltibusque indulsit, maximis e turbis ac terroribus ad tibias subito et saltationes transgressus. summa vero necessariarum rerum abundantia in urbem rediit, cum securi laetique omnes, quocunque latentes loco pericula effugissent, in urbem influerent atque omnis generis copiam conferrent: noverat enim quisque incolumem in posterum et salutarem civibus fore vitae condicionem, bonis nimirum in ea redundantibus. post quae imperator cum eodem praefecto magni dei templum alacriter exstruere coepit; fluebatque flumen pecuniae, votis imperatoris et praefecti iustitia effusum. quattuor igitur auri librarum milia statim praefectus operibus fani impendit, nemine iniuriam patiente, neque in malum usum praesenti abundantia quaesita: etenim bona fama gaudebat, honori dei et pietatis studio intentus. neque est mirandum, si, cum deus adest, omnia adesse contingit ad eum potius quam ad hominum consilia bonorum abundan-

ἀφθονίαν τῶν ἀγαθῶν ἀναφέρουσιν. ἡ δὲ τάξις, καθάπερ τις σβεννυμένης ἤδη φλογὸς ἔλαιον ἀφθόνως ἐπιχέει, ἀνέλαμψε· καὶ θόρυβος ἦν τοῖς πραττομένοις χαρίεις, καὶ κέρδη σώφρονα καὶ φίλα τῷ νόμῳ τοῖς ὑπηρετοῦσιν ἠκολούθει, καὶ τὸ τέμενος τῆς δίκης ἀνεῴγει, καὶ ῥήτορις τοῖς λόγοις ἐνέπρεπον, καὶ βιβλίων προαγωγαί, καὶ φιλονεικία ἐφ' ὅλον τὸ χρῶμα ἐπανῄει τοῦ πολιτεύματος, ὁ

6 φιλονικία ἐφ..λον C. ἐπανίη C. 7 hic desinit servatae codicis partis ultima pagina. F.

tiam referentibus. officium autem, veluti cum quis emoriente iam flamma oleum abunde infundit, refulsit; eratque turba laborantibus iucunda, et lucra casta legique accepta ministrantes sequebantur, et iustitiae templum patebat, et oratorum eloquentia splendebat, et libri prodibant, et aemulatio per totam rei publicae faciem redibat

ΠΕΡΙ ΔΙΟΣΗΜΕΙΩΝ.

LIBRI DE OSTENTIS ARGUMENTA.

Exordium, initio mutilum, de divinationis apud Romanos origine ac progressu, cap. 1—8. (1). *de effectibus defectibusque solis, c.* 9 *et* 10. (2). *excerpta e Campestrio, de stellis crinitis, c.* 11—16. (3). *de habitu lunae, per duodecim signa, c.* 17—20. (4). *de tonitribus, c.* 21—26. (5). *diarium tonitruale secundum PNigidium Figulum, ex scriptis Tagetis expressum, c.* 27—38. (6). *tonitruale ex scriptis Fonteii, c.* 39—41. (7). *generalis observatio de fulminibus, ex Labeone translata, c.* 42. (8). *de fulgurali disciplina veterum commentarius, confectus ab ipso Lydo, secundum auctores Latinos, c.* 43—52. (9). *de terraemotibus exordium, c.* 53 *et* 54. (10). *de terraemotibus, per duodecim signa, ex Vicellio secundum Tagae carmina, c.* 55—58. (11). *ortus atque occasus siderum, e scriptis Claudii Tusci, c.* 59—70. (12). *conclusio, c.* 71. (13).

τουτὶ πράττειν ἐπαγγειλάμενοι. τῆς μὲν οὖν τῶν πολλῶν δόξης κἀγὼ πρῴην ἐτύγχανον ὤν, καὶ γράμματα μόνα τὰ περὶ τούτων γεγραμμένα τοῖς ἀρχαίοις ἐνόμιζον. ἐπειδὴ δὲ ἡ πεῖρα τὴν περὶ αὐτῶν ἀλήθειαν ἔδειξε καὶ ἡ γενομένη τοῦ κομήτου πρῴην ἐπιτολὴ (ἱππεὺς δὲ ἄρα ἦν τὸ γενόμενον σχῆμα) καὶ ἡ διὰ ταύτην συμβᾶσα τῶν κακοδαιμόνων Περσῶν ἔφοδος, μέχρι μὲν τῶν Ὀρόντου γενομένη μερῶν, συντομωτάτην δὲ τὴν ὑποστροφὴν ὡς οἷόν τε λαβοῦσα (ἐδήλου

5 num *λεγόμενον*? Hasius (H).

id facere professi. ita dudum eadem opinione qua vulgus ego quoque fui, et scripturas, nec quicquam amplius, quae hac super re a priscis scripta sunt esse arbitrabar. sed postquam earum rerum veritatem cum observatio constans comprobavit, tum nuper factus stellae crinitae ortus (ea figura quam hippea vocant), et ob hunc ortum consecuta impurorum Persarum irruptio, quae ad Orontis usque partes evagata receptum tamen quam celerrimum habuit (nam fortissimi principis victoriam stella

γὰρ δὴ καὶ τὴν τοῦ κραταιοτάτου βασιλέως νίκην), ὑπ' αὐτῶν λοιπὸν τῶν πραγμάτων καὶ τῆς ἐξ αὐτῶν μαρτυρίας γράφειν περὶ τῶν τοιούτων προήχθην, ἅμα μὲν πρὸς τῆς ἐμῆς ἔσεσθαι μνήμης τὸ πρᾶγμα νομίζων, ἅμα δὲ ἄτοπον καὶ φθόνου γέμον ἡγούμενος εἶναι τὸ πόνους τοσούτους τοῖς ἀρχαίοις καταβεβλημένους εἰς τοὺς περὶ τούτων λόγους ἄχρι παντὸς μεῖναι λανθάνοντας.

2. Ἁρμόδιον δὲ εἶναι νομίζω τῷ περὶ τῶν τοιούτων γράφειν ἐθέλοντι, πόθεν τε ἡ τῶν τοιούτων κατάληψις ἤρξατο, λέγειν, καὶ ὅθεν ἔσχε τὰς ἀφορμάς, καὶ ὅπως ἐπὶ τοσοῦτον προῆλθεν ὡς καὶ αὐτούς, εἰ θέμις εἰπεῖν, Αἰγυπτίους ὑπερβαλεῖν. τούτων γὰρ δή, μετὰ Ζωροάστρην τὸν πολύν, Πετόσιρις τοῖς εἰδικοῖς τὰ ἐν γένει διαπλίξας πολλὰ μὲν κατ' αὐτὸν παραδοῦναι βιάζεται, οὐ πᾶσι δὲ παραδίδωσι ταῦτα, μόνοις δὲ τοῖς καθ' αὑτόν, μᾶλλον δὲ ὅσοι καὶ αὐτῶν πρὸς στοχασμοὺς ἐπιτηδειότεροι. Ἀντίγονος δὲ μετ' ἐκεῖνον διέκρινε μὲν καὶ διήρθρωσε τὴν παράδοσιν, πρὸς δὲ τὸ πυκνὸν τῶν ἐν τῇ ἀστρονομίᾳ γραμμῶν ἀποκλίνας ἀμύθητον ὄχλον καὶ ἀσαφείας πάσης ἀνάμεστον τῇ γραφῇ συγκατέθετο. τὰ γὰρ Ἀριστοτέλει εἰρημένα γνωριμώτατα. Ἡλιόδωρος δὲ καὶ Ἀσκλατίων, ἔτι καὶ Δαψὸς ὁ Θηβαῖος..... καὶ Πολλῆς καὶ ὁ θειότατος πρὸ αὐτῶν Πτολεμαῖος, οὐ μέχρι παντὸς ἴσχυσαν τὴν παλαιὰν ἀσάφειαν τοῦ πράγματος ἐκβαλεῖν, καίτοι γε σφόδρα καὶ τοῦτο ποιῆσαι σπεύσαντες.

13 ἰδικοῖς C.

item declarabat), iccirco ipsis eventibus eorumque testimonio ad scriptionem de rebus huiusmodi sum adductus, et memoriam id meam commendaturum existimans, et incommodo invidiaque rem non carere censens, si tot labores a veteribus in disciplinas illas impensi in omne tempus absconditi manerent.

2. Appositum autem esse arbitror, si quis de rebus eiusmodi scribere velit, primum a quo earum cognitio coeperit dicere, undeque sit subsidia nacta, quoque pacto eatenus processerit ut vel ipsos, si hoc fas est dictu, Aegyptios superemus. ex his enim, post Zoroastrem ingentem, Petosiris locos singulares permiscens generatim dictis, multa iuxta illum conatur docere: sed tamen non quemvis unum ea docet, sed solos suos, horumque illos potius qui sint ad contemplationem habiliores. post hunc Antigonus divisit quidem et distinxit disciplinam, sed ad crebra astronomica lineamenta conversus inexplicabilem molestiam omnique obscuritate refertam in scriptionem introduxit suam. quae Aristoteles prodidit, admodum cognita sunt. Heliodorus autem et Asclepiades, Dapsus Thebanus ..... et Polles Aegiensis, quique hos aetate antecessit divinus Ptolemaeus, antiquam a scientia prorsus dispellere caliginem non potuerunt, quamvis id quoque efficere oppido conati. nobis

ἐπειδὴ δὲ ἡμῖν, τοὺς ἐξ Ἰταλίας φημί, Τάγης ἀρχηγὸς τοῦ πράγματος γέγονεν, ἀκόλουθον τοῖς αὐτοῦ ῥήμασι χρήσασθαι, μᾶλλον δὲ τῇ τούτων ἐννοίᾳ· τοῖς γὰρ ἀρχαιοτέροις ὀνόμασιν ἐκεῖνα συγκείμενα δυσπαρακολούθητά πώς ἐστι καὶ οὐ σφόδρα σαφῆ ..... λοιποῖς, Τάρχοντί τε τῷ θυοσκόπῳ καὶ Ταρκύτῳ τῷ τελεστῇ καὶ Καπίτωνι ἱερεῖ, ὥστε ἐκ τῶν πᾶσι τούτοις εἰρημένων γλαφυράν τινα διαπλέξαι τοῦ πράγματος ἁρμονίαν. δεῖ τοίνυν ἀφηγήσασθαι πρῶτον τίς τε οὗτος ὁ Τάγης καὶ τίνες οἱ λοιποί, καὶ ὅπως γράμμασιν ἐνεπιστεύθη παρὰ τὸ κρατοῦν ἐν τοῖς ἱεροῖς τὰ τοιαῦτα.

3. Τάρχων, ταύτῃ ἔχων τὴν προσηγορίαν, ἀνὴρ γέγονε μὲν θυοσκόπος, ὡς αὐτὸς ἐπὶ τῆς γραφῆς εἰσενήνεκται, εἷς τῶν ὑπὸ Τυρρηνοῦ τοῦ Λυδοῦ διδαχθέντων. καὶ γὰρ δὴ τοῖς Θούσκων γράμμασι ταῦτα δηλοῦται, οὔπω τηνικαῦτα τοῖς τόποις ἐκείνοις Εὐάνδρου τοῦ Ἀρκάδος ἐπιφανέντος. ἦν δὲ ἀλλοῖός τις ὁ τῶν γραμμάτων τύπος, καὶ οὐδὲ ὅλως καθημαξευμένος ἡμῖν· ἦ γὰρ ἂν τῶν ἀπορρήτων τε καὶ ἀναγκαιοτέρων οὐδὲν ἔμεινεν ἄχρι τοῦ παρόντος λανθάνον. φησὶ τοίνυν ὁ Τάρχων ἐπὶ τοῦ συγγράμματος, ὅπερ εἶναί τινες Τάγητος ὑποπτεύουσιν, ἐπειδήπερ ἐκεῖ κατά τινα διαλογικὴν ὁμιλίαν ἐρωτᾷ μὲν δῆθεν ὁ Τάρχων, ἀποκρίνεται δὲ ὁ Τάγης ὡς προσκαρτερῶν ἑκάστοτε τοῖς ἱεροῖς, ὡς τυχὸν συμβέβηκεν αὐτῷ κατά τινα χρόνον ἀροτριῶντι θαυμάσιόν τι, οἷον οὐδὲ ἀκήκοέ τις ἐν τῷ παντὶ χρόνῳ γενόμενον·

1 τοῖς malim. 17 κατημαξευμένος C.

vero, hoc est Italis hominibus, quandoquidem Tages auctor disciplinae fuit, consentaneum est dictis eius vel potius sententia menteque illorum uti. etenim verbis priscis concepta ea difficilia intellectu neque ita dilucida sunt. neque minus utemur reliquis, Tarchonte aruspice, LTarquitio rege sacrorum, Capitone pontifice, ut ex omnium horum dictis concinnam efficiamus argumenti compositionem. oportet igitur enarrare primum quis fuerit is Tages, qui reliqui, quoque modo, iuxta morem in sacris servatum, id genus disciplinae literis sit mandatum.

3. Tarchon (id ei nomen) aruspex fuit, ut ipse in scripto affert, unus de illis qui a Tyrrheno Lydo edocti sunt. Etruscorum literis aperiuntur haec, neque dum in locis illis Evander Arcas apparuerat. erat autem tunc alia literarum figura, nec prorsus pervagata apud nos: aliter enim ex secretis necessariisque nihil ad hanc diem mansisset occultum. ait igitur Tarchon in scripto, quod Tagae esse sunt qui suspicentur, quod ibi, in personas distributo sermone, interrogat videlicet Tarchon, respondet Tages utpote assidue operam dans sacris: sed ait forte accidisse sibi cum araret quodam die rem mirabilem, et qualem nemo audierit unquam omni memoria evenisse. exstitisse enim e sulco

ἀναδοθῆναι γὰρ τοῦ αὔλακος παιδίον, ἄρτι μὲν τεχθῆναι δοκοῦν, ὀδόντων δὲ καὶ τῶν ἄλλων τῶν ἐν ἡλικίᾳ γνωρισμάτων ἀπροσδεές. ἦν δὲ ἄρα τὸ παιδίον ὁ Τάγης, ὃν δὴ καὶ χθόνιον Ἑρμῆν εἶναι τοῖς Ἕλλησιν ἔδοξεν, ὥς που καὶ Πρόκλος φησὶν ὁ διάδοχος. τοῦτο δὲ ἀλληγορικῶς παρὰ τὸν ἱερατικὸν παρακεκάλυπται νόμον, ἐπεὶ οὐ προφανῶς ὁ περὶ θειοτέρων πραγμάτων λόγος διὰ τοὺς ἀνιέρους, ἀλλὰ νῦν μὲν μυθικῶς νῦν δὲ παραβολικῶς παραδέδοται· ἀντὶ γὰρ τοῦ εἰπεῖν ψυχὴν τελειοτάτην καὶ τῶν οἰκείων ἐνεργειῶν ἀπροσδεῆ ἐπὶ τὴν ὕλην ἐλθεῖν, βρέφος ἀρτιγενὲς ἐκ τοῦ αὔλακος ἀναδοθῆναί φησι. Τάρχων δὲ ὁ πρεσβύτερος (γέγονε γὰρ δὴ καὶ νεώτερος, ἐπὶ τῶν Αἰνείου στρατευσάμενος χρόνων) τὸ παιδίον ἀναλαβὼν καὶ τοῖς ἱεροῖς ἐναποθέμενος τόποις ἠξίου τι παρ' αὐτοῦ τῶν ἀπορρήτων μαθεῖν. τοῦ δὲ αἰτουμένου τυχὼν βιβλίον ἐκ τῶν εἰρημένων συνέγραψεν, ἐν ᾧ πυνθάνεται μὲν ὁ Τάρχων τῇ τῶν Ἰταλῶν ταύτῃ τῇ συνήθει φωνῇ, ἀποκρίνεται δὲ ὁ Τάγης γράμμασιν ἀρχαίοις τε καὶ οὐ σφόδρα γνωρίμοις ἡμῖν γε ἐμμένων τῶν ἀποκρίσεων. πλὴν ἀλλ' ὅσον μοι γέγονε δυνατόν, ἔκ τε τῶν πεύσεων ἔκ τε τῶν ἄλλων ὅσοι τούτους ἡρμήνευσαν, Καπίτωνός τέ φημι καὶ Φωντηΐου καὶ Ἀπουληΐου Βικελλίου τε καὶ Λαβεῶνος καὶ Φιγούλου Πλινίου τε τοῦ φυσικοῦ, πειράσομαι ταῦτα πρὸς ὑμᾶς διελθεῖν.

1 τετεχθῆναι C. 22 βεκελλίου C. sed vide infra ad c. 54. H.

puerum, specie quidem eorum qui recentes a partu sunt, dentibus tamen instructum ceterisque aetatis adultae signis. hic igitur puer erat Tages, quem eundem Mercurium inferum esse Graeci opinantur, sicut Proclus alicubi ait Diadochus. idque allegoriis lege sacrorum velatum fuit: neque enim dilucide rerum divinarum disciplina propter profanos, sed modo fabulis modo parabolis involuta traditur. ita pro hoc, animum perfectissimum propriisque facultatibus minime egentem ad materiam accessisse, illud ait, infantem recens natum exstitisse sic e sulco. Tarchon maior (nam alter quoque inferioris aetatis fuit, Aeneae temporibus in bello versatus) cum puerum sublatum locis sacris deposuisset, petit ut ipsum quid arcanorum edoceat. quae rogaverat impetrat. e pronuntiatis librum conscribit, in quo interrogat Tarchon Italo nostro vulgari sermone, respondet Tages, literas vetustas neque ita nobis cognitas retinens in responsis. sed tamen, quantum in me fuit, cum ex interrogationibus, tum ex auctoribus aliis qui hos interpretati sunt, hoc est ex Ateio Capitone, Fonteio, LApuleio, Vicellio, Antistio Labeone, PNigidio Figulo, CPlinio naturalis historiae scriptore, conabor ea vobis enarrare.

4. Σπουδὴ δὲ ἡμῖν ἐστὶν εἰπεῖν περί τε ἡλιακῶν καὶ σεληνιακῶν ἐπισκιασμάτων (οὕτω γὰρ τὰς ἐκλειπτικὰς τῶν φώτων ὀλισθήσεις ἐκεῖνοι καλοῦσι), κομητῶν τε καὶ τῆς κατ' αὐτοὺς διαφορᾶς, αὐλακισμῶν τε καὶ διαττόντων, ἀστραπῶν τε καὶ βροντῶν καὶ κεραυνῶν καὶ τῶν ἄλλων ἀερίων τερατισμῶν, καὶ τὸ δὴ πέρας περὶ σεισμῶν καὶ ἐμπρησμῶν καὶ τῆς ἐκ τούτων μαντείας, οὐχ ὥστε τὰς φυσικὰς αἰτίας ἢ τὰ περὶ τούτων εἰπεῖν θεωρήματα (φιλοσόφοις γὰρ δὴ τὰ περὶ τούτων ἀνείσθω), ἀλλ' εἴ πως οἷόν τέ ἐστιν ἐκ τούτων δὴ τῶν διοσημειῶν τὴν τῶν ἐσομένων ἴσως προμανθάνειν ἀπόβασιν. ἔστι γὰρ ἐκ τῆς πολυμαθεστάτης ἱστορίας λαβεῖν ὡς ἥλιοί τε πλείους κατὰ ταὐτὸν καὶ σελῆναι πεφήνασι, γινομένου μὲν ἐξ ἀνακλάσεως τούτου. τοιγαροῦν οὐχ ὑπὲρ τὸν ἥλιον ἢ τὴν σελήνην, ἀλλ' ἐκ πλαγίου τὴν λεγομένην ἀντιδίσκωσιν θεωρεῖσθαι συμβαίνει, καὶ ἀνισχόντων αὐτῶν ἢ δυομένων. βασιλέων δὲ τοῦτο δυνατῶν κατ' ἀλλήλων ἐπαναστάσεις σημαίνει, ὡς ἐκ τῆς Καμβύσου κατ' Αἰγυπτίων ἐφόδου λαβεῖν ἐστὶ δυνατόν, καὶ ἐπὶ τῇ Νέρωνος καταστροφῇ, καθ' ἣν ἐπὶ μὲν τῆς Ἰουδαίας διάγων Οὐεσπασιανὸς πρὸς τὴν Ῥωμαίων ἀρχὴν ἀνεφέρετο, κατὰ δὲ τὴν ἑσπέραν Βιτέλλιος, Γάλβας δὲ καὶ Ὄθων ἑτέρωθεν ἀντανίσταντο. Ἀπουλήϊος δὲ περὶ τῶν τοιούτων γράφων καὶ ὑπὸ Κλαυδίῳ Καίσαρι τρεῖς ἡλίους ὀφθῆναί φησιν, ὁμοίως δὲ καὶ σελήνας τοσαύτας ἐπὶ Γναίου καὶ Δομιτίου

4 *διατατόντων* C. 9 *ὅπως* C. 15 *καὶ*] num legendum *ἢ*? H. 22 *ἀνθανίσταντο* C. 23 *φασὶν* C.

4. Propositum nobis est dicere de solis lunaeque obumbrationibus (sic ecliptica luminum decrementa illi vocant), de cometis deque discrimine inter ipsos, de sulcis et traiectionibus stellarum, de fulgetris, tonitribus, fulminibus, de reliquis per aërem prodigiis, postremo de terraemotibus, incendiis, et de divinatione quae inde fiat. neque id, ut naturales ostentorum causas commentationesque super illis exponamus; philosophis id liceat: sed si quid eius fieri possit, ut ex his de caelo signis rerum futurarum forte praenoscamus eventum. possumus ex historia, eruditionis omnis fonte, deprehendere soles plures eodem tempore lunasque fulsisse. id repercussu accidit. quamobrem nec supra solem lunamve, sed ex obliquo, geminationem orbis quam aiunt cernimus fieri, oriente sidere utroque aut obeunte. principum potentium infestos motus hoc significat, ut ex Cambysis in Aegyptios impetu animadverti potest; item in Neronis Caesaris exitu, cum et Vespasianus Iudaeam tenens ad imperium est evectus, et contra per Occidentem Vitellius Galba Otho, exstiterunt. de simili argumento scribens LApuleius et Claudii Caesaris principatu soles tres visos esse auctor est, ac lunas totidem CnDomitio CFannio coss.; quibus haud obscure declarabatur

τῶν ὑπάτων· ᾧ ἄντικρυς ἐδηλοῦτο Γάλλους τε καὶ Σαυρομάτας τὰ Ῥωμαίων δηώσειν· τὸ δὲ ..... θῆναι. πολλάκις δὲ καὶ διάπυρος ἀστὴρ, ἀσπίδος ἀπομιμούμενος τύπον, ἐκ τῆς ἑῴας ἐπὶ τὴν δύσιν σπινθῆρας ἐκπέμπων διατρέχει, τῶν Παρθυαίων ἔφοδον μαντευόμενος. καὶ τὰ μὲν ἐκ τῶν πρωτοτύπων κέντρων, ἀνατολὴν λέγω καὶ δύσιν, οὕτως ἔστι λαβεῖν· ἀπὸ δέ γε ἄρκτου καὶ μεσημβρίας, οὐκέτι ἐφόδους βαρβαρικὰς ταῦτα ἡμῖν προδηλοῖ, ἀλλὰ βιαιοτέρας ἀνέμων ἐκρήξεις. καὶ εἰ μὲν ἐξ ἄρκτου διάττων ἐκτρέχει αὔλακάς τε πυρὸς ἐπὶ τὸν ἀέρα ποιεῖ, βροντώδεις λέγεται διοσημίας, συστροφὴν ἀέρος καὶ βορρᾶν βιαιότερον ἀναστήσασθαι, ἐκ δὲ τοῦ ἐναντίου φερόμενος νότον ἐπάγει. τῶν γὰρ πνευμάτων ἐκ τῶν ἐσχάτων τοῦ κόσμου μερῶν διανισταμένων καὶ τὸν ἀέρα πρῶτον πληττόντων, μηδενὸς σώματος ἀντιτυποῦντος, εἰκός ἐστι τοὺς ἐκ τῶν ἀστέρων τούτων ἀφορίζεσθαι σπινθῆρας.

5. Ὁμοίως ἔστιν ἑτέρους ἀστέρας εὑρεῖν ποτὲ μὲν ἐν γῇ ποτὲ δὲ ἐν θαλάττῃ τὰς ἰδίας ἐνεργείας δεικνύντας. ἐπί τε γὰρ στρατιωτικῶν ἀκοντίων πολλάκις ὤφθησαν ἐφιζάνοντες ἐπί τε τῶν ἱστίων τῶν νεῶν, καὶ ἐν ἄλλοις δὲ μέρεσι, λιγυρόν τι σύριγμα προσηχοῦντες καὶ ὀρνέων δίκην εἰς τόπον ἐκ τόπου τῆς νεὼς μεθιστάμενοι, ὡς ἂν καταδύσωσι ταύτην. ὅθεν καὶ τοῖς ξηροτέροις τῆς νεὼς ἐμπίπτουσι μέρεσιν, ἐξ ὧν συντομωτέραν εἰκὸς γενέσθαι τὴν ἐκπύρωσιν. τὸ δὲ τοιοῦτον σχῆμα ἤτοι κατάστημα οἱ τὴν θάλατ-

2 incipit hic codicis fol. 2 versum, cuius prima linea ex dimidia parte prorsus est desperata. H.

Gallos Sarmatasque rei publicae vastitatem illaturos. id autem ..... eri. saepenumero quoque ardens stella, clipei effigiem referens, ab oriente ad occasum igniculos iaciens transcurrit: ea Parthorum motum portendit. atque emicantia e primitivis punctis, hoc est ex oriente et occasu, sic oportet intelligi: quae ruunt a septentrione et meridie, non iam barbariei motus significant, sed procellarum vehementiorum coortus. quodsi stella micans e septentrione prosilit sulcosque igneos efficit per aërem, tonitrualia dicitur signa, concretionem aëris et aquilonem truciorem, ut ita dicam, ciere: sin contra rapitur, austrum apportat. etenim cum in extremis mundi partibus cooriantur flatus ibique primum aërem feriant, corpore nullo renitente, e sideribus quae ibi sint scintillas seiungi credendum est.

5. Inveniuntur et aliae stellae, modo in terra modo in mari certas quasdam efficientias ostendentes. pilis militum saepenumero insidere visae sunt et velis aliisque partibus navium, vocali quodam sibilo edito, tanquam volucres sedem ex sede in navi mutantes, ut eam mergant. quocirca et in sicciores navigii partes decidunt, unde facilior exustio. hanc speciem sive statum navigantes in mari Helenam vocant. sed ibi

ταν πλέοντες Ἑλένην καλοῦσιν. ἀλλὰ κἀνταῦθα τὰ ἐξ αὐτῆς ἡ πρόνοια δείκνυσι· δύο γὰρ ἀστέρες εὐθὺς κατασκήπτουσι τῆς τοιαύτης φορᾶς, οὓς Κάστορα καὶ Πολυδεύκην καλοῦσιν, οἳ παραχρῆμα πρὸς φυγὴν τὴν λεγομένην ἐλαύνουσι. τὰ δὲ τῶν ἱστοριῶν μὴ καὶ περιττὸν ἐν ὑμῖν ᾖ λέγειν, ὡς ἐπὶ κεφαλῆς πολλάκις ἀνθρώπων διοσημεῖαι γεγόνασιν, ἐπί τε τῆς Ἀσκανίου καὶ Σερβίου Τύλλου τοῦ ῥηγὸς καὶ Κωνσταντίνου τοῦ τὴν μεγάλην ταύτην συστησαμένου πόλιν. οἷς ἅπασι τὸ μὲν τῆς βασιλείας ἐντεῦθεν κατεμηνύετο κράτος, οὐ μὴν εἰρηνικὸν οὐδὲ ἥσυχον, ἀλλὰ μυρίων γέμον κακῶν αὐτοῖς τε ἐκείνοις καὶ τοῖς ὑπ' αὐτοὺς ἐσομένοις, μᾶλλον δὲ καὶ πλέον ἐκείνοις, ὅσῳ καὶ ἐλάττοσι τύχαις παρὰ τοὺς βασιλεύοντας τὸ ὑπήκοον χρῆται. Ἀσκάνιος μὲν γὰρ ἐν Ἄλβῃ τὴν μητρυιὰν ..... καὶ τὴν προσηγορίαν τῆς πόλεως ..... ὁ δέ γε Τύλλος οὕτω πολέμων τὴν πόλιν ἐπλήρωσεν ὥστε μὴ δυνηθῆναι τῆς ὑπὸ Νουμᾶ καταστάθεισης εἰρήνης Ῥωμαίους ἀπολαῦσαι. περὶ δὲ Κωνσταντίνου μακρηγορεῖν οὐκ ἀναγκαῖον, ἐν βιβλίοις τὴν μνήμην τῶν περὶ αὐτὸν συμβεβηκότων ἐχόντων ἡμῶν.

6. πολλάκις δὲ καὶ σπινθὴρ βραχὺς ἐκ μετεώρων καταφέρεσθαι δόξας ἐπὶ τῆς γῆς, εἶτα ἐξ ἐπιδόσεως εἰς κύκλον τινὰ σελήνης ὅμοιον ὤφθη διασκωθείς. τοῦτο, ὅπερ ἔναγχος γέγονεν, οὐ μετρίων προδοσιῶν τε καὶ τυχῶν παρεδήλωσε

4 fortasse τὴν λεγομένην Ἑλένην. H. 5 ἐν ἡμῖν C, ἂν ἡμῖν H. cf. πρὸς ὑμᾶς p. 276 23. 19 an ὑμῶν?

quoque suum numen monstrat providentia: nam illico in hunc motum stellae duae deferuntur (Castorem et Pollucem nominant), quae e vestigio illam quae appellatur Helena in fugam agunt. ex historia autem vereor ne supervacaneum sit apud nos dicere in capitibus hominum saepenumero praesagia facta, velut in Ascanii, in Servii Tullii regis, in Constantini, qui amplam hanc civitatem constituit. quibus omnibus imperii opes inde portendebantur, nec tamen pacati aut tranquilli, sed referti calamitatibus infinitis, affligentibus cum ipsos, tum futuros sub ipsis: eo magis tamen et gravius hos, quo duriore quam imperantes fortuna subiectum vulgus solet conflictari. Ascanius enim Albae novercam ..... et nomen quoque rei publicae immutavit. tum Tullus adeo urbem bellis miscuit, ut nequirent Romani stabilitae a Numa pacis fructum ullum capere. de Constantino denique verbosius dicere quid attinet, cum fortunarum ipsius memoriam librorum monumentis testatam habeamus?

6. Saepe quoque scintilla exigua, e stellis in terram cadere visa, ibique aucta in orbem lunae magnitudine, conglobata illuxit. id, quod nuper obvenit, haud communium proditionum casuumque periculum prae-

κίνδυνον. καὶ ὄμβρων δέ τινας τερατίους διοσημείας ἐπὶ τῆς ἱστορίας εὑρίσκομεν. ἐπὶ μὲν γὰρ Ἀκιλίου Μάρκου καὶ Πορκίου τῶν ὑπάτων γάλα πρῶτον, εἶτα δὲ καὶ αἷμα κατενεχθῆναί φασιν. καὶ κρέα δὲ παραδόξως ἀνθ' ὑετοῦ κατὰ τὴν Βολουμνίου κατέπεσεν ὑπατείαν, καὶ ἔφανεν οὕτως· οὐ γὰρ ἂν θηρίον ἢ πτηνὸν ἤ τι τῶν ἁρπάζειν λιμῷξαν καθάψαιτο ἐκείνου τοῦ σώματος. κατερρύη δὲ καὶ σίδηρος ἐπὶ Λευκανίας ἀνθ' ὑετοῦ, Κράσσου τὴν ἐπὶ Πέρσας ἐλαύνοντος .....αν. Μαρκέλλου δὲ τὴν ὕπατον ἀρχὴν διανύοντος ἔριον κατενεχθῆναί φασι περὶ Κάψαν τὸ φρούριον ἐπὶ Μίλωνος· ὃ τοῦ τὴν χώραν ἐπιτροπεύοντος ἀναίρεσιν ἐμαντεύετο. κατηνέχθησαν δὲ πλίνθοι πολλάκις ὀπταὶ καὶ κόνις, ὥσπερ ἐπὶ Ζήνωνος τοῦ καθ' ἡμᾶς. ὅπλων τε καὶ σαλπίγγων ἀπ' οὐρανοῦ γενέσθαι διαφόρως ἔδοξεν ἦχος, ὅπερ λέγεται συμβῆναι κατὰ τὴν Κίμβρων ἐπιδρομήν, καὶ ἡνίκα τοῖς ἐμφυλίοις ἐκείνοις πάθεσι τὸ Ῥωμαϊκὸν διεταράττετο. ἔστι δὲ καὶ ὅτε κατ' αὐτὸν τὸν οὐρανὸν ἐκπύρωσις ἔδοξε γίνεσθαι, καθάπερ καθ' ἡμᾶς, Ἀναστασίου ἔξ πρόσθεν ἐνιαυτοῖς τῆς τελευτῆς, ἡνίκα τοιαύτη μὲν ἡλίου γέγονεν ἔκλειψις ὡς ἐν ἡμέρᾳ μέσῃ καὶ τοὺς ἀλαμπεστάτους τῶν ἀστέρων διαφανῆναι, τὰ δὲ ἀεροπόρα καθάπερ ἐν νυκτὶ μέσῃ κατακτεῖν. εἶτα τῆς ἑπιούσης νυκτὸς πῦρ ἀνεφλέχθη τοσοῦτον ὥστε σπινθήρων τὸν ἀέρα γενέσθαι μεστόν. ἐδηλοῦτο δὲ ἄρα ὁ μὲν δῆμος ἐπαναστησόμενος τῷ βασιλεύοντι, ἡ δὲ

9 hic aliquot verba lacerato folio intercidérunt. num ἐλαύνοντος στρατιάν, aut ὁρμῶντος ἐπιστρατείαν? H. 10 Plinius 2 56 Carissanum.

significat. pluviarum quoque portentosa prodigia invenimus in monumentis. MAcilio CPorcio coss. lacte primo, deinde et sanguine pluisse ferunt. carne prodigiose pluit PVolumnio Amentino cos. frustraque illa sic iacuerunt: neque enim aut gradiens aut volueris aut omnino ulla quamvis esuriens bestia ea tetigisset. ferrum manavit imbris loco in Lucanis, MCrasso expeditionem in Parthos parante. CMarcello fasces habente lana pluisse memorant circa Capsam castellum, TAnnii Milonis tempore; id quod caedem curatoris regionum illarum praenuntiabat. et lateres cocti delapsi sunt saepe et cinis, velut nostra memoria Zenonis principatu. armorum et tubarum sonitum e caelo fieri passim credidérunt; idque accidisse fertur sub motus Cimbricos, cumque domesticis tunc malis res publica perturbaretur. interdum ipsum ardere caelum visum est, sicut nostra memoria, annis sex ante obitum Anastasii Augusti; ubi solis defectus tantus accidit ut meridie stellae vel obscurissimae pellucerent, volucresque tanquam media nocte delaberentur. nocte autem insequenti ignis exarsit tantus ut scintillis repletus aër esset. qua re portendebatur, cum plebem seditionem facturam adversus principem,

πρὸς τῇ Μυσίᾳ στρατιὰ ἔργον τῆς Βιταλιανοῦ γενησομένη χειρός· αὐτὸς δὲ μέχρι τῶν τῆς πόλεως τειχῶν ἐλάσας παρὰ μικρὸν ἦλθε τῶν πραγμάτων κρατῆσαι. καὶ τὸ δὴ πέρας, οὕτως ἀτιμοτάτης βαρβάρων γενομένης ἐφόδου, μικροῦ προήκατο καὶ τὴν βασιλείαν ἑκὼν Ἀναστάσιος, καὶ φαῦλα δὲ συνέβη πάντα, ὅσα ἐν εἰδόσι λέγειν ἀδολεσχίας ἐστίν.

7. Καὶ θαυμαστὸν οὐδὲν εἰ προθεωροῦσιν ἄνθρωποι τὰ ἐσόμενα, τῆς φύσεως αὐτῆς προδεικνυούσης τὰ πράγματα. ὡς που καὶ Ἀναξαγόρας ἐπὶ τῆς ἑβδομηκοστῆς καὶ ὀγδόης ὀλυμπιάδος λίθον μέγιστον ἐκ τοῦ ἡλίου ἐκπεσεῖν ἐμαντεύσατο, ὅπερ καὶ συμβέβηκεν ὕστερον ἐπὶ Θρᾴκης· καὶ μέχρι νῦν ἔστιν ὁ λίθος, καὶ ἐξ αὐτῆς εὐθὺς τῆς θέας περιπεφλέχθαι δοκῶν. ταὐτὸ δὲ τοῦτο κατά τε Ἄβυδον καὶ Κύζικον συμβῆναί φησιν Ἀπουλήϊος· ὅθεν ἔτι καὶ νῦν λίθος ἐστὶ παρ' αὐτοῖς πυρώδης μὲν τὸ χρῶμα, σιδήρῳ δὲ ἅπας κατασεσημασμένος· παραδεδόσθαι γὰρ λόγος Κυζικηνοῖς ὡς συναπολέσθαι τῷ λίθῳ τὴν πόλιν ἀνάγκη. Ἵππαρχος δὲ ἑξακοσίοις ἔμπροσθεν ἐνιαυτοῖς ἡλιακὴν προκατέλαβεν ἔκλειψιν. ἐπὶ δὲ τῆς φυσικῆς ἱστορίας ὁ Ῥωμαῖος Πλίνιος λίθον ἑωρακέναι φησὶν ἐν Βοκοντίῳ τῆς Ἰταλίας ἐξ οὐρανοῦ κατενηνεγμένον· ὥστε πολλὴ κοινωνία ταῖς διοσημείαις πρὸς τὰ γήϊνα, κἂν τοῖς ἀπὸ τῆς στοᾶς μὴ δοκῇ. ὥσπερ ἡ μὲν ἐπιτολὴ τῶν ὑάδων ὄμβρον πολύν, ἡ δὲ τῶν ἐριφων καὶ τοῦ ἀρκτούρου χαλαζώδη τοῦτον ἀποτελεῖ. περὶ δὲ τῆς

23 ἡμῖν C. corr H.

tum exercitus Moesiacos manu Vitaliani caesum iri: ipse quoque Vitalianus, ad urbis moenia promotis signis, parum abfuit quin rerum potiretur. ad postremum, foedissima adeo barbarorum incursione existente, propius nihil est factum quam ut sponte imperio Anastasius cederet, omniaque tunc perversa acciderunt, quae nimium esset apud scientes persequi.

7. Nec mirum, si prospiciunt homines futura, cum ipsa natura eventa praemonstret. Anaxagoras Olympiade 78 saxum casurum esse e sole praedixit, idque factum est posterius in Thracia. et ostenditur etiam nunc lapis, statim ipso aspectu ambustum se prodens. illud ipsum ad Abydum Cyzicumque accidisse LApuleius memorat; unde adhuc lapis servatur apud illos, colore igneus, ferri ex omni parte vestigia retinens. et memorant opinionem ductam apud Cyzicenos, esse in fatis ut simul cum lapide illo civitas intercidat. defectus solis in sexcentos annos praeoccupavit Hipparchus. apud Vocontios in Italia vidisse se lapidem e caelo delatum CPlinius Secundus in Historia naturali refert; ut igitur signorum de supero rerumque terrestrium magna sit coniunctio, tametsi Stoicis minime id videatur. ita sucularum exortus imbrem largum, haedorum et arcturi grandinosum efficit. nam de caniculae ortu vereor ne

τοῦ κυνὸς ἐπιτολῆς μὴ καὶ περιττὸν εἴη λέγειν ὡς τῆς ἡλιακῆς ἀναπτομένης θερμότητος λυττῶσιν οἱ κύνες, καὶ τοῦτο τῆς ἀναιρέσεως αὐτῶν γέγονεν αἴτιον, ὡς ἂν μὴ δάκνοντες ἀναιρῶσιν. ἀναβλύζειν δὲ πέφυκε καὶ τὰ θαλάττια ὕδατα ἐν ὡρισμέναις τισὶ περιόδοις, ἄνθρωποί γε μὴν νεύροις ἢ κεφαλῇ ἢ καὶ αὐτῇ τῇ διανοίᾳ ἀσθενεῖν. αἴγειροι μὲν γὰρ καὶ πτελέαι περὶ τὰς ἡλίου τροπὰς μεταβάλλειν τὴν κόμην πεφύκασιν, (8) ὁ δὲ λεγόμενος γλήχων ὑπ' αὐτὴν τὴν τοῦ ἡλίου θάλλει τροπήν· ἡ δὲ ἡλιότροπος καλουμένη βοτάνη πρὸς τὴν ἡλιακὴν μεταστρέφεται φοράν, ἀνίσχοντι αὐτῷ καὶ δυομένῳ συμμετατιθεῖσα τὸ σχῆμα. περὶ γὰρ τῶν ἐναλίων τούτων, ὀστρέων λέγω καὶ χημῶν καὶ κτενῶν καὶ τῶν ἄλλων, οὐδεὶς ἀμφισβητεῖται ὅτι αὔξεται καὶ συμφθίνει ταῖς σεληνιακαῖς φάσεσιν ὡς καὶ τὰ τῶν μυῶν ἤπατα καὶ πλεῖστα ἕτερα, περὶ ὧν ἐν τοῖς περὶ Μηνῶν γραφεῖσιν ἡμῖν διελάβομεν. πρὸς τούτοις ἐμπρησμοὺς γίνεσθαι συμβαίνει, ὅταν ἡ σελήνη κατ' ἔλλειψιν ὑπὸ Ἄρεως θεωρηθῇ. ὡς γὰρ αὐτὰ καθ' ἑαυτὰ τὰ γήϊνα δηλωτικὰ τυγχάνει τῶν ἐσομένων, περιττὸν ἂν εἴη μακρηγορεῖν. ὅταν μὲν ἱδροῦν ἢ δακρύειν δοκῇ τὰ ἀγάλματα ἢ εἰκόνες, ἢ ὅταν κάμινος ἢ ἰπνὸς περιπεφραγμένος ἐκλάμψῃ, στάσεις ἐμφυλίους ἀπειλεῖ. ἢ ὅταν ποταμοὶ τὰς ἑαυτῶν ὑπερχέωσι κοίτας, ἴφοδον πολεμίων φράξουσιν. αἱ γὰρ ἱδρώσεις προβατείων σπλάγχνων τί σημαίνουσιν, οὐδεὶς ἀγνοεῖ. ἢ καὶ ὅταν

1 εἴη C: sed forte legendum ἤ. vide supra 279 5. H.
13 ἀμφισβητή ... C. 20 δοκεῖ C. 21 an περιπεφρυγμένος?
22 κοίλας vulgo.

supervacaneum sit dicere, accenso solis aestu in rabiem agi canes, idque occisionis eorum factam esse causam, ne ipsi morsu homines tollant. solent et marinae aquae fervere statis temporibus, et homines nervis, capite, ipsa mente, commoveri. populis ulmisque id inest natura ut folia solstitio circumagant. (8) floret quod appellant pulegium sub ipso solstitio: herba quae vocatur heliotropium, ad solarem circumvertitur motum, oriente illo et abeunte habitum simul mutans. nam de marinis his, ostreis chamis pectunculis, reliquis, nemo est qui ambigat, lunae varietatibus augeri ea ac rursus minui: quin et soricum iecuscula et plurima alia, de quibus in scripto nostro De mensibus egimus. praeter haec, incendia fieri contingit, quando luna laborans sub Marte conspicitur. nam terrestria per se vim habere praenuntiandi futura, vereor ne supervacuum sit pluribus edisserere. signa aut simulacra quando sudare vel flere videntur, aut fornax lucernave circumclusa siquando eluxerit, motus id civiles minatur. amnes extra alveos redundantes incursum hostium indicant. sudores viscerum ovinorum quid significent, nemo est qui nesciat. putei quando aquam turbidam emittunt, res pu-

ἐπίθολον ὕδωρ αἱ φρεατίαι ἀναβλύζωσι, καθ' ἑαυτῆς ἡ πολιτεία. ἢ καὶ ὅταν ἰκτῖνος ἐν θεάτρῳ συνηγμένῳ τῷ πλήθει ἀναίδην περιίπταται, ὁποῖον ἱπποδρομίας ἐπιτελουμένης εἴδομεν ἐπὶ τῆς ἄρτι διελθούσης ἐνάτης ἐπινεμήσεως, ἧς ἀγομένης ἰκτῖνος τὸ βέλος, τὴν λεγομένην σαγίτταν, τῷ ῥέμφει φέρων, ὅλον ἐπικυκλώσας τὸν δῆμον, ἐπὶ τοῦ ὀβελοῦ ταύτην διωλύγιον συρίττων ἀπέθετο. ὁ δὲ δῆμος οὐδὲν βραδύνας, καθ' ἑαυτοῦ δὲ κινηθείς, αὐτὸς μὲν ἀπώλλυτο, ἡ δὲ πόλις πυρὶ πᾶσα διεφθείρετο, ὡς καὶ αὐτὴν τὴν βασιλείαν, εἰ μὴ θεὸς ἀντέπραττεν, οὐ πόρρω κινδύνων ἐλθεῖν. τὰ γὰρ περὶ ἐπόπων καὶ νυκτικοράκων λύκων τε καὶ ἀλωπέκων, ὅταν ἐν πόλεσι φαίνωνται, τὰ εἰρημένα τοῖς ἀρχαίοις μεταπολλητα, καὶ τοὺς ἐξ ὧν αὐτοῖς διαλέγεται, περιττὸν ἄντικρυς ἀναφέρειν.

Τοσαῦτα μὲν οὖν πρὸς τοὺς ταῖς διοσημείαις ἐνισταμένους καὶ Πτολεμαίῳ τολμῶντας ἀντιλέγειν ἐκ πολλῶν ὀλίγα λελέχθω. καιρὸς δὲ ἄρξασθαι τῆς ἐπαγγελίας, ἐκ τῶν ἡλιακῶν ἀποτελεσμάτων λαμβάνοντας τὰ προοίμια.

9. Ἰστέον ἐν πρώτοις ὡς μόνος ὁ ἥλιος καθολικὰς ἔχει ἐνεργείας, τῶν ἄλλων διοσημειῶν τοπικὰς ἐχουσῶν. δέδοται γὰρ ἅπαξ ἡλίῳ μὲν καλύπτεσθαι τῇ παρεμπτώσει τῆς σελήνης, αὐτῇ δὲ τῇ ἀντιπτώσει τῆς γῆς, καὶ τὸν μὲν ἐν συνόδῳ πάντων, τὴν σελήνην δέ, ὅταν ᾖ πλησιφαής. καὶ

2 fort. add. κινηθήσεται. H. 7 διαλύγιον C. 13 num μετ' ἀπόρρητα, sive μήτ' ἀπόλυτα? sed neque haec placent. H. 22 malim ταύτῃ. H.

blica contra se ipsa concitabitur; vel quando milvus in circo considentem multitudinem impudenter circumvolat, quemadmodum ludorum equestrium celebratione vidimus, indictione nona ea quae modo peracta est. quibus commissis milvus telum, quod sagittam vocant, rostro ferens, cum omnem ambisset populum, sagittam argutum stridens in obelisco deposuit. neque ulla mora interposita populus in se concitatus et ipse interiit et urbs omnis incendio absumpta est, ut vel ipsum imperium, nisi numen obstitisset, non multum abfuisset a discrimine. nam de upupis cicumis lupis vulpibus, quando in civitatibus conspiciuntur, supervacaneum est ea quae veteres inter abscondita memoraverunt, quibusque auctoribus ea exponunt, palam proferre.

Haec iis qui auguriis adversantes contra Ptolemaeum argutari audent, e multis pauca dicta sunto. sed iam tempus est solvendi promissa, ita ut ab effectibus solaribus exordium capiamus.

9. Sciendum est in primis solem solum universales habere efficientias, cum cetera sidera locales habeant. etenim datum est omnino soli ut interventu lunae, huic ut obiectu terrae occultetur, sol in constellatione omnium, luna, quando est pleno lumine. atque hac de re nemo

τούτου χάριν οὐδεὶς ἂν ἀμφισβητήσειε. προγνωσθῆναι δὲ τοῦτο λέγεται παρὰ μὲν Ἕλλησιν ὑπὸ Θαλοῦ τοῦ Μιλησίου ἐπὶ τῆς ἑνάτης καὶ τεσσαρακοστῆς Ὀλυμπιάδος, ἔτει ἑβδομηκοστῷ καὶ ἑκατοστῷ τῆς κτίσεως Ῥώμης ὕστερον, παρὰ δὲ Ῥωμαίοις ὑπὸ Σουλπικίου Γάλλου, μιᾷ πρόσθεν ἡμέρᾳ τῆς Περσέως τοῦ Μακεδόνος ἥττης. ἐπὶ δὲ Οὐεσπασιανοῦ τοῦ Καίσαρος ἐν πέντε καὶ δέκα ἡμέραις ἀμφοτέροις τοῖς φωσὶ τοῦτο συνέβη παθεῖν. οὐ μὴν ἀεὶ τοῦτο τὸ πάθος τὰ αὐτὰ προμηνύει· οὐδὲ γὰρ μονοειδεῖς αἱ ἐκλείψεις, ἡλίου μὲν τὴν Ἀσίαν διέποντος, σελήνης δὲ τὴν Εὐρώπην, καὶ μάλιστα ὅταν πρὸς τοὺς λεγομένους κακοποιοὺς ἡ ἔκλειψις γένηται, κακουμένων μὲν τῶν βασιλικῶν ζωδίων καὶ τῆς τῶν ἀγαθῶν ἐπικουρίας ἀργούσης. ταύρῳ μὲν γὰρ ἢ παρθένῳ ἢ αἰγόκερῳ συμβαινούσης ἐκλείψεως ὁποτέρῳ τῶν φώτων κατὰ τοὺς προκειμένους λόγους, καρπῶν ἔνδεια καὶ διαφερόντως τῶν ὡρίμων συμβαίνει, καθὸ σταχυηφόρος μὲν ἡ παρθένος, ἀροτρεὺς δὲ ὁ ταῦρος, ὁ δὲ αἰγόκερως πρῶτος τῶν τοιούτων καρπῶν ἀπογεύεται· εἰ δὲ διδύμοις ἢ ζυγῷ ἢ ὑδροχόῳ γένηται τὸ τοιοῦτον, ἀνθρωποειδοῦς ὄντος τοῦ τριγώνου, οἱ λοιμοί τε καὶ λιμοὶ ἐνοκήψουσιν· ὅταν δὲ καρκίνῳ ἢ σκορπίῳ ἢ ἰχθύσι συμβαίνῃ, ὕχλων φθοραὶ καὶ πολέμων στάσεις καὶ ἐναλίων ὄλεθρος ἐπικείσεται. τηρητέον δὲ πρὸς τὰς καθόλου περιστάσεις τὰ κατὰ τὰς ἐκλείψεις χρώματα ἢ τῶν φώτων αὐτῶν ἢ τῶν περὶ αὐτὰ συστημάτων, οἷον

5 *Κάλβου* C. 7 Plinius 2 13 duodecim diebus. 21 *συμβαίνει* C. fort. *πόλεων*. H.

fere est qui ambigat. praecognitum defectum esse aiunt apud Graecos a Thalete Milesio, Olympiade 49, urbis conditae anno 170; apud Romanos a Sulpicio Gallo, pridie pugnae die qua Persens rex Macedoniae superatus est. sub Vespasiano quoque Caesare ut intra 15 dies utrumque sidus id pateretur accidit. nec tamen ea affectio idem semper praenuntiat, neque uniusmodi sunt defectus, cum sol Asiam regat, luna Europam; maxime, quando sub maleficis, ut vocant, fit defectus, ubi vexantur signa regia et auxilium tardat benevolorum. nam si in tauro virgine capricorno, utri siderum hac ratione accidit defectus, fructuum, et praecipue maturorum, penuria contingit; quippe spicifera virgo, taurus arator, capricornus autem primus fructus eiusmodi degustat. quodsi in geminis aut libra aut aquario id accidit, cum sit specie humana hoc triangulum, pestes et annonae durae ingruent. quando fit in cancro vel scorpione vel piscibus, populorum strages, civitatum motus et maritimorum interitus ingruent. observandi autem praeter generales rationes colores in defectibus vel ipsorum luminum, vel concretionum quae cir-

ῥάβδων ἤ τινων τοιούτων. μέλανα μὲν ἢ ὑπόχλωρα φανέντα σημαίνει .....

... σανεὶ τόξον καὶ μανιακῶς πυρῶδες. τοιαῦτά τινα οἱ περὶ τὸν Ῥωμαῖον Βάρρωνα Νιγίδιόν τε καὶ Ἀπουλήϊον προύθηκαν. ὁ μέντοι Καμπέστριος, ἐξειλεγμένην τινὰ περὶ τούτων συντάξας πραγματείαν, αὐταῖς λέξεσι καθ' ἑρμηνείαν περὶ κομητῶν, καὶ ὅ τι ἀπειλοῦσι, ταῦτα λέγει.

11. Ὁ καλούμενος ἵππευς ἔστι μὲν Ἀφροδίτης, ἐκ δὲ τῆς ὀξύτητος οὕτως ὠνόμασται· πλαγίους δὲ ἔλκει καὶ πυρώδεις πλοκάμους, αὔλακάς τινας φωτὸς ἀποτείνει, καὶ πάλιν

2 hic exciderunt ad minimum duo folia, et fortasse multo plura, ubi de defectibus solis de coloribusque eius orientis et obeuntis exposuisse auctorem verisimile est; item de areis, et circulis repentinis. deinceps ad disputationem de cometis (vide supra c. 4) eum convertisse se existimo, ita ut more suo allatis ex historia exemplis certis hominibus potestatibusve exitium eos portendere demonstraret, causamque aperiret quare variis nominibus distinguerentur, ex Plinio 2 25. postea, ratione habita verborum statim sequentium, coniectura fieri possit Lydum sumpsisse a Plinio summam eorum quae habet de caeli coloribus, flammis caeli, et coronis caelestibus. sunt autem ea haec fere, H. N. 2 26—30: emicant et trabes simili modo, quas docos vocant; fit et caeli ipsius hiatus, quod vocant chasma. fit et incendium, sicut Olympiadis centesimae septimae anno tertio, cum rex Philippus Graeciam quateret. cernuntur et stellae cum sole totis diebus, plerumque et circa solis orbem, ceu spiceae coronae; et versicolores circuli, qualiter Augusto Caesare in prima iuventa urbem intrante, post obitum patris, ad nomen ingens capessendum. circa solem apparuit etiam aliquid qua- [*sequentia exstant hic*] quae sic Graece convertat aliquis, imitans non Attici quidem sermonis suavitatem, sed cum usum peculiarem saec. 6, tum maxime proprietatem, interdum etiam stuporem Lydi: 10. φαίνονται δὲ καὶ δοκίδες, καὶ οὕτως αὐτὰς καλοῦσιν οἱ Ἕλληνες· γίγνεται δὲ καὶ τὸ λεγόμενον χάσμα ἐν οὐρανῷ. καὶ ἕτερον δέ τι ἐμπρησμοῦ παραπλήσιον πολλάκις φαίνεται, ὡς ἐπὶ τῆς ἑβδόμης καὶ ἑκατοστῆς Ὀλυμπιάδος (vide supra 284 4), ὅτε Φίλιππος ὁ Ἀμύντου τὴν Ἑλλάδα ἐσάλευε. φαίνονται δὲ καὶ σὺν ἡλίῳ ἀστέρες διὰ πάσης τῆς ἡμέρας, καὶ μάλιστα περὶ τὸν δίσκον αὐτόν, καθάπερ στέφανοι σταχύινοι· καὶ ποικιλόχροοί τινες κύκλοι, ὁποῖοι ἐφάνησαν ὅτε Αὔγουστος νέος κομιδῇ μετὰ τὴν τοῦ Καίσαρος τελευτὴν εἰς Ῥώμην, τὸν πατέρα ἀναιρούμενος, εἰσῆλθεν. οὐδὲν δὲ ἧττον φαίνεσθαι συνέβη τι περὶ τὸν ἥλιον ὡ- 9 malim ἕλκων. H.

cum fiunt, velut virgarum aut specierum eiusmodi. quae si nigra sive subpallida apparent, significant.....

... si arcus et prodigiose rubens. haec fere in scriptis MVarro civis Romanus, PNigidius, LApuleius proposuerunt. at Campestrius, qui amplum de eodem argumento conscripsit commentarium, de cometis deque iis quae minitantur totidem verbis translata haec ait.

11. Hippeus qui vocitatur Veneris est: a celeritate invenit nomen: obliquas trahens atque ardentes iubas, proiicit radios lucis, rursusque

εἰς βραχύν τινα κύκλον συνάγεται, ἀπείρῳ τινὶ συντομίᾳ καὶ ὀξύτητι ποτὲ μὲν περιῤῥαίνων ποτὲ δὲ συνάγων τοὺς λεγομένους αὐλακισμούς. οὗτος ὅταν πυρώδης ἀνίσχῃ καὶ ἀπὸ δύσεως πρὸς ἀνατολὰς ἀκοντίζῃ τοὺς αὐτοῦ πλοκάμους, τήν τε Περσῶν ἀπειλεῖ ἐπανάστασιν, ὥστε καὶ δυνάμεις πολλὰς στρατευμάτων ἐπὶ τὴν ἀνατολὴν συνδραμεῖν, τάς τε Συρίας πληρῶσαι τὸν ὁποιδήποτε γῆς ἀποσταλέντα στρατιώτην, καὶ ὡς οὐκ ἀρκούσης τῆς παρασκευῆς πρὸς ... κίνημα καὶ νεωτέραν γενέσθαι στρατολογίαν. ἡγήσεται δὲ λοιμός, καὶ διαφερόντως τοῖς ἵπποις ἐνσκήψει, οὐ τοῖς Περσῶν ἀλλὰ τοῖς ἐξ Εὐρώπης ἐπ' ἐκείνους φερομένοις. καὶ τοῦτο ἐλάττωσις ἔσται πρώτη τοῖς λοιμώττουσιν. ἀλλ' οὐ μέχρι παντὸς τὰ Περσῶν εὐτυχήσει· μεγάλης γὰρ συντριχούσης κατ' αὐτῶν παρασκευῆς φεύξονται, καὶ αἱ ληφθεῖσαι παρ' αὐτῶν πόλεις ἀφεθήσονται, ὁ δὲ βασιλεὺς αὐτῶν φεύγων ἀπολεῖται ταῖν ἰδίαιν χεροῖν. εἶτα καὶ διαρπαγήσεται ὁ πλοῦτος Περσῶν. τὰ δὲ λήϊα ἄχρηστα, τῶν γεωργῶν ἀναιρεθέντων ἢ καὶ λοιμῷ διαφθαρέντων γενήσεται. οὐ μὴν ἐμμενοῦσι τοῖς Περσῶν οὐδὲ ἐμβραδυνοῦσι τοῖς αὐτῶν οἱ ἐκ τῆς Εὐρώπης, ἀλλ' ἑκάτερον ἔθνος ὥσπερ τετελεσμένης τῆς μάχης ἐν τοῖς οἰκείοις ἐπανήξει. ταῦτα μὲν οὖν ἀπειλεῖ, ὅταν πυρώδης ἀνίσχῃ· εἰ δὲ ὠχρός, πολέμους μέν τινας, ἀλλ' οὐ Περσικούς, σημαίνει, σεισμοὶ δὲ πάντως καὶ πένθη τινὰ τοῖς ἀνθρώποις ἐνσκήψουσι. λοιμὸς δὲ τοῖς βοσκήμασιν ἐπιπεσεῖται καὶ λιμὸς κάρτα βίαιος.

3 ἀνίσχει ἀπὸ C. corr H. 5 τε] fort. τῶν. H. 8 fort. πρὸς τὸ πολεμίων κ. H.

in angustum glomerat orbem, velocitate atque impetu incredibili, modo circumspergens modo contrahens crines quos vocant. is quando ardens oritur et ab Occidente ad orientem iaculatur iubar, tumultum Parthicum nuntiat: exercituum magnam vim raptum iri in orientem, militem undique terrarum missum repleturum Syrias, et velut non sufficiente apparatu motui hostium novos exercitus scriptum iri. antegredietur autem lues, et equos praecipue invadet, non Parthicos, sed eos qui ex Europa in barbaros transmittentur. atque hoc primum incommodum erit lue laborantibus. nec tamen Parthi diuturna cum fortuna erunt. nam ingentibus copiis convenientibus adversus eos in fugam se conferent, oppida populi Romani a se capta dimittent. rex Parthorum fugiens peribit propria manu. gaza Parthorum diripietur. fruges tenues erunt, agricolis aut occisis aut tabe sublatis. neque instabunt Parthis ex Europa adversus illos profecti, neque in finibus eorum commorabuntur: sed uterque populus quasi debellato ad propria redibit. haec minitatur, quando ardens oritur: quodsi luridus, bella quidem, sed non Parthica significat; terraeque motus haud dubie et acerbitates homines invadent. lues et fames admodum gravis pecudibus accidet.

12. Εἰ δὲ ὁ τοιοῦτος κομήτης ἐπὶ μεσημβρίαν ὁρᾷ, ὠχρούς καὶ ὀξεῖς ἐπ' ἐκείνην βάλλων τοὺς πυρσούς, περὶ τὴν θερινὴν τροπὴν λοιμὸς βαρὺς ἐπιπεσεῖται τῇ Λιβύῃ καὶ πλῆθος ποικίλων κακῶν. ὅταν δὲ ἐπὶ τὴν ἄρκτον ἴδῃ, ἐκ τοῦ ἐναντίου ἡ Λιβύη κατὰ τῶν βορείων στρατεύσεται, μεγίστης αὐτῇ συμμαχούσης δυνάμεως. ἐλαττωθεῖσα δέ, εἶτα καὶ δύναμιν ξενικὴν συλλαβοῦσα, τὴν μὲν ἀρχὴν οὐκ ἀγεννῶς καθοπλίσεται τῶν ἐναντίων, οὐ μετὰ πολὺ δὲ εἰς παντελῆ κακοδαιμονίαν πεσεῖται, ὥστε μετὰ τὸ ἀναιρεθῆναι ἐγγὺς ἅπαντας καὶ αὐτὸν ἀνδραποδισθῆναι καὶ δεθῆναι τὸν ἡγεμόνα τοῦ ἔθνους. ἱστέον δὲ ὡς Λιβύην τὴν ἀπὸ τῆς ἐρυθρᾶς θαλάσσης ἄχρι Γαδείρων ἢ Ταρτησσοῦ ἢ τῆς λεγομένης τοῖς πλείστοις Γάδεως λαμβάνειν χρεών. οὐδὲ γὰρ περὶ Αἴγυπτον τὴν λέξιν ταύτην, ἀλλ' ἀπολύτως περὶ τὴν Λιβυκὴν ἐπαρχίαν οἱ παλαιοὶ ἀπελαμβάνοντο, καὶ διαφερόντως τὴν Μαυρουσίαν, καὶ ὅσαι προσεχεῖς εἰσὶ πρὸς τὰς δύσεις Εὐρώπῃ, μόνῳ τῷ λεγομένῳ Σιπτῷ κατὰ τοὺς ἐπιχωρίους οἱονεὶ πορθμῷ ἀπ' αὐτῆς διακεχωρισμέναι. πέρας δὲ λοιμοὶ ἐκνικήσαντες, ὡς ἀπαρτίσαι περὶ γένος ἕκαστον τὴν ἐν πολέμῳ ἀπώλειαν, αὐχμὸς δὲ ἐξ αὐτοῦ καὶ λιμὸς εἰσαῦθις διαφερόντως ἐνσκήψει, ὡς ἐλεεινὴν τὴν ζωὴν τοῖς περιλειφθεῖσιν εἶναι· νόσος γὰρ βαρεῖα ἐπιπεσεῖται τῇ νέᾳ ἡλικίᾳ, καὶ ὁ ἥλιος ἀποστραφήσεται, καὶ ἀνομβρία λοιμώδης ἔσται. εἰ δὲ ἐπὶ δύσιν ἀπίδοι,

12 γαδήρων ἢ ταρτησοῦ C. 13 γάνδεως C, secunda litera prope iam deleta. H. 15 τὴν] malim περὶ τὴν. H. 15 conf. Procop. de aedific. 2 117 C.

12. Quodsi eiusmodi cometes in meridiem spectat, pallidas et celeres eo proiiciens faces, circa solstitium aestivale fames gravis et variarum calamitatum multitudo Africae accidet. sin vero spectat in septentriones, Africa contra in aquilonios movebit bellum, magnis ad sui auxilium adiunctis opibus. victa nihilominus, inde ascitis copiis peregrinis, primo haud ignave repugnabit contra hostes. sed non multo post in consummatissimam miseriam incidet, ut post omnium paene internecionem vel princeps gentis ipse servitutem et vincula non sit evitaturus. sciendum autem Africam accipiendam esse de regione omni a Rubro mari usque Gadira sive Tartessum, seu, ut a plerisque vocatur, Gades. non enim de Aegypto veteres hanc vocem, sed quando absolute profertur, de Africa provincia et praecipue de Mauritania usurpabant, et quotquot aliae regiones ad occidentem finitimae sunt Europae, solo Septo, ut incolae nominant, quasi freto, ab ea distinctae. ad postremum pestes obtinentes adeo ut consummaturae sint belli calamitatem, siccitas deinceps et fames magna incidet, ut miserabilis vita superstitibus sit futura. nam morbus gravis invadet iuventutem, sol retro convertetur, pluviae inopia pestifera erit. quodsi in occidentem vergit, ad Gadita-

ἕως τῶν Ἡρακλέους στηλῶν πόλεμος καὶ ἀπώλεια ἔσται στρατευμάτων καὶ λιμὸς καὶ πτώσεις τῶν βοσκημάτων. εἰ δὲ ἐπὶ τὸν Βοώτην νεύοι, κρύος ἀπηνὲς ἄχρι Εὐξείνου, καὶ χειμῶνες ἀήθεις ἐπιχεθήσονται, καὶ πολέμιοι καταδραμοῦνται τὴν χώραν. καὶ τὴν μὲν ἀρχὴν ἐλαττωθήσονται οἱ ἐγχώριοι, δυνάμεως δ' ὕστερον συντρεχούσης οὐ μόνον ἡττηθήσονται οἱ πολέμιοι, ἀλλὰ καὶ αἰχμάλωτοι οἱ ἡγεμόνες αὐτῶν ἐν δεσμοῖς ἔσονται. εἶτα ἐκεῖθεν ἐπὶ μεσημβρίαν μετελεύσονται ὁ νικήσας στρατός, καὶ τῶν ἐκεῖ ἀνθέξεται πόλεων, καὶ ἐν ἐπαίνοις ἔσται· καὶ αὐτὰ δὲ τὰ θεῖα καταλείψουσι τοὺς πολεμίους ὥστε ἐκ περισσοῦ προστεθῆναι τοῖς νικηταῖς. τοσαῦτα τὰ σημαινόμενα, ὅταν ὠχρὸς φαίνηται ὁ ἱππεὺς μετρίως· ὅταν δὲ καθ' ὁμαλοῦ ὠχρότατος, ἐξωτικὸν μὲν οὐκ ἀπειλεῖ, ἐμφυλίους δὲ φράζει πολέμους, οὐκ ἐλάττους τῶν πρὸς τοὺς ἔξωθεν ἀπειλοῦντας τὰς συμφοράς, καὶ οὐ τοῦτο μόνον ἀλλὰ καὶ ἐλάττωσιν. ἐκεῖνο δὲ μάλιστα προσεκτέον, ὡς ἐπὶ χρόνον φαινόμενος, ὡς εἴρηται, ἐπὶ τὸν γαλαξίαν (οὐδὲ γὰρ πρὸς ἀνατολὰς ὑπὲρ τὰς ἑπτὰ φανήσεται ἡμέρας ὁ τοιοῦτος ἀστήρ), χρόνια τὰ κακά, πρὸς βραχὺν δὲ καιρόν, ἐπίκαιρα σημαίνει.

13. Κομήτης ξιφίας. οὗτος ὁ ἀστὴρ ἀναφέρεται μὲν Ἑρμῇ, οὐχ ἧττον δὲ τοῦ προτέρου, δολιωτέρας μέντοι ἐνεργείας ποιεῖται. ἂν μὲν γὰρ ἐπὶ τὴν ἀνατολὴν βλέπῃ, οἱ

3 νέοι C. 16 post ἐλάττωσιν vox videtur praetermissa esse ab ipso librario qui codicem exaravit. H.

num fretum usque bellum et internecio erit legionum, item fames et lues pecudum. sin declinat in Bootem, frigus immite usque ad Euxinum Pontum et tempestates insuetae incident, hostes incurrent provincias. ac primo quidem detrimentum accipient provinciales, post autem, copiis in unum convenientibus, non solum superabuntur barbari, sed duces etiam eorum captivi facti in vinculis erunt. posthaec inde remeans victor exercitus meridiem versus in civitatibus ibi sitis stativa ponet eritque in laude. ipsae quoque sanctitates relinquent hostes, ut in cumulum ad victores accessurae. haec significantur, quando mediocriter pallidus existit cometa Hippeus: quodsi totus aequabiliter pallidissimus, barbara quidem non minatur, sed civilia indicat bella, non minores quam externa allatura calamitates. neque id solum, sed detrimentum quoque... illud vero maxime notandum, cometam, ut dictum est, diutius in lacteo circulo conspectum (ad orientem enim nunquam ultra septem dierum spatium se aperiet eiusmodi sidus) diuturna mala significare; sin per breve tempus ardeat, temporaria.

13. Cometes xiphias. id sidus attribuitur Mercurio; nec minus quam superius, imo magis infestas efficientias habet. nam si spe-

δυνατοὶ Περσῶν καὶ Αἰθιόπων τοὺς ἑαυτῶν βασιλεῖς φαρμάκῳ διαφθείρουσι. τὸ αὐτὸ δὲ καὶ ἐπὶ Φοινίκης πρός τινων τοῦ πλήθους κατὰ τῶν ἐν τέλει ἁμαρτηθήσεται. φῆμαι δὲ ἔσονται οὐκ ἀληθεῖς, ἐκδιματοῦσαι τοὺς ἁπανταχοῦ. εἰ δὲ ἐπὶ μεσημβρίας ἀνίσχοι, Αἰγυπτίοις καὶ ἄλλοις Λιβυκοῖς ἔθνεσι δόλους ὡσαύτως θανατηφόρους ἐπιφέρει, καὶ Αἰγύπτιοι μὲν ἕξουσι μεταβολὴν τῶν κακῶν, Λίβυες δὲ ἐμφυλίοις πολέμοις δαπανηθήσονται. ὅτε δὲ ἐπὶ τὴν δύσιν ὁρᾷ, τοῖς ἐκεῖσε δυνατοῖς τὰ ὅμοια ἀπειλεῖ, ὡς ἐξ ὑπονοίας κατ' ἀλλήλων ἐξενεχθῆναι εἰς φανερὸν πόλεμον. ὅτι δὲ ἐπὶ τὴν ἄρκτον ὁρᾷ, ἐπιμιξίαν δηλοῖ τῶν ἀρκτῴων καὶ Λιβυκῶν ἐθνῶν, ὥστε θυγατέρα Λίβυος δυνάστου δοθῆναι πρὸς γάμον ἀρκτῴῳ τυράννῳ, καὶ ἐπιβουλεῦσαι τῷ πατρὶ τὴν παῖδα, καὶ προδοῦναι αὐτόν, ἔρωτι ἀσεβεῖ πρὸς τὸν ἄνδρα κρατουμένην.

14. Λαμπαδίας κομήτης, οὕτω προσαγορευόμενος ἐκ τοῦ σχήματος, ἔστι μὲν Ἑρμοῦ καὶ αὐτός, ὅταν δὲ ἐπὶ ἀνατολὰς ἴδῃ, ἀχλυώδη τὸν ἀέρα καὶ ἐξ αὐτοῦ βλάβην τῇ ἀμπέλῳ μαντεύεται· ἐκ γὰρ τῆς ἀχλύος τίκτονται σκώληκες οἱ λεγόμενοι ἶπες. καὶ ἡ βλάβη καθολική, μάλιστα μέντοι περὶ τὴν ἄνω Ἀρμενίαν, Εὐφρατησίαν τε καὶ Φοινίκην καὶ Ταυροκιλικίαν γενήσεται. καὶ οὐ μόνον ἐν ἡμέρᾳ, ἀλλὰ καὶ ἐν νυκτὶ οὕτως ἡ ἀχλὺς πυκνωθήσεται ὡς καὶ λαμπάδας ἀνημμένας ἐναποσβέννυσθαι. τοῖς δὲ καρποῖς ἐμφυήσεται ἡ λεγομένη

19 μέντοι] num μὲν τοῖς? H.

ctat in primam partem caeli, megistanes Parthorum et Aethiopum reges suos veneno tollent. idem facinus in Phoenicia a quibusdam e plebe in magistratus admittetur. rumores spargentur inanes, orbem terrarum perterrentes. quodsi meridiem versus emicat, Aegyptiis ceterisque Africae gentibus fraudes similiter mortiferas affert. sed Aegyptii commutationem habebunt malorum, Afri autem intestinis bellis consumentur. quando occidentem spectat, potentibus per eas oras similia minitatur, adeo ut propter suspiciones mutuas in apertum bellum eruptari sint. quando septentriones aspectat, commixturam nationum septentrionalium et Africanarum significat; inde filiam principis Afri regnatori aquilonari in matrimonium datum iri; eandemque succumbentem scelesto erga coniugem amori insidias facturam patri, eumque prodituram.

14. Lampadias cometes, a forma sic vocatus, ipse quoque Mercurii est. is ad orientem conversus nebulosum aërem, indeque viti detrimentum fore praenuntiat. etenim nascuntur e nebula vermes, qui ipes vocantur. malum illud universe quidem, sed maxime tamen in Armenia superiore, Syria Euphratensi, Phoenicia, Taurocilicia, accidet. nec solum interdiu sed noctu quoque adeo spissabitur nebula, ut lumina accensa exstinctura sit. frugibus innascetur lolium, quod vocant, mes-

αἶρα καὶ ὑγρασία τις σηπτικὴ καὶ βλαπτικὴ τοῖς ἀμητοῖς· ἐκτροπαί τε ποταμῶν καὶ ὄμβρων ῥήξεις βιαιοτέρων καὶ κεραυνῶν βολαὶ ἔσονται, καὶ οὐδὲν ἧττον ὁ αὐχμὸς ἐπιτείνῃ, ὡς καὶ τοὺς ἀεννάους τῶν ποταμῶν ἀναφρυγῆναι. εἰ δὲ ἐπὶ νότον, ἔτι μᾶλλον ξηρότερον καὶ λοιμωδέστερον τὸ τοῦ ἀέρος κατάστημα, τοῦ Νείλου ὑποξηραίνοντος, ὥστε ἑρπετῶν πάντα πληρωθῆναι. εἰ δὲ ἐπὶ τὴν ἄρκτον, ὁ μὲν αὐχμὸς τῷ ψυχρῷ τοῦ κέντρου ἡττηθήσεται, πῦρ δὲ ταῖς ὕλαις ἀδοκήτως καὶ τοῖς ὄρεσιν ἐμπεσεῖται, ὡς μηδὲ τοὺς ἐν τοῖς ἀγροῖς ἢ φρουρίοις διατρίβοντας ἔξω τῆς βλάβης γενέσθαι· θάνατός τε πολὺς ἔσται, καὶ μάλιστα ἐπὶ τῆς Αἰγύπτου. ὅταν δὲ ἀνίσχων πρὸς δυσμὰς ὁρᾷ, κεραυνοὺς μὲν τῇ χώρᾳ, πτῶσιν δὲ τοῖς βοσκήμασι μαντεύεται, ἐμπρησμοί τε ἔσονται βαρεῖς.

15. Κομήτης. οὗτος ὁ ἀστὴρ Διὸς μέν ἐστιν, οὕτω δὲ ἐστιν ἐπίσημος ὡς ἐξ αὐτοῦ πάντας τοὺς ἄλλους διοσημειακοὺς ἀστέρας κομήτας προσαγορεύεσθαι. οὗτος ἡνίκα λαμπροὺς καὶ ἀργυροειδεῖς τοὺς πλοκάμους καὶ ἐπὶ τὴν ἀνατολὴν ἀκοντίσῃ, Διὸς καρκίνῳ ἢ σκορπίῳ ἢ ἰχθύσιν ὄντος, Πέρσαις ἀγαθὰ μεγάλα μαντεύεται. ἀναστήσονται γάρ, καὶ ἐπὶ τὰ Ῥωμαίων ἐκχυθέντες πόλεις τε καὶ φρούρια καθέξουσιν, αἰχμαλώτων τε ἀπείρων πλῆθος καὶ πλοῦτον πολὺν λαβόντες νικηταὶ εἰς τὴν ἑαυτῶν χώραν ἀναζεύξουσι, μήτε συμβαλεῖν ὅλως τινὸς τολμῶντος αὐτοῖς. ὅταν δὲ ἀπόστροφος ἀνί-

22 praestat ἄπειρον· ac sic verti. H. 23 malim μηδέ. H.

sibus humor putrefaciens ac laedens. amnium eluvies, imbrium vehementiorum delapsus, fulminum elisiones erunt. et tamen nihilominus gliscet siccitas: inde perennes quoque amnes exarescent. si meridiem spectat, magis etiam arida ac pestifera erit aëris temperatio. siccescet Nilus: inde serpentibus referta erunt omnia. si septentriones, siccitas superabitur a frigore centri; ignis in silvas montesque de improviso incidet, ut neque rusticantes neque castellani extra noxam futuri sint. mortes multae erunt, praecipue per Aegyptum. quando idem exoriens in occidentem spectat, terrae fulgura, pecudibus interitum praedicit; incendia acerba erunt.

15. Cometes proprie sic dictus. id sidus Iovi attribuitur: est adeo insigne ut ex illo omnes aliae prodigiosae stellae crinitae nuncupentur. is quando ardentes argenteosque crines in orientem iaculatur, Iove in cancro aut scorpione aut piscibus morante, Parthis bona magna praedicit. etenim concitati et effervescentes in provincias populi Romani oppida et castella tenebunt; captivorum infinita multitudine gazaque ingente potiti victores in suos se fines recipient, nemine omnino ne ad manum quidem venire illis audente. quodsi averaus exoritur cometa

σχῃ ὁ κομήτης οὗτος, τοῖς καθ' ὧν ἀποστρέφεται τὰς ἀστροχίας ἐπιφέρει. εἰ δὲ ἐπὶ τὸν νότον ἴδῃ, ἐπιδώσει ὁ Νεῖλος ἀφθονώτερον, εἰρήνη τε καὶ εὐετηρία ἔσται ἐπὶ τῆς Αἰγύπτου, ὁμόνοιά τε καὶ εἰλικρινὴς τοῖς πᾶσιν ἡσυχία. εἰ δὲ ἀποστρεφόμενος καὶ κατὰ νότον ἔχων τὴν ἀνατολὴν ἐπὶ τὴν δύσιν ὁρᾷ, ἄπειρος ἔσται τοῖς Ῥωμαίοις εὐδαιμονία· Πέρσας τε...

16. .....γενεσίαν τῷ παντὶ παρέχουσα· καὶ ὅσα ἁπλῶς ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς ὁ φιλόσοφος ἀναφέρει. ὥστε ἀνάγκη πᾶσα τῶν ὑπὸ σελήνην πάντων μὴ μίαν μηδὲ τὴν αὐτὴν εἶναι φύσιν. εἰ γὰρ ἀρχὴ γενέσεως καὶ φθορᾶς σελήνη, εἰκός ἐστι μὴ ἀεὶ ὡσαύτως θεωρεῖσθαι τὰ ὑπ' αὐτὴν φυόμενα συμβάντα. εἰ γὰρ ἔκκεντρος παρὰ τοὺς ἄλλους τῶν πλανωμένων αὕτη, λοξῶς καὶ οὐ πρὸς ὀξὺ τὰ τῶν ἀποτελεσμάτων γίνεται. οἱ μὲν γὰρ κατὰ τοὺς διαπλόκους πόλους τὴν ἐπὶ ταῖς διοσημείαις μαντείαν ἀπευθύνουσιν, ἄλλοι δὲ κατὰ τὰς ἐπιτολὰς ἢ κατὰ τὰς φάσεις· καὶ οὗτοι μὲν πρὸς τὰ

4 ...κρηνησ C. 5 νότον] ad sensum melius esset νῶτα. cf. cap. 61. H. 7 hic desideratur folium certe unum, in quo credibile est de reliquis generibus cometarum disputasse Lydum, velut de disceo pogonia typhone, ac deinceps ad observationes lunares [σεληνιακὰς ἐπιτηρήσεις] transiisse. ibi suspicor (ex peroratione capitis 16) suscepisse auctorem defensionem disciplinae auguralis contra voces quorundam, negantium consociari eam posse cum pietate rectaque persuasione de numine ac mente dei. cui opinioni opposuisse videtur ratiunculas e libris Aristotelis de caelo deque generatione et corruptione conquisitas: tempestatum vicissitudines rerumque humanarum commutationes, modo leges a providentia fixas noveris, non minus a mortalibus sciri praedicique posse quam siderum cursum impetumque caeli. qua ex argumentatione supersunt illa cap. 16, fugientibus plerumque literis, quae hunc in modum restituere atque vertere sum conatus. 13 fort. εἴ γε. H.

ille, iis in quos devergit frustrationes exspectationum affert. si in austrum spectat, Nilus incremento maiore abundabit; pax et abundantia erit per Aegyptum: concordia et tranquillitas sincera per orbem terrarum. si devergens et austrum versus exortum habens in occidentem spectat, summa erit populi Romani felicitas: Parthos...

16. ..... conversio caeli vim genitalem huic universitati tribuens; et quicquid omnino in libro De generatione et corruptione princeps Peripateticorum commemorat. ut necesse plane sit rerum sublunarium omnium non unam neque eandem esse naturam. nam si luna principium est generationis et corruptionis, sequitur non semper eodem modo apparere quae sub illa forte existant. si enim a centro magis recedit quam alia errantia, obliqua fit nec praerapida efficientiarum ratio. divinationem quae ex prodigiis fit, ad polos deflexos moderantur alii, alii ad ortus aut praefulsiones: hi servato ad duodecim signa sole, illi

ζῴδια τὸν ἥλιον ἐπιτηρήσαντες, ἐκεῖνοι δὲ πρὸς τὰς σεληνιακὰς συνόδους καὶ ἀποστάσεις, ἄλλοι κατὰ φυσικάς τινας ἐπιτηρήσεις. κῆρυξ δὲ τῶν ἀπορρήτων ἡ φύσις. ὥστ' οὐκ ἔξω φρενοβλαβείας μέμφονται ταῖς μεθόδοις δι' ὧν τοῦ μέλλοντος στοχάζεσθαι εἰσαγόμεθα· οὐδὲ τὸ περὶ τὴν τῶν ἀστέρων θεωρίαν ἀπασχολοῦν ἔξω θεοσεβείας ποιεῖ· ἀλλ' ἔτι μᾶλλον τὴν πάνσοφον ἔστι διὰ τῶν ἔργων αὐτῶν θεωρῆσαι πρόνοιαν τοῦ πάντων ἀρρήτου πατρός, καὶ θαυμάσαι τὴν ψυχὴν ἀνθρώπου δύνασθαι ἡγουμένου θεοῦ καὶ περὶ τῶν οὐρανίων, ὡς δυνατόν, διαλέγεσθαι. ταῦτα μὲν οὖν Φούλβιός φησιν, ἐκ τῶν τοῦ Νουμᾶ ἱστορήσας. ἡμεῖς δὲ μετὰ τὰς ἐκ διαφόρων συνειλεγμένας δόξας καὶ τὰς ἐξ ὁμαλοῦ τοῖς παλαιοῖς γραφείσας ὑποθήσομεν, ἐκ τῶν περὶ σελήνης σχηματισμῶν κατὰ τὰ ζῴδια τῆς θεωρίας λαμβάνοντες.

17. Σελήνη αἰγόκερῳ. εἰ κατὰ τὴν διχομηνίαν ἡ σελήνη ἀμυδρὰ φανῇ, εὐθηνία ἔσται. εἰ δὲ ἐν τῇ δευτέρᾳ φυλακῇ ὁμοίως ἀμυδρὰ φαίνηται, ἔφοδον πολεμίων σημαίνει. εἰ .....ας τεκμήριον. εἰ δὲ .... ἀπειλεῖ. εἰ δὲ ἄστρον διαδράμῃ, ἀπώλειαν ἀνθρώπων σημαίνει. εἰ δὲ ὁμίχλη γένηται, χάλαζα πεσεῖται. εἰ δὲ ἄνεμοι βιαιότερως πνεύσουσιν, ἐφόδους πολεμίων φράζουσιν.

Σελήνη ὑδροχόῳ. εἰ κατὰ τὴν πρώτην ἢ δευτέραν φυλακὴν ἡ σελήνη ἀμυδρὰ φαίνοιτο, πόλεμος ἔσται· εἰ δὲ κατὰ τὴν ἑωθινήν, εἰρήνην μετὰ ἐλλείψεως τῶν ἐπιτηδείων δηλοῖ.

12 συνειλιγμενας C. 13 υποθησωμεν C.

ad lunares congressus recessusque. alii moderantur ad observationes certas naturales. magistra autem occultorum natura est. quare non sine amentia improbant rationes, quibus perducimur ad coniicienda futura: nec sidereae scientiae studium a pietate avertit: sed vel magis licet ex ipsis operibus sapientissimam perspicere providentiam parentis ineffabilis huius universitatis, et admirari, quod potis est mens humana, duce deo, de caelestibus quoque rebus pro facultate disserere. haec Fulvius Nobilior ait, e scriptis Numae mutuatus. nos, post opiniones ex variis auctoribus collectas, item quae in eandem sententiam a priscis hominibus scripta sunt subiiciemus, ita ut ab habitu lunae secundum duodecim signa commentationem aggrediamur.

17. Luna in capricorno. luna pleno orbe quando pallida videtur, abundantia erit. secunda vigilia si item pallida conspicitur, incursionem hostium significat. si . . ae signum. sin vero . . minatur. traiectio stellae interitum hominum significat. nebula si existit, grando cadet. venti si spirant violentius, accessum hostium indicant.

Luna aquario. si prima aut secunda vigilia luna pallida videtur, bellum erit. si quarta vigilia, post defectum annonae pacem decla-

εἰ δὲ σεισμὸς ἢ ἦχος ἐκ τοῦ οὐρανοῦ γένηται, νόσους σημαίνει. εἰ δὲ ὁμίχλη γένηται, σίτου καὶ οἴνου δαψίλειαν δηλοῖ. εἰ δὲ παρ' ὅλον τὸν μῆνα ἐπιτείνουσι πνεύματα, ὑετὸς ἥξει. εἰ ὁ ἕσπερος ἐν τῇ σελήνῃ εἰσέλθῃ, ἴδιοι ἰδίοις δυνατοὶ ἐπιβουλεύσουσιν. εἰ δὲ δόξῃ ἐκλιπεῖν ἡ σελήνη... εἰ δὲ αἱ κεραῖαι τῆς σελήνης συνέλθωσι, σίτου ἀφθονία ἔσται. εἰ δὲ ἄστρον ἐκτρέχον ἐπὶ τὸν οὐρανὸν αὐλακίζει, κίνδυνον τοῖς παραλίοις ἀπειλεῖ.

Σελήνη ἰχθύσιν. εἰ ὁ ἥλιος φαύλως ἐκλάμπειν δόξῃ, φθορὰ ἔσται ἀνθρώπων. εἰ δὲ ἐν τῇ πρώτῃ φυλακῇ ἡ σελήνη τὰς κεραίας συνάγῃ, εἰρήνη ἔσται. εἰ δὲ σεισμὸς γένηται, ἀπορίαν σημαίνει τοῖς συναλλάγμασιν. ἐὰν ἄστρον ἐν ἡμέρᾳ φανῇ, ἀνάγκη τὰ κοινὰ περιστήσεται. ἐὰν κεραυνὸς εἰς γῆν πέσῃ, παῦλα τῶν κακῶν. ἐὰν ὁμίχλη εἰς τὴν γῆν πέσῃ, συνοίσει τοῖς καρποῖς.

18. Σελήνη κριῷ. εἰ ἡ σελήνη ταραχώδης φαίνηται, πόλεμοι ἔσονται καὶ ἐπαναστάσεις. εἰ δὲ κατὰ τὴν δευτέραν φυλακὴν ἡ σελήνη αἱματώδης φανῇ, ὁ σῖτος ἔσται ἀφθονώτατος. ἐὰν ὁ ἕσπερος ἐγγίζῃ τῇ σελήνῃ, πόλεις πόλεσι συρραγήσονται καὶ λιμὸς ἔσται. εἰ νυκτὸς πρηστὴρ κατενεχθείη, βασιλεὺς τοῖς ἑαυτοῦ ἐπιβουλεύσει. εἰ δὲ σεισμὸς γένηται, ἔνδειαν σίτου σημαίνει. εἰ δὲ ἦχος ἐκ τοῦ οὐρανοῦ γένηται, οἱ τῆς Εὐρώπης τοῖς τῆς ἄνω Ἀσίας πολεμήσουσιν. ἐὰν ἡ

5 omisit librarius clausulam prioris sensiculi et initium sequentis. neque ego supplere illam quidem ausus sum. H. 9 φαυλος C. 16 φανῆται vulgo. 20 .. εχεθειη C.

rat. si terraemotus fit aut caelum boat, morbos significat. si nebula fit, abundantiam frumenti et vini declarat. sed si per totum mensem se intendunt flatus, pluvia incidet. si vesperus in lunam ingreditur, potentes suis ipsi insidiabuntur. si videtur deliquium pati luna... cornua si lunae conveniunt, frumenti copia erit. si stella traiiciens per caelum sulcum ducit, periculum oris maritimis minitatur.

Luna piscibus. sol si videtur lucere languidius, strages erit mortalium. prima vigilia si luna cornua coniungit, pax erit. si terraemotus fit, difficultatem commerciorum significat. si stella interdiu se aperit, tempora rei publicae aspera incurrent. fulmine si terra tangitur, cessatio erit calamitatum. nebula si in terram funditur, proderit frugibus.

18. Luna ariete. luna si turbida videtur, bella erunt et rebelliones. sub secundam vigiliam luna si cruenta videtur, frumentum erit copiosissimum. vesperus si accedit propius ad lunam, civitates cum civitatibus conflictabuntur et fames erit. turbo accensus si delabitur noctu, rex suis insidiabitur. terraemotus si fit, penuriam frumenti significat. caelum si crepat, Europaei bellum inferent gentibus Asiae supe-

ἀριστερὰ κεραία τῆς σελήνης δόξῃ ὑπερβάλλειν τὴν ἄλλην, ἀνχμὸς ἔσται καὶ σίτου ἀπορία. ἐὰν ἐν ἡμέρᾳ πρώτῃ τῆς φωνῆς ..... ἄνεμοι τὸν μῆνα καταπνεύσουσιν.

Σελήνη ταύρῳ. εἰ ἐκλίπῃ ἥλιος, ἐρήμωσιν ἀπειλεῖ τοῖς ἀνθρώποις. εἰ ἡ σελήνη ἐπὶ τῆς δευτέρας φυλακῆς ταραχώδης φανῇ, φθορὰ ἀνθρώπων ἔσται. εἰ ἡ σελήνη ἐξ ἴσου τὰς κεραίας ἀνίσχουσα ἴσχῃ, θόρυβον τῇ βασιλείᾳ ἀπειλεῖ· εἰ δὲ κατὰ τὴν μίαν μόνον ἐξίσχῃ, θόρυβοι ἔσονται καὶ φυγαί. εἰ δὲ σεισμὸς γένηται ἀπὸ πρώτης Μαΐου ἕως δωδεκάτης, ἀφαίρεσιν τῆς ἀρχῆς τῷ ἡγουμένῳ τοῦ τόπου, ἐφ' οὗ γένηται, καὶ φόβον οὐκ ἀκίνδυνον ἀπειλεῖ. εἰ δὲ ἀπὸ δωδεκάτης γένηται, οὐ μόνον ἀποκινεῖται ὁ ἐπιτροπεύων τὸ ἔθνος, ἀλλὰ καὶ ἀπόλλυται. καθολικῶς δέ, ὅποι ἂν σεισμὸς ἀπὸ δεκάτης ἕως τριακοστῆς τοῦδε τοῦ μηνὸς συμβῇ, θορύβους καὶ πολέμους ἀποτελεῖ. εἰ ἀπὸ πρώτης φυλακῆς ἕως ἕκτης σεισμός γένηται, πολέμου ἐθνικοῦ κίνησις ἔσται, ὁ δὲ ἡγούμενος τοῦ κινήματος ἀναιρεθήσεται.

Σελήνη διδύμοις. εἰ ἔκλειψις γένηται ἡλιακή, μεταβολὴ ἔσται καὶ ἐπὶ τῶν πραγμάτων ἕτεροι ἔσονται. εἰ δὲ τῆς πρώτης φυλακῆς ἐκλίπῃ ἡ σελήνη, ἀκρίδες ἔσονται· εἰ δὲ ταραχώδης φανῇ, πόλεις πρὸς πόλεις καταφεύξονται. ἐὰν ὁ τῆς Ἀφροδίτης ἀστὴρ ταραχώδης γένηται, ἀνθρώπων φθορὰ ἔσται. ἐὰν νυκτὸς ἀστὴρ πέσῃ, κακῶν σημεῖον,

1 malim τὴν ἑτέραν. H. 10 fort. ἐφ' οὗ ἂν γένηται. H. 12 μόνον οὐκ C. 15 ἕκτης] num ἕκτης ὥρας? H. 20 fort. ἐπὶ τῆς. H.

rioris. laevum cornu lunae si excedere videtur alterum, siccitas erit et rei frumentariae inopia. si die primo vocis ... venti per mensem spirabunt.

Luna tauro. sol si deficit, vastationem minatur hominibus. luna sub secundam vigiliam si turbida videtur, interitus hominum erit. luna exoriens si cornua habet aequalia, turbas rei publicae minatur: sin autem altero prominet, tumultus erunt et exilia. terraemotus si fit a Kalendis Maiis ad 4 Id. Mai. praeposito regionis, ubi fit, ademptionem imperii et formidinem non sine periculis minitatur. sin vero fit inde a 4 Id. Mai., non modo removebitur procurator gentis, sed interibit quoque. universe autem, ubicunque terraemotus accidit a 6 Id. Mai. ad 3 Kalend. Iun., tumultus ac bella efficit. terraemotus si fit prima vigilia ad extremam, bellum civile movebitur, sed auctor motus illius tolletur de medio.

Luna geminis. si defectio solis accidit, conversio erit rerum, civitatemque alii obtinebunt. luna si deficit prima vigilia, locustae existent: si turbida videtur, civitates ad civitates confugient. Veneris stella si turbida conspicitur, hominum erit strages. stella noctu traiiciens ca-

ὥσπερ εἰ ἐν ἡμέρᾳ ὀφθῇ. ἐὰν πρηστὴρ πέσῃ, θόρυβος ἔσται ταῖς πόλεσι ταῖς πρὸς τὴν ἀνατολήν. εἰ σεισμὸς γένηται, χάσματα τοπικὰ ἔσται. ἐὰν ὁμίχλη πυκνωθεῖσα εἰς γῆν πέσῃ, σῖτος ἔσται πολύς. εἰ ὁ ἥλιος αἱματώδης γένηται, ἀποβολὴ ἔσται ἀνθρώπων. ἐὰν πνεῦμα ἐξαίσιον πνεύσῃ ἐπὶ ἑπτὰ ἡμέρας, σῖτος ἔσται πολύς. ἐὰν ἀπὸ νεομηνίας ἕως ἐννάτης τοῦ μηνὸς τούτου σεισμὸς γένηται, φθορὰν ἀνθρώπων ἀπειλεῖ. εἰ δὲ ἀπὸ ἐννάτης ἕως δεκαεννάτης σεισμὸς γένηται, ὁ κρατῶν τῶν πραγμάτων κάκιστα διαγενήσεται, ἔσται δὲ καὶ λιμὸς τοῖς κτήνεσι καὶ ὕδατος λεῖψις. εἰ ἀπὸ εἰκοστῆς σεισμὸς γένηται, ταπείνωσιν τοῖς διὰ λόγων ἀπειλεῖ, τῷ δὲ τόπῳ ἐναλλαγὴν ἄρχοντος. εἰ ἀπὸ εἰκοστῆς πέμπτης ἕως τριακοστῆς σεισμὸς γένηται, χειμῶνας μεγάλους σημαίνει, καὶ πόλεμος ἔσται καὶ ἀπόπτωσις ἄρχοντος καινοῦ. εἰ ἐπὶ τῆς τριακάδος σεισμὸς γένηται, χειμῶνας μεγάλους σημαίνει.

19. Σελήνη καρκίνῳ. εἰ ἡ σελήνη ἀμυδρὰ ὀφθείη, στράτευμα ἀλλότριον ἐπὶ τὴν βασιλέως ἥξει χώραν. ἐὰν ἦχος ἐκ τῆς γῆς γένηται, τύραννος ἀναιρεθήσεται. ἐὰν κεραυνὸς πέσῃ εἰς γῆν, πόλεις παράλιοι ἐρημωθήσονται καὶ ἀπορία ἔσται ἀνθρώπων. ἐὰν ἡ σελήνη αἱματώδης φανῇ, ἄνδρες δυνατοὶ κακοδαιμονήσουσιν· ἐὰν ἡ σιλήνη ἐξ ἴσου ἔχῃ τὰς κεραίας, εἰρήνη ἔσται καὶ εὐθηνία· εἰ δὲ ὑπερέχῃ ἡ ἑτέρα τὴν ἑτέραν, ὕδατος ἔσται λεῖψις. εἰ σεισμὸς γένηται ἀπὸ

12 ἀπὸ εἰ C. 15 num κλεινοῦ? H. 23 ἡ vulgo om.

lamitatum indicium, itemque si interdiu conspicitur. turbo accensus si defertur, tumultus erit in urbibus per Orientem. si movetur terra, habit passim. nebula crassa si in terram delabitur, frumentum erit copiosum: sol si fit sanguinolentus, interitus hominum erit. ventus ingens si flat per dies septem, frumentum erit copiosum. si a nova luna usque ad diem nonum huius mensis movetur terra, hominum stragem minitatur. idem si accidit a luna nona usque ad decimam nonam, is qui rem publicam tenet miserrime vitam peraget, inediaque conflictabuntur pecora, et aqua deficiet. si terraemotus fit inde a die vigesimo, literatis hominibus imminutionem auctoritatis denuntiat, regioni commutationem principis. si terra movetur a die vigesimo quinto ad trigesimum, tempestates magnas significat, eritque bellum et recentis principis ruina. si terraemotus fit die trigesimo, tempestates magnas significat.

19. Luna cancro. luna si obscura videtur, exercitus peregrinus in Caesaris fines veniet. si sonitus fit e terra, tyrannus tolletur de medio. terra si fulmine tangitur, urbes maritimae vastabuntur, hominumque erit inopia. luna si sanguinolenta videtur, viris potentibus dura erit fortuna; si aequalia habet cornua, pax erit et copia rerum; si alterum supereminet, aquae erit defectio. terra si quatitur a mane diei ad

πρωΐ ἕως μεσημβρίας, θεοχολωσίαν ἀπειλεῖ· εἰ ἀπὸ ἕκτης ὥρας ἕως τριακάδος σεισμὸς γένηται, τοῖς μὲν πρωτεύουσι τῆς χώρας μετανάστασιν, τοῖς δὲ λοιποῖς θόρυβον ἀπειλεῖ. εἰ δὲ ἀπὸ πρώτης φυλακῆς τῆς νυκτὸς ἕως τρίτης ἀρχομένης σεισμὸς γένηται, τοῖς μὲν διὰ λόγων ὀφθεῖσιν ἀτιμίαν ἀπειλεῖ, τοῖς δὲ βιβλίοις φθορὰν καὶ τοῖς περὶ τὴν ἀνατολὴν πολέμους.

Σελήνη λέοντι. εἰ ὁ ἥλιος ἀμαυρὸς γενήσεται, μέγας ἀνὴρ ἀπολεῖται, ἐπὶ δὲ τῶν πραγμάτων ἕτερος ἔσται ἀρχικώτερος. εἰ ἡ σελήνη ἀμαυρὰ γένηται τῇ ἑωθινῇ φυλακῇ, στράτευμα ἀλλότριον ἐπελεύσεται τῇ τοῦ βασιλέως χώρᾳ. ἐὰν σεισμὸς γένηται, θόρυβος ἔσται καὶ ἀνδρὸς δυνατοῦ ἀναίρεσις. εἰ κεραυνὸς πεσεῖται, πόλεις παράλιοι ἐρημωθήσονται. εἰ ἡ σελήνη αἱματοειδὴς φανῇ, ἀπωλειαν δυνατῶν δηλοῖ. εἰ ἄνεμος σφοδρὸς πνεύσῃ, τῇ χώρᾳ συνοίσει. ἐὰν ὁμίχλη πέσῃ, ἀνάγκη συμπεσεῖται ἀνδρὶ μεγάλῳ. ἐὰν σεισμὸς γένηται ἀπὸ νουμηνίας ἕως δεκάτης, φόνους καὶ στενώσεις καὶ φθορὰν τῶν κτηνῶν ἀπειλεῖ ἢ λιμόν, μεταλλάξει δὲ καὶ ὁ ἡγούμενος τῆς χώρας. εἰ ἀπὸ δεκάτης ἕως τριακοστῆς σεισμὸς γένηται, σημαίνει μὲν ταραχὰς καὶ φυγάς, ἐλπίδα δὲ ἀγαθῶν. εἰ σεισμὸς γένηται νυκτὸς παρ' ἀμφιλύκῃ, πρὸς μὲν βραχὺ ἀγαθὰ ἔστω, ἀκολουθήσει δὲ τὰ πάντων ἀλγεινότατα.

3 λοιποῖς] num κοινοῖς? quod Lydus opposuisset τοῖς πρωτεύουσιν. H. 11 restitui ex phrasi simili p. 295 18. H. 14 num αἱματωδὴς? certe αἱματοειδὴς nusquam alibi repperi. 21 num νυκτὸς ἢ παρ'? H.

meridiem, numina irata minitatur; si motus fit a hora sexta ad tricesimam, principibus regionis exilium, reliquis turbas denuntiat. terraemotus si fit a prima vigilia noctis ad tertiam ineuntem, viris doctrina spectatis dehonestamentum, libris interitum, gentibus Orientis bella minatur.

Luna leone. sol si obscuratur, vir magnus interibit, rerumque potietur alter aptior ad imperium. luna si obscuratur quarta vigilia, exercitus peregrinus invadet provincias Caesaris. terra si quatitur, tumultus erit et viri potentis ruina. fulmen si defertur, urbes maritimae vastabuntur. luna si cruenta videtur, interitum potentium declarat. si ventus flat vehemens, proderit regioni. nebula fusa necessitas obveniet viro magno. terraemotus si fit a nova luna ad decimam, caedes angustiasque et interitum pecudum minitatur aut famem; princeps quoque regionis mutabitur. si motus fit a die decimo ad tricesimum, turbas quidem et exilia, sed spem tamen prosperitatis significat. terra si movetur noctu anteluculo, per exiguum tempus prosperitates erunt, sed casus omnium acerbissimi sequentur.

Σελήνη παρθένῳ. εἰ ὁ ἥλιος ἐρυθρὸς γένηται, σύμμαχοι ἀποστήσονται. εἰ ἡ σελήνη ἀμαυρὰ γένηται τῇ πρώτῃ φυλακῇ, φθορὰ κτηνῶν ἔσται. εἰ τῇ ἑωθινῇ φυλακῇ τὸ αὐτὸ γένηται, μέγας ἀνὴρ ἀπολεῖται. εἰ ὁ τῆς Ἀφροδίτης ἀστὴρ πλησίον τῇ σελήνῃ γένηται, πολέμους ἐμφυλίους ἀπειλεῖ. εἰ πρηστὴρ πέσῃ, αἱ παράλιοι πόλεις ἀφανισθήσονται. εἰ ἀπὸ γῆς ἦχος γένηται, πόλεμον τοῖς παραλίοις ἀπειλεῖ. εἰ σελήνης ἀνισχούσης αἱ κεραῖαι αὐτῆς ἀλλήλαις πλησιάσωσι, κατομβρίαν δηλοῖ εἰς ἀπώλειαν καρπῶν. εἰ ἐκλίπῃ ἡ σελήνη, μέγας ἀνὴρ ἀπολεῖται. εἰ σεισμὸς γένηται, ἀνθρώπων φθορὰν ἀπειλεῖ. εἰ ἐν ἡμέρᾳ ἀστέρες φανῶσιν, ἀναίρεσις ἔσται ἀνθρώπων. εἰ ἄνεμος βίαιος πνεύσῃ, εἰρήνην παρ' ὅλον τὸν ἐνιαυτὸν δηλοῖ. εἰ σεισμὸς γένηται ἀπὸ νουμηνίας ἕως ἑβδόμης, εὐθηνίαν, ἅμα δὲ καὶ βίαιον θάνατον προσδοκητέον καὶ Περσῶν ἔφοδον. εἰ ἀπὸ ὀγδόης ἕως δεκάτης σεισμὸς γένηται, ἔνδειαν σίτου ἀπειλεῖ. εἰ σεισμὸς γένηται νυκτός, φθορὰν τῶν πρωτευόντων τοῦ ἔθνους καὶ ἀλλοίωσιν τῶν πραγμάτων ἀπειλεῖ. εἰ πολλάκις γένηται σάλος, ταραχὰς καθολικὰς προλέγει καὶ τῶν δυναστῶν μετάπτωσιν.

20. Σελήνη ζυγῷ. εἰ ὁ οὐρανὸς ταραχώδης γένηται ἐπὶ τῆς πρώτης φυλακῆς τῆς νυκτός, λιμὸν ἀπειλεῖ· εἰ δὲ ἐπὶ δευτέρας, δυτικαὶ πόλεις αἰχμαλωτισθήσονται· εἰ δὲ ἐπὶ τῆς ἑωθινῆς, λιμητὸν ἀνθρώποις ἀπειλεῖ. εἰ ἦχος ἀπὸ τῆς γῆς γένηται, φθόνους ἀπειλεῖ. εἰ πρηστὴρ πέσῃ, παλαιαὶ

24 fort. φόνους. H.

Luna virgine. sol si rubet, socii deficient. luna si prima vigilia obscura fit, strages pecudum erit. idem si fit vigilia quarta, vir magnus interibit. Veneris stella si propius accedit ad lunam, bella civilia minatur. prester si cadit, civitates maritimae delebuntur. fremitus terrae si auditur, maritimis bellum denuntiat. lunae orientis cornua, si alterum alteri appropinquat, vim imbrium significant ad perniciem frugum. si luna deficit, vir magnus interibit. terra si quassatur, interitum minatur hominum. si stellae luce apparent, internecio hominum erit. ventus vehemens si flat, pacem declarat per totum annum: si terraemotus fit a nova luna ad septimam, copia rerum simulque mors violenta exspectanda et Parthorum irruptio. si ab octava luna ad decimam quassatur terra, penuriam frumenti minatur: idem si fit noctu, populo exitium principum rerumque immutationem minitatur. procella mare crebro agitans turbas omnia miscentes praedicit hominumque potentium ruinam.

20. Luna libra. caelum si prima vigilia noctis turbidum videtur, famem minatur: si secunda, civitates Occidentis in servitutem redigentur: si quarta, dispersionem hominibus minitatur. si sonitus fit e terra, invidias denuntiat. prester si cadit, civitates antiquae vastabun-

πόλεις ἐρημωθήσονται. εἰ ὁ ἕσπερος ὑπὸ τῆς σελήνης διέλθῃ, ἀνὴρ δυνατὸς ἀναιρεθήσεται. εἰ παρὰ πάντα τὸν μῆνα βίαιος ἄνεμος ῥεύσῃ, ταραχὰς ἀπειλεῖ. εἰ σεισμὸς ἀπὸ νουμηνίας ἕως δεκάτης γένηται, φθορὰ κτηνῶν ἔσται καὶ πτῶσις τοῦ ἡγουμένου τῆς χώρας· εἰ δὲ ἀπὸ ἑνδεκάτης ἕως λ, προνομὴν ἀπειλεῖ τῆς χώρας.

Σελήνη σκορπίῳ. εἰ κατὰ τὴν πρώτην τῆς νυκτὸς φυλακὴν αἱματώδης ἡ σελήνη φανῇ, ἀνταρσίαν καὶ ἑτέρου προαγωγὴν δηλοῖ. εἰ ὁμιχλάνῃ ὁ ἀὴρ ἢ ἐπὶ γῆς ῥίψῃ τὴν ἀχλύν, φθορὰ ἔσται σίτου. εἰ δὲ διάττῃ ἀστήρ, φθορὰν σίτου καὶ ἀνθρώπων ἀπειλεῖ, ὅταν μέντοι ἀπὸ ἀνατολῶν εἰς δυσμὰς ἐκτρέχοι. εἰ δὲ ἦχος ἐκ τῆς γῆς γένηται, φυγὴν ἀπειλεῖ. εἰ δὲ αἱ κεραῖαι τῆς σελήνης συμπέσωσι, σῖτος μὲν ἔσται πολύς, τετραπόδων δὲ θάνατος καὶ θηρίων ἔσται. εἰ σεισμὸς γένηται, ἀνὴρ ἀπολεῖται μέγας. εἰ δ' ὁ ἕσπερος ἐγγίσῃ τῆς σελήνης, θόρυβοι ἔσονται.

Σελήνη τοξότῃ. εἰ ἡ σελήνη αἱματώδης φανῇ, πόλεις μεγάλαι ἀνάστατοι ἔσονται. εἰ ἡ σελήνη ἀμαυρὰ γένηται κατὰ τὴν πρώτην φυλακὴν ἢ κατὰ τὴν μεσομηνίαν, οἱ περὶ τὰ βασίλεια ταραχθήσονται· εἰ δὲ κατὰ τὴν δευτέραν φυλακήν, τοῖς ἐν θαλάσσαις πόλεμον δηλοῖ· εἰ δὲ τῇ ἑωθινῇ, ἀνὴρ δυνατὸς ὑπὸ βασιλέως ταραχθήσεται. εἰ κατὰ τὸν αὐτὸν καιρὸν ἡ σελήνη αἱματώδης φανῇ, σφαγὰς ἀπειλεῖ. εἰ πνεῦμα βίαιον παρ' ὅλον πνεύσῃ τὸν μῆνα, ἄνδρες μεγάλοι

5 ἀπὸ ια C. 9 num ῥήξῃ? H. 12 φυγειν C.

tur. Vesperus si sub luna transit, vir potens tolletur de medio. ventus vehemens si flat per totum mensem, turbas minatur. terra si quassatur a luna nova ad decimam, lues pecuaria erit et ruina eius qui praest regioni. si ab undecima ad trigesimam, vastationem minatur tractui illi.

ἐν ἦρι ἢ μετοπώρῳ, περὶ τὴν πλειάδος καὶ ἀρκτούρου ἐπιτολήν. ὅθεν οὐδὲ ἐν Σκυθίᾳ ἢ συνελόντι εἰπεῖν ἐπὶ τὸ ἀρκτῷον κέντρον κεραυνοὺς βάλλεσθαι, ἤγουν ἐπὶ τὸ νότιον, κέκριται, διὰ τὸ ψυχρὸν καὶ θερμὸν τοῦ κατὰ τοὺς χώρους ἐκείνους καταστήματος. ἐπὶ δὲ τῆς Ἰταλίας ὡς μάλιστα· εὔκρατος γὰρ σχεδὸν παρὰ πᾶν χωρίον ὁ κατ' ἐκείνην ἀήρ, ἀπὸ μὲν νότου πλευρᾶς ἑκατέρας τῷ βορρᾷ ἰάπυγί τε κώρῳ τε ἐξ Ἄλπεων καταπνεομένης πάσης τῆς ὑποκειμένης τῷ Ἀπεννίνῳ βαθείας, ἀπὸ δὲ τοῦ πρὸς λίβα νεύματος τῷ νότῳ, καὶ νότῳ οὐ τῷ ξηρῷ καὶ βαρεῖ ἀλλὰ τῷ γονιμωτάτῳ πάντων, οἷον εἶναι τοιοῦτον ἡ παρήκουσα πρὸς Γάδειρα ἐπὶ τὸ Ἀτλαντικὸν μεγάλη παρασκευάζει θάλασσα, κιρνῶσα ταῖς ψυχραῖς ἀναθυμιάσεσι τὴν ἀτμώδη καὶ λοιμικὴν τοῦ μεσημβρινοῦ νότου θερμότητα. καὶ τὸ δὴ πάντων τῇ χώρᾳ τῆς εὐκρασίας αἰτιώτατον, ἄνωθεν τῷ Ἰονίῳ, κάτωθεν δὲ τῷ Τυρσηνικῷ παρακλύζεται πελάγει. ὅθεν δίς τε τὰ θρέμματα τοῦ ἔτους ἀπογεννᾶν πέφυκε, τυρὸς δὲ οὐ λείπει οὔτ' ἐν θέρει οὔτ' ἐν ὀπώρῃ. τοιαῦτα μὲν ἄν τις περὶ Ἰταλίας εἴποι.

44. Διάφορος δὲ καὶ οὐ μονοειδὴς ἡ τῶν κεραυνῶν φύσις. τοὺς μὲν γὰρ ψολόεντας ἡ παλαιότης καλεῖ, τοὺς δὲ ἀργῆτας, σκηπτούς τε καὶ πρηστῆρας. οὐδὲ γὰρ πάντες ταὐτὸ πράττουσιν. εἰσὶ δὲ οἳ καὶ ἀναστρέφουσι πρὸς τὰς ῥήξεις τῶν νεφῶν, ὅθεν καὶ ἐξεθλίβησαν. καὶ οἱ μὲν διάπυροι πρηστῆρες, οἱ δὲ μὴ

2 συνελόντα C cum Rutg. 3 ἤγουν] malim οὐδέ. H. 7 κώρῳ τε H, χώρῳ δὲ C, χώρα καὶ R. 10 sic ambo: sed malim τοῦτον, vel ὃν εἶναι τοιοῦτον. H. 16 malim τέ· et sic verti. H. Hom. Od. 12 76. 18 καὶ om C.

autumno, sub vergiliarum et arcturi ortum. unde neque in Scythia neque, ut brevi dicam, circa aquilonarem cardinem nec circa australem, cadere fulmina iudicatum est, ob frigidum atque calidum per loca ea caeli statum. in Italia quam creberrime, siquidem ibi ubivis fere temperatus aër, cum, australi latere utroque, omnis Apennino subiecta profunditas aquilone favonio coro ex Alpibus, in flexu autem africum versus austro perspiretur, neque austro sicco et gravi illo, sed omnium maxime genitali, qualem eum mare magnum reddit, ad Atlanticum usque per Gades pertinens, afflatuque refrigerante temperans vaporiferum ac pestilentem meridionalis austri aestum. et quod regioni illi conficientissima omnium causa temperiei est, superius Ionio, inferius Tyrrheno alluitur mari. quare et bis quotannis pecudes pariunt, et caseus "nec Bacchi deest nec tempore messis" (Hom. Od. 12 76). haec de laudibus Italiae.

44. Diversa autem est neque uniusmodi fulminum natura. alia fumida vocat antiquitas, alia candida, irruentia, presteres: non enim omnia idem efficiunt. sunt etiam quae redeant ad diruptiones nubium, unde elisa fuerant. ardentia presteres appellantur; quae sunt sine igne

πυρώδεις τυφῶνες, οἱ δ' ἔτι μᾶλλον ἀνειμένοι ἐκνεφίαι. αἰγίδες γε μὴν λέγονται οἱ ἐν συστροφῇ πυρὸς φερόμενοι. ταύτῃ αἰγίδα Διὶ περιτίθησιν ὁ λόγος, οἱονεὶ τὸν ἀέρα καταιγίδος καὶ συσσεισμοῦ αἴτιον παραινιττόμενος. εἰσὶ δὲ καὶ ἕτερα σχήματα κεραυνῶν· ἑλικίας αὐτοὺς τὰ βιβλία καλεῖ, ὅτι ἑλικοειδῆ γραμμὴν ἐν τῷ καταφέρεσθαι παραδεικνῦσιν. ἔστι δὲ θαυμάσαι κἂν τούτῳ τὴν φύσιν καὶ τὸ ἄβατον τῶν ἐν αὐτῇ θεωρημάτων. οὐδὲ γὰρ πάντες (καίτοι πάντες ἐξ ἀέρος καὶ συστροφῆς νεφῶν φερόμενοι) τὰ αὐτὰ ἀλλήλοις δρῶσιν. ὁ γὰρ ἐν αὐτοῖς λεγόμενος ἀργῆς, ὃν καὶ λαμπρὸν ἐξαιρέτως καλοῦσιν οἱ ἀρχαῖοι, πολλάκις ἐμπεσὼν ἐπὶ πίθον ἢ ἄγγος ἁπλῶς ἢ οἴνου ἢ ὕδατος, τὸ μὲν περιέχον ἀπήμαντον τὸ δὲ ἐμπεριεχόμενον ἄφαντον ἐποίησεν. οὐχ ἥκιστα δὲ καὶ ἐν σκεύεσι χρυσίον ἢ ἀργύριον φέρουσιν ἐμπεσὼν τῷ ἴσῳ τρόπῳ τὰ μὲν ἔνδον ἔτηξε, τὰ δὲ ἔξωθεν ἔσωσε. καὶ τὸ δὴ πάντων θαυμασιώτατον καὶ ἐπὶ γυναικὸς ἐγκύμονος συμβῆναί φησιν ὁ μέγας Ἀπουλήϊος, καὶ γυναικὸς οὐκ ἠγνοημένης, Μαρκίας δὲ ἐκείνης τῆς Κάτωνι τῷ τελευταίῳ συνοικησάσης. ἐμπεσὼν γὰρ αὐτῇ κεραυνὸς ὁ λεγόμενος ἀργῆς ἤτοι λαμπρὸς αὐτὴν μὲν παντελῶς ἐφύλαξεν ἀβλαβῆ, τὸ δὲ ἐν αὐτῇ διεφόρησεν οὕτως ἀνεπαισθήτως ὡς μηδὲ αὐτὴν συνιδεῖν ὅ τι γέγονε τὸ ἐν αὐτῇ, καίτοι πρὸς ἔξοδον ἔχον. τοιαύτην μὲν κατ' ἐξαίρετον ἐνέργειαν ἡ τοῦ ἀργῆτος εἴληχε φύσις.

1 *ἀνιμένοι* C. 4 *παραινιττόμενοι* C. 8 *στρεφόμενοι* C.
11 *ἢ οἴνου*] *ἢ* om C. *ἀπήμαντος* C. 12 *περιεχόμενον* R.
15 fortasse *Πλίνιος* dictum oportebat, Hist. nat. 2 51. H.
21 *ἐνέργειαν* om R.

typhones, magis etiam remissa ecnephiae. *αἰγίδες*, quae praefracta possumus dicere, vocantur quae globo igneo deferuntur; unde aegidem Iovi circumponit traditio, quasi insinuans aërem procellae concussionisque esse causam. sunt quoque alia fulminum genera: intorta libri vocant, quod lineam tortuosam lapsu ostendunt. in quo item mirari subit naturam difficultatemque contemplationum eius. non enim omnia (licet omnia ex aëre concursuque nubium eliciantur) operantur eadem. de illis quod nominant candidum, quod idem clarum prae ceteris vocant veteres, saepe incidens in dolium aut omnino in vas sive vini seu aquae operimentum integrum reliquit, intus conclusum fecit evanidum. nec minus in loculis aurum aut argentum continentibus, simili modo irruens, quae intrinsecus erant liquefecit, quae exterius, reliquit intacta. et omnium maxime mirandum mulieri gravidae accidisse ait magnus Apuleius, nec ignobili illi, Marciae nimirum, quae MCatoni minori nupsit. decidens in eam fulmen clarum seu candidum vocatum ipsam prorsus illaesam servavit, partum eius discussit sine omni doloris sensu, adeo ut ne ipsa quidem animadverteret quid de fetu, licet haud procul abesset ab enisu, factum esset. eiusmodi eximia vis naturae candidi fulminis propria est.

45. *Γενικῶς δ' εἰπεῖν, ἀβλαβῶς φυλάττεται ἀπὸ κεραυνῶν καὶ οὐδὲ βάλλεται τὴν ἀρχὴν ἐν μὲν φυτοῖς δάφνη καὶ συκῆ· καὶ γὰρ ἡλίου ταῦτα. ὅθεν καὶ δάφνην φιλεῖν Ἀπόλλων μυθεύεται, οἷον ὁ ἥλιος· καὶ εἰς λέοντα μεταβαλλόμενος, ἀντὶ τοῦ εἰς πῦρ, οὐ φθείρει τὴν δάφνην. ἐν δὲ πτηνοῖς ἀετός, ἐν δὲ ὑγροῖς φώκη· ὅθεν καὶ κεραυνοφόρος ὁ ἀετὸς καὶ Διὸς εἶναι νενόμισται. ἡ δὲ φώκη ὡς ἀπήμαντος ἐπιβολῇ κεραυνοῦ, μάρτυς ἡ πεῖρα ἀποδέδωκε· τῶν γὰρ νεῶν τὰ ἱστία, ἐν αἷς οἱ βασιλεῖς πλέουσι, φωκείοις εἴθισται ἀποδιφθεροῦσθαι δέρμασιν. οὐ πλέον δὲ πέντε ποδῶν κατακρύπτεσθαι κεραυνὸς πέφυκεν εἰς γῆν, ἐξωθούμενος ἄνωθεν· ὁ γὰρ ἀριθμὸς γηϊνώτατος. ἔστι δ' ὅτε καὶ ὑπ' αἰθρίῳ τῷ ἀέρι πίπτουσι κεραυνοί· ὅπερ εἰ συμβαίη, οὐκέτι τὸν ἐπὶ τοῖς ζῳδίοις ἥλιον ἢ ἑτέραν γοῦν τῶν ἐγνωσμένων δέοι ἑρμηνείαν τοῦ ἐσομένου θηρᾶσθαι, ἀλλ' αὐτόθεν ἀποφήνασθαι ἀνατροπὴν μὲν τοῖς κοινοῖς, ἀπώλειαν δὲ τῷ παντελεῖ χωρίῳ, ἐν ᾧ τοιοῦτό τι συμβήσεται. ἄλλην δὲ ἐκ τοῦ ἐναντίου ὁ Νιγίδιος ἐν τῇ τῶν Ὀνείρων ἐπισκέψει παραδίδωσιν ἐπὶ τοῖς κεραυνοῖς ἑρμηνείαν. φησὶ γὰρ πᾶσι μὲν καθόλου ἀπευκταίαν εἶναι τὴν τῶν σκηπτῶν φοράν, κἂν εἰ μὴ τυχὸν βλάπτοιεν, τοῖς δ' ὅναρ τοντὶ πάσχειν φανταζομένοις αἰσιώτατον καὶ λαμπρᾶς τύχης προμάντευμα.*

46. *Ἄξιον δὲ ζητῆσαι τίνος χάριν ἐπὶ μὲν τῶν ἄλλων διοσημειῶν τὴν σελήνην, ἐπὶ δὲ μόνων τῶν κεραυνῶν τὸν ἥλιον ἡ*

7 *ἐπιβουλῇ* C. 8 *ἐν οἷς* C. 9 *φωκίοις ἤθισται* C.
10 *κεραυνοῦς* C. 14 *ἀποφήβασθαι* C. an voluit *ἀποφοιβάσαι*?
17 *ἐπισκίψει* C. 22 *τῆς σελήνης* C.

45. In universum autem illaesae servantur neque omnino feriuntur fulminibus ex iis quae terra gignuntur laurus et ficus: nam soli peculiares sunt. unde laurum quoque gratam fabulantur Apollini, hoc est soli; et in leonem mutatus, quasi dicas in ignem, laurum non laedit. e volucribus aquila, ex marinis vitulus: ob hoc aquila armiger fulminis Iovisque peculiaris esse creditur. minime laedi phocam percussione fulminum testis experientia demonstravit: ita vela navium, quas imperatores conscendunt, pellibus phocarum induci consuerunt. nec unquam usuvenit quinque altius pedibus descendere in terram fulmen supernе elisum: est enim is numerus maxime terrester. interdum quoque sereno die cadunt fulmina; quod si accidit, non amplius solem in signis aut aliquam comprobatam interpretationem rei futurae scrutari oportet, verum extemplo rei publicae eversionem, ac regioni universae, ubi eiusmodi quid acciderit, interitum denuntiare. contra PNigidius Disputatione de somniis aliam prodit fulminum explicationem. ait enim omnibus omnino fulminum ictum esse abominandum, etiamsi forte nihil laedant: auspicatissimum contra esse iis qui per quietem viderint, et splendidae fortunae omen.

46. Iam vero operae pretium est disquirere quam ob rem in aliis prodigiis lunam, in fulminibus solis solem observitarit antiquitas. at

ἀρχαῖοις ἐπετήρησεν. εἴρηται τοίνυν πολλαχῶς ὡς πάσης τῆς ὑποιδήποτε τυγχανούσης θερμῆς φύσεως καὶ πυρὸς ταμίας καὶ αἴτιος ἥλιός ἐστι, καὶ διαφερόντως ἐκείνου τοῦ πυρὸς λέγω τοῦ κατ' ἐνέργειαν δραστικοῦ, καὶ ἐν ᾧ οὐδεμίαν ἡ σελήνη μετουσίαν ἔχειν φαίνεται. τί γὰρ κεραυνοῦ δραστικώτερον ἢ πυρωδέστερον; ἐν ᾧ τοσαύτη τίς ἐστιν ἡ κατὰ φύσιν ὀξύτης ὡς μηδὲ ἓν σῶμα παντελῶς ὑπομένειν αὐτόν· ὥστε ἐπειδὴ μὴ μόνον ἐστὶν ὑγρότητος ἔξω, ἀλλὰ καὶ πάσης τῆς ὁπωσδήποτε ὑποπιπτούσης αὐτῷ φύσεως σκεδαστής, δῆλον ὅτι ἡ σελήνη ἀλλοτρία κεραυνῶν ἐστί. καὶ γὰρ ὑγρὰ τὴν φύσιν καὶ ἐπὶ τῆς ὑγρᾶς τεταγμένη ζώνης, εἰκότως τε οὐ δυναμένη τὰ διὰ τῶν κεραυνῶν προλεγόμενα δηλῶσαι. ὥστε ἥλιος αἴτιος κεραυνῶν. ταύτῃ Ζεὺς ὁ αὐτὸς καὶ Ἥλιος τοῖς μυθικοῖς λέγεται, καὶ κεραυνὸν ἐπιφέρεται, καὶ ἀετὸς ὑπηρέτης αὐτῷ. καὶ ὅσα κατὰ φύσιν θερμά, καὶ ἡλίῳ προσφυῆ. ὀρθῶς οὖν τὸν ἥλιον οἱ ἀρχαῖοι, καὶ οὐ τὴν σελήνην, ἐπὶ τῆς τῶν κεραυνῶν θεωρίας ἐπετήρησαν. ἐκείνοις τοίνυν ἀκολουθοῦντες τὰ εἰρημένα αὐτοῖς καθ' ἑρμηνείαν ἐροῦμεν.

47. Ἥλιος κριῷ. κεραυνὸς ἐνσκήπτων ἐπὶ γῆς εἰ μὲν δένδρῳ ἐμπέσοι, τηρεῖν δεῖ ποίῳ τούτῳ· οὐδὲ γὰρ πλανᾶσθαι πέφυκε καταφερόμενος, ἀλλὰ ῥοιζηδὸν καὶ κατ' εὐθεῖαν καὶ οὕτως ἁπλανῶς καταφέρεται. καὶ εἰ μὲν ἀμπέλου καθάψεται, ἐλάττωσις ἔσται τοῦ οἴνου, εἰ δὲ ἑτέρου τινὸς τῶν δένδρων, τὴν ἐξ

1 sic ambo: verti ac si esset πολλαχοῦ. H. 2 sic utrobique: fort. ὁπουδήποτε. H. κἂν C. 10 ὑγρῆς C. 11 δηλώσει C. 20 ῥυζηδόν C.

enim demonstratum est compluriens solem omnis, ubiubi sit, naturae calidae ignisque dispensatorem esse atque causam, et praesertim illius ignis, inquam, actu efficientissimi, quocum lunam consortium habere nullum constat. nam quid efficientius fulmine? quid ignitius? in quo tanta est natura celeritas ut nullum omnino corpus perferre id queat; quapropter, cum non modo sit ab humore remotum, sed omnem quoque qualemcunque naturam obviam sibi factam dissipet, patet a fulminibus alienam esse lunam. etenim humida suapte natura et in cingulo humido collocata, ideo augurium fulgurale declarare nequit. contra sol fulminum causa. quocirca idem a mythicis et Iuppiter et Helios appellatur, fulmenque gestat, eiusque ministra aquila est. et quaecunque res natura sunt calidae, eae item soli sunt cognatae. recte igitur solem, non lunam, in fulgurali disciplina observaverunt veteres. quos consequentes eorum dictata interpretatione conversa hic subiiciemus.

47. Sol ariete. fulmen terrae illisum si inciderit, arborem servari oportet quaenam ea sit: non enim vagari solet delabens, sed cum stridore, recta, atque adeo absque erratione, defertur. quodsi vitem tangit, imminutio erit vini, sin aliquam arborem, penuriam frugum illius

ἐκείνου καρπῶν ἔνδειαν παραδηλοῖ. εἰ δὲ ἐπὶ ποταμὸν κατενεχθείη, ἐνδεὴς μὲν ὁ ποταμὸς ὑδάτων ἔσται, ὅσον πρὸς αὐτόν, ὄλεθρος δὲ τοῖς ἐν αὐτῷ νηχομένοις ἐπιγενήσεται. εἰ δὲ ἐπὶ θαλάσσῃ, τὸν τόπον ἐπιτηρεῖν δεῖ καθ' οὗ φέρηται ἡ φλόξ· πάντως γὰρ ἐκεῖνος ὁ τόπος, καὶ οὐκ αὐτὸς μόνος ἀλλὰ καὶ τὸ περὶ αὐτὸν κλῖμα, ἢ πολέμῳ ἢ πειρατῶν δόλοις ταραχθήσεται. εἰ δὲ ἐν πολιτικῷ ἢ δημοσίῳ κατενεχθείη τόπῳ, ἐμφυλίους τε πολέμους καὶ στάσεις καὶ τοῦ πολιτεύματος ἀνατροπὴν δηλοῖ· αὐτὸν δὲ τὸν τόπον, καθ' οὗ ἐξαιρέτως φέρηται, οὐκ ἀλλοιώσει μόνον, ἀλλὰ καὶ τὴν ἐν αὐτῷ τύχην παντελῶς ἀναβάλῃ. εἰ δὲ ἐπὶ τείχους πέσῃ, βλάψῃ δὲ μηδέν, πολεμίων μὲν ἔφοδον σημαίνει· εἰ δὲ διαφθείρῃ τοῦ τείχους μέρος τι, σκοπητέον κατὰ ποίου τινὸς μέρους καὶ πρὸς ποῖον ἀφορῶντος κέντρον τὸ τῆς διοσημασίας γένοιτο· ἐξ ἐκείνου γὰρ πάντως τοῦ κλίματος πολεμίους ἀναμένειν δεῖ κατὰ τοῦ τείχους. εἰ δὲ καθ' ἱεροῦ πέσῃ κεραυνός, τοῖς ἐνδόξοις τοῦ πολιτεύματος καὶ τοῖς περὶ τὴν βασιλείαν αὐτὴν ὁ κίνδυνος ἐνακήψει. εἰ δὲ κατ' ἀγαλμάτων κατενεχθῇ, ποικίλας καὶ ἐπαλλήλους τὰς συμφορὰς τοῖς πράγμασιν ἀπειλεῖ· εἰ γὰρ χαρακτῆρες εἰδεῶν τινῶν καὶ κόσμια πόλεων τὰ ἀγάλματα ὑπωπτεύθη τοῖς παλαιοῖς, ἁρμὸς τοῖς πράγμασιν ἡ περὶ αὐτὰ ὕβρις.

48. Ἥλιος ταύρῳ. ἐὰν κεραυνὸς κατενεχθείη ἐπὶ καρποφόρον δένδρον, εὐκαρπίαν τοῖς κατ' αὐτὸ καρποῖς σημαί-

1 ἐκείνων C. 4 legendum aut φέρεται, ut est in R, aut αν φέρηται. H. 9 v. ad vers. 4. 10 πέσει C. 11 πολέμων C. 21 κατενεχθῇ ἢ ἐπὶ C.

declarat. si in flumen defertur, flumen per semetipsum aqua egebit, innantes exitio interibunt. sin in mare, locum animadverti oportet quo flamma rapitur: omnino enim locus ille, neque is solus sed regio quoque circa ipsum, aut bello aut piratarum insidiis turbabitur. si in locum publicum aut communem delabitur, bella civilia, seditiones, eversionem rei publicae declarat: locum ipsum, in quem praecipue fertur, non immutabit modo, sed etiam fortunam eius prorsus disturbabit. quodsi murum tetigerit, nec nocuerit quicquam, hostium adventum significat: sin pars muri vitium fecerit, observandum qua in parte, quamque templi auguralis regionem spectante, prodigium factum sit: ex hoc enim tractu hostes contra murum exspectari utique oportet. locum consecratum si fulmen petit, illustribus rei publicae iisque qui imperium ipsum tractant periculum iniicietur. si in statuas delabitur, varios continuosque casus rebus minatur. nam si quidem velut signa specierum ornamentaque civitatum statuas observaverunt veteres, pro diro in rem publicam omine habetur earum dehonestamentum.

48. Sol tauro. fulmen si defertur in arborem fructiferam, laetum proventum frugum, quas fundit, significat: at saeclo bucero damnosa

νει· τῷ δὲ γένει τῶν βοῶν ἐπιβλαβὲς τὸ σημεῖον τοῦτο. εἰ δὲ ἐπὶ ποταμὸν κατενεχθείη ὁ κεραυνός, λοιμώξει τὸ ὕδωρ καὶ τρόμος ἐπιγενήσεται τοῖς σώμασι τῶν ἀνθρώπων, ἀνατροπὴ δὲ τῶν ποταμίων ἰχθύων γενήσεται. εἰ δὲ εἰς θάλασσαν κατὰ τόδε καιροῦ κατενεχθείη ὁ κεραυνός, ἀγαθὰ σημαίνει τοῖς πλησιοχώροις· οἱ γὰρ πειρατεύοντες χείρω πράξουσιν. εἰ δὲ ἐπὶ τείχους κατενεχθείη, οὐ καλὸν τοῖς βοσκήμασιν· ἢ γὰρ διαφθαρήσονται ἢ ὑπὸ πολεμίων διαρπαγήσονται. εἰ δὲ καὶ μέρος τοῦ τείχους τῇ βολῇ τοῦ κεραυνοῦ καταφθαρείη, ταῖς νομαῖς τῶν χωρίων ἔσται λοιμὸς καὶ ἔφοδος πολεμίων οὐκ εὐχερὴς εἰς ἄμυναν, καὶ ἄλλαι δέ τινες βλάβαι κάρτα σφαλεραὶ προσγενήσονται. εἰ δὲ κατὰ τὸν καιρὸν τοῦτον ἐπὶ ἱερὸν ὁ κεραυνὸς κατενεχθείη, χωρίων δημοσίας ζημίας ἀπειλεῖ· δεῖ δὲ ὅμως τοὺς ἐφόρους τῶν τοιούτων ἱερῶν θεραπεύειν εἰς τὸ ἀποστρέψαι τὰ ἀπειλούμενα. εἰ δὲ κατ' ἰδιωτικῆς ἢ βασιλικῆς οἰκίας κατενεχθείη κεραυνός, συμφορὰς ἀναισίους παραδηλοῖ τοῖς κεκτημένοις.

49. Ἥλιος διδύμοις. κατὰ τὴν ἐπιτολὴν ταύτην εἰ κεραυνὸς ἐπὶ δένδρον καρπίμου κατενεχθείη, βλάψει τοὺς γεωργικοὺς καὶ τὰ καρποφόρα δένδρα, οὐχ ἥκιστα δὲ ποταμοὺς καὶ πηγάς· λοιμώξει δὲ τὸ ὕδωρ ὡς πᾶσαν καταφθεῖραι ἡλικίαν. εἰ δὲ ἐπὶ θαλάσσης, πολεμίων ἔφοδον ἀπειλεῖ· τὸ δὲ πολὺ μέρος ἢ νόσῳ φθαρήσεται ἢ πολεμίοις παραδοθήσεται, ὡς σφόδρα μετρίους ἀπολειφθῆναι. εἰ δὲ νότου πνέυντος κατὰ δημοσίου χωρίου κατε-

6 οὐ χειρωπράξουσιν C. 8 βουλῇ C.

est haec significatio. si in flumen delabitur fulmen, tabo aqua corrumpetur, tremor corpora hominum invadet, piscium fluviatilium erit subversio. si sub id tempus in mare se praecipitat fulmen, fausta accolis portendit: nam qui piraticam faciunt, deteriore erunt statu. si in murum defertur, inauspicatum pecudibus: nam aut interibunt aut ab hostibus rapientur. sin vero et pars muri iactu fulminis disturbatur, gregibus agrorum lues impendet hostiumque incursus haud facilis ad repellendum: accedent alia detrimenta admodum noxia. sub idem tempus si in locum consecratum defertur fulmen, calamitates publicas agris minitatur: sed oportet qui eiusmodi fanis praesint ut procurent quo prodigia averruncentur. si in privatum aut augustum aedificium ruit fulmen, calamitates inauspicatas possessoribus obnuntiat.

49. Sol geminis. circa hunc exortum, si fulmen in arborem fructiferam delabitur, damnosum erit agricolis. arboribus fructuosis, nec minime fluviis fontibusque: aqua tabo inficietur, ut omnem pubem vitiatura sit. sin in mare, adventum hostium minatur: accolarum maior pars aut morbo interibit aut hostibus tradetur, ut admodum pauci superstites futuri sint. si austro spirante in locum publicum defertur fulmen,

νεχθείη κεραυνός, παντελῆ φθορὰν ἀνθρώποις ἀπειλεῖ· δύο δέ τινες κατὰ τῆς βασιλείας ἐπαναστήσονται, ὡς μερισθῆναι τὴν βουλὴν καθ' ἑαυτήν· μικρὸν δὲ ὕστερον ἑκάτερος αὐτῶν ἀποφθαρήσεται, πολλοὶ δὲ χάριν ἐκείνων κινδυνεύσουσιν. εἰ δὲ ἐπὶ τείχους κατὰ τόδε καιροῦ σκηπτὸς ἐκπέσῃ, τὰ αὐτὰ σημαίνει· πόλεμοι γὰρ ἔσονται, ἀλλ' οὐκ εὐτυχεῖς τοῖς πολεμίοις. ἐπισημήνασθαι δὲ χρεὼν ἐκ ποίου κλίματος τοῦ ἀέρος ἐκπίπτοι ἡ φλόξ· ἐπ' ἐκείνου γὰρ φυλακῆς καὶ ἀσφαλείας δέον· καὶ γὰρ ἔξ αὐτοῦ πολεμίων ἔφοδος ἔσται.

Ἥλιος καρκίνῳ. εἰ κατὰ τὴν ἐπιτολὴν τοῦ καρκίνου κεραυνὸς ἐπὶ ὕλην κατενεχθείη, μετριώτερον ἔσται τὸ καυσῶδες τοῦ καιροῦ, λειψυδρία δὲ ἔσται. εἰ δὲ ἐπὶ θαλάσσης κατενεχθείη, στόλοις πολεμίων καὶ ναυμαχίαις ταραχθήσεται τὸ κλῖμα, ἀλλ' οὐκ ἐπιμενεῖ χρόνῳ, ἔσται δὲ κρείττονα τὰ πράγματα, καὶ οἱ πολέμιοι ἡττηθήσονται, καὶ ὁ στόλος αὐτῶν καταβυθισθήσεται. εἰ δὲ κατὰ δημοσίου τόπου κατενεχθείη τὸ πῦρ, θηρία ἑρπετὰ τοῖς κτήνεσιν ἐνοχλήσουσι, καὶ οὐχ ἥκιστα ἀνθρώποις· βιαιοτέρα δὲ ἔσται ἡ ἐξ αὐτῶν βλάβη τῷ τοῦ ἀέρος βαρεῖ καταστήματι θερμαινομένη. εἰ δὲ ἐπὶ τείχους κατενεχθείη, ἐμπρησμοὺς σημαίνει· καὶ πόλεμος δὲ κινηθήσεται οὐκ εὐτυχὴς τοῖς πράγμασιν. εἰ δὲ παντελῶς καταφθαρείη τῷ σκηπτῷ τὸ τεῖχος, ἐμπρησμοὺς κατὰ τῶν ἀναγκαίων τῆς πόλεως μερῶν προσδοκητέον, καὶ ἐμπρησμοὶ

10 εἰ] ἡ C. et 347 11. 16 δημοσίους τόπους ambo: corr H coll. 346 4, 18 αὐτῷ C.

exitium summum hominibus minatur: duo in imperium surgent, bipartitis amplissimi ordinis studiis; paulo post ambo interibunt; eorum causa multi in periculum venient. sub id tempus si fulmen impetu in murum adigitur, eadem portendit: nam bella erunt, at hostibus minime secunda. notandum quoque ex qua regione aëris elisa sit flamma: quippe custodia opus est et cautione ex parte illa, quod inde impetus hostilis effervescet.

Sol cancro. si circa cancri exortum in silvam defertur fulmen, tolerabilior erit calor tempestatis, sed tamen aquae penuria. sin in mare delabitur, classibus hostium praeliisque navalibus turbabitur plaga illa, sed absque diuturnitate: nam incipiet res melius ire, hostes fundentur, classis eorum demergetur. sin in locum publicum defertur flamma, animalia serpentia iumenta, nec minime homines, vexabunt; eritque noxa ab illis illata immanior utpote incensa gravi aëris statu. si in murum ruit, incendia significat, bellumque commovebitur haud prosperum rei publicae. si fulminis impetu prorsus destruitur murus, incendia in capitalibus urbis partibus exspectanda; quae incendia dolis insidiisque

δόλοις καὶ ἐπιβουλαῖς γενήσονται, ἕψεται δὲ καὶ πόλεμος οὐ μικρός, καὶ βλάβη γενήσεται τοῖς τόποις.

50. Ἥλιος λέοντι. κατὰ τοῦτον τὸν καιρὸν εἰ κατενεχθείη κεραυνὸς καθ' οἱονδήποτε τόπου ἢ μέρους ἢ ποταμοῦ ἢ θαλάσσης, ὄλεθρον τοῖς βασιλεῦσι καὶ τοῖς ἐν δυναστείαις σημαίνει· καὶ οὐκ ἔσται τις διαφορὰ περὶ τούτου. εἰκότως τε κοιναὶ συμφοραὶ τοῖς δημοσίοις βλαστήσονται· συγκινδυνεύσειν γὰρ εἰκὸς αὐτοὺς τοῖς βασιλεῦσι. καὶ οὐκ ἔσται ὁ νικῶν ἐν τοῖς μαχομένοις, ἀλλὰ καθολικὴ φθορὰ αὐτῶν τε τῶν ἐν δυνάμει καὶ οὐχ ἥκιστα τῶν ὑπὲρ αὐτῶν ἑνισταμένων ταῖς μάχαις. καὶ τὸ δὴ πάντων σχετλιώτερον, καταφθαρήσονται καὶ αἱ περιουσίαι τῶν πολλῶν, καὶ αἱ πόλεις πυρίλεκτοι ἔσονται.

Ἥλιος παρθένῳ. ἡλίου δὲ ἐπὶ τὴν παρθένον ἰόντος εἰ κατενεχθείη κεραυνός, φθορὰν γυναικῶν ἀπειλεῖ σωφρόνων, πτῶσιν δὲ καὶ αὐτῇ τῇ βασιλίδι καὶ τοῖς αὐτῆς τέκνοις. ἐλάττωσις δὲ ἔσται τῶν δήμων, ἀποτεύξεται δὲ καὶ ἡ ἄμπελος· ταῖς δὲ παρθένοις καὶ γυναιξὶ γενήσονται συμφοραὶ ὡς καὶ ὑπὸ πολεμίων ἁλῶναι.

Ἥλιος ζυγῷ. ἐὰν δὲ ζυγῷ ὁ ἥλιος γένηται, εἰ συμβῇ κεραυνὸν καταβληθῆναι, πᾶσα ἀδικία καὶ ἁπλησταία καὶ φιλαρχία κατακρατήσει τῶν πραγμάτων, ὡς καὶ περὶ τὰ θεῖα αὐτὰ τὰ τῆς ὕβρεως ἀνενεχθῆναι. ἀπορριφήσονται δὲ ὑπὸ τῶν βασιλέων οἱ

1 δόλοις δὲ οὗτοι καὶ R. 6 ἔστιν C. 7 δημίοις C. num δήμοις? βλασθήσονται codices. 11 σχεταιότερον C. 15 αὐτῆς] αὐτοῖς C. 21 περὶ] πρὸς H. 22 ὑπὸ H: codices ἀπὸ.

excitabuntur. subsequetur bellum haud exiguum, et detrimentum regionibus inferetur.

50. Sol leone. sub id tempus si fulmen in quemlibet locum partemve sive fluminis sive maris ruit, exitium significat regibus iisque qui potestatem habent; nec poterit id in controversiam vocari. nec mirum si universae calamitates publicis hominibus subnascentur: nam, ut fit, discrimen una cum imperantibus subibunt. nec tamen victor erit inter dimicantes, sed fiet interitus universus cum ipsarum potestatum, ac non minime eorum qui pro illis depugnaverint. et id quod omnium miserrimum, plebis census diruentur, civitatesque concident incendio conflagratae.

Sol virgine. sol ubi ad virginem accessit, si defertur fulmen, minatur exitium pudicarum mulierum, casumque ipsi Augustae eiusque liberis. eritque deminutio tribuum; vitis spem fallet; calamitates affligent virgines ac matronas, adeo ut vel in potestatem hostium venturae sint.

Sol libra. sole libram ingresso si accidit ut fulmen delabatur, iniquitas, avaritia, ambitus cuiusquemodi invadent rem publicam, adeo ut ad ipsas religiones iniuria perventura sit. cives boni a principibus

χρηστοὶ τοῦ πολιτεύματος. τὰ δὲ μέτρῳ ἢ σταθμῷ ἀποδιδόμενα οὐχ ἕξει τὸ δίκαιον. πάντων δὲ βαρυτέρα ἔσται ἡ περὶ τὰ δημόσια τελέσματα σπουδή, οἵ τε νόμοι καταφρονηθήσονται, καὶ οἱ δῆμοι ἐξ ἀλογίας ταραχθήσονται, καὶ ἐκ παντὸς τρόπου καὶ ἡ τοῦ θεοῦ διεχθήσεται ὀργή.

51. Ἥλιος σκορπίῳ. ὅταν δὲ σκορπίῳ γένηται, εἰ κατὰ δένδρου κατενεχθείη κεραυνός, πλοῦτον μὲν τοῖς κυρίοις τοῦ δένδρου ἐπαγγέλλεται, τὸ δὲ γεωργικὸν ἐλαττωθήσεται. ἐπικίνδυνος δὲ καὶ ὁ πλοῦς ἔσται, καὶ συχνοὶ ἐπὶ τῆς θαλάσσης ἐκπεσοῦνται κεραυνοί, ναυάγιά τε πολλὰ συμβήσεται. εἰ δὲ κατὰ δημοσίου τόπου ἐνσκήψει κεραυνός, νεανίας ἀναιδὴς τῆς βασιλείας ἐπιλάβηται, ἀσώτων καὶ διεφθορότων συντριχόντων αὐτῷ. εἰ δὲ κατὰ τειχῶν κατενεχθείη κεραυνός, πολέμους ἐκ τῶν πλησιοχώρων καὶ φθορὰν τῇ νεολαίᾳ δεδιέναι χρή. οἱ δὲ πολέμιοι μυρίοις εἰσπεσοῦνται κακοῖς, ὡς εὐκταῖον αὐτοῖς νομισθῆναι τὸν θάνατον.

Ἥλιος τοξότῃ. ὅταν δὲ ἥλιος ἐπὶ τοξότην γένηται, εἰ κατενεχθείη κεραυνὸς ἐπὶ ὕλην, ἐμπρησμοὺς ταῖς ναυσὶν ἀπειλεῖ. εἰ δὲ ἐπὶ ποταμοῦ κατενεχθείη, πολέμους καὶ ναυμαχίας σημαίνει, ὡς ἐρήμους πολλοὺς ἐκ τῆς τοιαύτης ἐφόδου γενέσθαι. κίνησιν δὲ οὐχ ἥκιστα ἀπειλεῖ Περσῶν, καὶ ἔνδειαν ταῖς πολιορκουμέναις ὑπὸ πολεμίων πόλεσιν. εἰ δὲ πρὸς ταῖς ἡλίου δυσμαῖς σκηπτὸς κατενεχθείη, ἐμφυλίους σημαίνει μάχας· ἀλλ' οὐκ εἰς χρόνον ἐκταθήσεται τὰ τῆς διχονοίας, κρείττονα δὲ ἔσται τὰ πράγματα,

9 ἁπλοῦς C. 15 εὐκτέον C.

removebuntur re publica. quae mensura et pondere divenduntur, iustum non habebunt. omnium autem gravissimum erit vectigalium publicorum acerba exactio: contemnentur leges, tribus populi Romani dementia turbabuntur; omni modo numinis ira manifestabitur.

51. Sol scorpione. sole scorpionem ingresso si in arborem defertur fulmen, opulentiam pollicetur dominis arboris, sed agricultura imminuetur. periculosa erit navigatio, crebris mare fulminibus impetetur, naufragia multa fient. quodsi locum publicum ruens tetigerit fulmen, adolescens protervus principatum invadet, concurrentibus ad eum perditis et contaminatis. si in muros defertur fulmen, bellum e vicinis et clades pubi metuenda. verum hostes in mala infinita incident, ut iam mors illis exoptanda videatur.

Sol sagittario. sole sagittarium ingresso si fulmine silva tangitur, navibus incendium minitatur. fulmen si in flumen defertur, bella pugnasque navales significat, ut ex hac incursione multi orbi futuri sint. nec minime motum Parthicum minatur, penuriamque civitatibus ab hostibus obsessis. quodsi solis occasum versus vis fulminis defertur, pugnas civiles significat: nec tamen in tempus dissensio producetur, inci-

αὐτῶν τῶν αἰτίων τῆς στάσεως ἀπολλυμένων, ὥστε τὸ πολίτευμα εἰρήνης ἀπολαῦσαι.

52. *Ἥλιος αἰγόκερῳ. κατὰ τόδε καιροῦ κεραυνὸς καταφερόμενος ἐφ' ὃν ἂν κατενεχθείη τόπον, γενικὴν ἱλαρίαν σημαίνει, εἰρήνην τε ταῖς πόλεσι καὶ εὐκαρπίαν τοῖς ἀγροῖς ἔπαινόν τε τοῖς βασιλεῦσι τῆς πολιτείας.*

Ἥλιος ὑδροχόῳ. κατὰ δὲ τὸν καιρὸν τοῦτον εἰ κεραυνὸς κατενεχθείη, ἐκδρομὰς τῶν ποταμῶν ἀπειλεῖ καὶ ἀφανισμοὺς τῶν χωρίων. τὸ δὲ θέρος καυσώδες ἔσται, καὶ ἐλάττωσις οἴνου καὶ ἐλαίου, ὡς πολλοὺς ἐκ τῆς ἐνδείας μετανάστας γενέσθαι.

Ἥλιος ἰχθύσιν. ὅταν δὲ ἰχθύσιν ἥλιος γένηται, εἰ κεραυνὸς κατενεχθείη, ζάλην τῇ θαλάσσῃ ἀπειλεῖ, ναυαγία δὲ ἔσται βαρεῖα, καὶ ἀνατροπὴ μὲν τῶν ἰχθύων, ὀχληθήσεται δὲ οὐδὲν ἧττον ἡ θάλασσα ἀπὸ πειρατῶν. νέος δέ τις εὐγενὴς στρατευσάμενος ἀπολέσει τὸ πειρατικὸν καὶ ἔνδοξος ἐπὶ τὴν νίκην γενήσεται. καὶ εἴρηται μὲν πρότερον ὡς οὔτε ἐν Σκυθίᾳ οὔτε ἐν Αἰγύπτῳ κεραυνοὶ καταφέρονται· εἰ δὲ τυχὸν κατενεχθείη κατὰ τόδε καιροῦ ἐπὶ τὰ εἰρημένα κλίματα κεραυνός, ἀγαθὰ τοῖς ἐκεῖ σημαίνει.

ΠΕΡΙ ΣΕΙΣΜΩΝ.

53. *Δήλων οὐσῶν τῶν εἰρημένων τοῖς πάλαι φιλοσοφήσασιν αἰτιῶν ἐπὶ τοῖς περὶ τὴν γῆν πάθεσι, μίαν ἐκ πασῶν, τὴν*

13 vide supra p. 344 3. H. 14 sic ambo: malim *ὑκό*. H.
15 fort. *ἐπὶ τῇ νίκῃ*. H.

pietque res melius ire, ipsis turbarum auctoribus oppressis, ut pace fruitura res publica sit.

52. Sol capricorno. id temporis fulmen si in quemlibet locum accidit, laetitiam universam significat, pacem civitatibus, fertilitatem agris, laudem principibus rei publicae.

Sol aquario. sub id tempus si fulmen defertur, eluviones fluminum minatur et pagorum interitum. aestas torrida erit, diminuenturque vinum et oleum, adeo ut multi propter inopiam extorres profugituri sint.

Sol piscibus. sole pisces ingresso si fulmen deiicitur, tempestatem mari minitatur, eruntque naufragia dira et piscium subversio, nec minus mare a praedonibus infestabitur. nobilis tamen adolescens bello illato tollet haec latrocinia, et victoria illustrabitur. demonstratum est superius neque in Scythia neque in Aegypto deferri fulmina: tamen id temporis si forte delabuntur in hos tractus, fausta habitatoribus significant.

DE TERRAEMOTIBUS.

53. Cum nota sint quae de causis affectuum terrae veteres memoraverunt philosophi, unam ex omnibus adhuc admittens, ignem subter-

περὶ τοῦ καταγείου πυρός, τέως ἀποδεχόμενος, ἐπεὶ καὶ τοῖς τόποις, ἐν οἷς συνεχῶς σάλοι συμβαίνουσιν, οἶδα γενόμενον ἐμαυτόν, ὀλίγα ἅττα περὶ τῶν ὄψεσιν αὐταῖς ὑποπεσόντων ἡμῖν ἀφηγησόμεθα. καὶ γὰρ τὸ πῦρ, διεργαζόμενον καὶ ἐξαραιοῦν τὴν ἐν βάθει γῆν, τοῦτὶ παρασκευάζει συμβαίνειν. ἢ ἀμέλει τὰ πλησιάζοντα τοῖς ἀναφυσήμασι καὶ ταῖς τῶν θερμῶν ἀναβολαῖς ὑδάτων πυκνότερον σείεται, οἷα τὰ περὶ τὴν Φρυγίας Λαοδίκειαν καὶ τὴν παρ' αὐτῇ Ἱερὰν πόλιν καὶ τὴν καθ' ἡμᾶς Φιλαδέλφειαν, καὶ καθ' ὅλου τὴν ἐπὶ τάδε Ἀσίαν, καὶ τὰ πλεῖστα δὲ τῆς πρὸς δύνοντα ἥλιον Εὐρώπης, Σικελίαν λέγω καὶ Ἰταλίαν. καὶ γὰρ ἡ τῶν σεισμῶν γένεσις πνεύματός ἐστι ξηροῦ διὰ σπραγγώδους φθαρτοῦ ** πρώτη μὲν καὶ μεγίστη ἡ τοῦ καταγείου πυρὸς ἐξαραίωσις, δευτέρα δὲ ἡ τῆς θαλάσσης εἰς τοὺς σπραγγώδεις τόπους ἐπιδρομή. συνεργεῖ δὲ καὶ πολυομβρία χειμῶνος, καὶ θέρους ἀνομβρία· ἡ μὲν γὰρ πιλοῦσα τὴν γῆν καὶ εἰς τὸ βάθος ἀποθουμένη τὸ πνεῦμα ἀρχὴν αὐτῷ θλίψεως παρασκευάζει, ἡ δὲ ἐπισπωμένη καὶ σύρουσα. (54) τῶν δὲ σεισμῶν οἱ μέν εἰσιν ἐπικλίνται οἱ δὲ βράσται, ἐπικλίνται μὲν οἱ κυματηδὸν ἐπὶ τὰ πλάγια σείοντες, βράσται δὲ οἱ τινάσσοντες καὶ σείοντες ἄνω καὶ κάτω. εἰσὶ δ' αὐτῶν οἱ μὲν ῥῆκται, οἱ δὲ σεισταὶ μόνον, οἱ δὲ ἰζηματίαι, καὶ σεισταὶ μὲν οἱ τρόμον τινὰ τῆς γῆς ἢ καὶ σύμπτωσιν τῶν δεδο-

1 malim κἂν. H. 5 ᾗ H: codices ἢ. 7 σεῖται C. 12 lacunam hic neuter codex indicat: puto tamen aut deesse aut depravatum aut certe transpositum esse aliquid. H. 15 πηλοῦσα C. 16 πνεῦμα καὶ ἀρχήν C. 17 ἐπικλινίαι CR. corr H ex Aristot. de mundo 1 373 ed. Casaub. et Apuleio ib. 730 ed. Delph. 20 εἰαζηματίαι C. 21 ἢ] οἱ C.

raneum, quandoquidem in regionibus, ubi crebro commotiones fiant, versatum me memini, de iis quae oculis ipsis usurpavimus pauca quaedam exponemus. ignis, terram in profundo destruens ac resolvens, ea ut fiant efficit. quare profecto loca propinqua evaporationibus scatebrisque fontium calidorum quassantur crebrius, velut vicina Laodiceae Phrygiae, Hierapoleos quae iuxta est, Philadelphiae oppidi nostri, et omnino cum tractus ille Asiae, tum plurimus Europae occidentalis, Siciliam dico et Italiam. nam concussionum causa spiritus est sicci per cavernosum ** prima ac maxima extenuatio quae fit per ignem subterraneum, altera causa est maris in loca cavernosa irruptio. facit quoque ad rem pluvia, hieme si cadit multa, aestate si nulla. illa stipans humum, pessumque detrudens spiritum, initium dat compressionis: siccitas sursum trahendo eliciendoque item movet. (54) terraemotuum alii appellantur epiclintae, quasi in transversum se agentes, alii brastae, a similitudine aquae effervescentis, epiclintae, qui fluctuum modo in transversum movent, brastae, qui sursum deorsum quatiunt succutiuntque. sunt alii eorum rumpentes, alii concutientes solum, alii subsidentes,

νημένων ἐργαζόμενοι, ἰζηματίαι δὲ οἳ τοῖς κοιλώμασι τὴν ὑπερκειμένην εἰσκαθίζουσι γῆν, ῥῆκται δὲ οἱ τὰς καταπόσεις καὶ τὰ χάσματα διαπηδώσης τῆς γῆς ἀποσχίζοντες. ἔτι τῶν ῥηκτῶν οἱ μὲν πνεύματα ἀναβάλλουσιν, οἱ δὲ ὑγρὰ καὶ πηλόν, οἱ δὲ μυκήματα, ἐνίοτε μὲν σὺν σεισμῷ. ἐνίοτε δὲ καὶ ἄνευ τούτου πιλούμενον τὸ πνεῦμα καὶ μετεμπῖπτον βρόμον τε καὶ ψόφον ῥηγνυμένων τινῶν (ὡς εἰκὸς) ὑπὸ γῆν πετρῶν ποιεῖ. συμβαίνουσι δ' ὡς ἐκ πλείονος ἐν ἔαρι ἢ ἐν μετοπώρῳ, καὶ νηνεμίᾳ μᾶλλον ἢ ἀνέμων φορᾷ, περὶ πλειάδος καὶ ἀρκτούρου ἐπιτολήν.

Ταῦτα μὲν ἄν τις πρὸς τὰς φυσικὰς ἐννοίας ἀφορῶν εἰκονίσῃ· προνοίᾳ δὲ ὅμως καὶ ἐπισκοπῇ τῆς δίκης πάντα γίνεται. οὐ γὰρ εἰκῇ, ἐπεὶ τόδε τὸ πᾶν νόμοις μὲν φυσικοῖς συγκροτεῖται, προνοίᾳ δὲ θεοῦ καὶ λόγῳ σιγῆς ἐπέκεινα διοικεῖται. ὅθεν οὐ μόνον αὐτοὶ καθ' ἑαυτοὺς οἱ σεισμοὶ βλάπτουσι τοὺς καθ' ὧν συμβαίνουσιν, ἀλλὰ μὴν καὶ ἄλλων πόρρω που τόπῳ τε καὶ χρόνῳ μεριζομένων γίνονται μηνυταὶ οὐ μετρίων κακῶν. ὅτι δὲ οὕτω καὶ οὐκ ἄλλως τὴν τυχηρὰν ὁ περὶ αὐτῶν λόγος φεύξεται σύμβασιν, ἐκ τῶν ὑποκειμένων γνῶναι δυνατόν. αὐτὸς γὰρ Βικέλλιος ὁ Ῥωμαῖος ἐκ τῶν Τάγητος στίχων (περὶ οὗ καὶ Ἀπουλήϊος ὕστε-

1 κυκλώμασι C. 2 εἰκαθίζουσι C. 5 πειλούμενον C. 6 μεταπίπτον R. 9 φθορᾷ C. 10 εἰκονίζεται S. fortasse scribendum εἰκονίσαι. H. 12 μόνοις CS. legendum aut νόμοις aut, ut habet R, λόγοις. H. 13 σιγῆς] num τύχης? δίκης? H. 15 τόπων τε καὶ χρόνων codices: corr H. 17 αὐτήν apud S.

concutientes, qui tremorem terrae ruinamve rerum quassatarum efficiunt; subsidentes, qui in cava humum superstratam detrudunt; rumpentes, qui voragines et hiatus dissiliente terra ducunt. porro ex rumpentibus alii spiritum eructant, alii humores et coenum, alii mugitus, cum quassatione nonnunquam. interdum quoque, absque hac, compressus agitatusque huc et illuc aër fremitum fragoremque fractorum quasi (ut videtur) sub terra lapidum edit. moventur terrae plerumque vere vel autumno, et caelo tranquillo potius quam spirantibus ventis, circa ortum vergiliarum et arcturi.

Atque istaec, rationes physicas respiciens, coniiciat aliquis: sed tamen providentia atque cura summae iustitiae omnia geruntur. nec sane fortuitu, quandoquidem hoc universum legibus naturalibus compositum est quidem, at consilio numinis mentoque silenti dehinc administratur. quocirca non solum terraemotus ipsi per se damno sunt iis ubi contingunt, sed aliis quoque intervallo locorum et temporum procul disiunctis indicia fiunt non mediocrium calamitatum. disputationemque de iis hoc modo, neque aliter, evitare posse ne caeco casu rapi omnia dicantur, ex subiunctis intelligi licet. ipse enim Vicellius civis Romanus

ρον πλατεῖ καὶ ἐλευθέρου ποδὸς ἀφηγήσατο λόγῳ) ταῦτα ῥήμασιν αὐτοῖς καθ' ἑρμηνείαν φησίν.

55. Ἥλιος κριῷ. ἐὰν γένηται σεισμὸς ἐπὶ μὲν τῆς Ἀσίας, κακὸν τῇ Συρίᾳ τῇ κοίλῃ καὶ τῇ Παλαιστίνῃ καὶ τῇ Ἰουδαίᾳ ἀπειλεῖ. ἐπὶ δὲ τῆς Εὐρώπης Βρεταννίαις, Γαλατίαις, Γερμανίαις, Βαστάρναις. οἱ δὲ βασιλεῖς στρατεύσονται κατὰ τῶν πολεμίων, ἀλλ' οὐκ εὐτυχῶς· ἐλαττωθέντων γὰρ αὐτοῖς τῶν στρατευμάτων οἱ στρατηγοὶ ἄπρακτοι ἀναζεύξουσι. πλείων δὲ ἔσται ἐπὶ τῆς ἀνατολῆς κατ' ἀνδρῶν βλάβη παρὰ τὰς γυναῖκας, ὅτι ἄρρεν ζῴδιον ὁ κριός.

Ἥλιος ταύρῳ. εἰ σάλον συμβαίη γενέσθαι ἐπὶ μὲν τῆς ἄνω Ἀσίας, καὶ Αἰθίοψι τοῖς παρ' Ἰνδὸν ποταμὸν τῇ τε παραλίᾳ τῆς μικρᾶς Κυκλάσι τε καὶ Κύπρῳ ταῖς νήσοις ὄλεθρος ἐπικείσεται λοιμώδης, ὥστε καὶ αὐτὰ τὰ ὑποζύγια τῶν εἰρημένων χωρίων φθαρῆναι· ἐκπύρωσίς τε αὐτοῖς βαρεῖα καὶ λοιμώδης, ἐκτροπαί τε ποταμῶν ἄσχετοι συμβήσονται, καὶ ἐπὶ τοῦ θέρους λεῖψις τῶν ποταμίων ὑδάτων. ταῖς δὲ θήλεσι τῶν ζῴων, λογικῶν τε καὶ ἀλόγων, πλείων ἡ βλάβη, ὅτι θῆλυ ζῴδιον ὁ ταῦρος.

Ἥλιος διδύμοις. εἰ κίνημα γῆς ὁποιδήποτε συμβήσεται, ἐπὶ μὲν τῆς μεγάλης Ἀσίας Ὑρκανίαν, Ἀρμενίαν ἑκατέραν, Ἀδια-

1 ἐλευθέρῳ CS. πόδες ἀφηγήσαντο H. 6 βαστέρναις CR, βασταρνίαις S: vide supra p. 302 12. BASTARNARUM quoque est in titulo Tib. Plautii Silvani in Mausoleo celeberrimo Plautiorum prope Romam, lin. 18, apud Gruterum p. CCCCLIII. H. 9 βλάβη ἢ γυναίων R. 16 συμβήσονται add R. 19 εἰ — συμβήσεται om S. malim ὁπουδήποτε. H.

e Tagae carminibus (de quo Apuleius quoque posterius ampla oratione pedeque libero exposuit) haec, eisdem verbis translata, ait.

55. Sol ariete. terraemotus si fit in Asia, Coelesyriae, Palaestinae, Iudaeae malum minatur; si in Europa, Britanniis, Galliis, Germaniis, Bastarnis. principes in hostes expeditionem suscipient, sed improsperam: nam imminutis legionibus et nulla re gesta duces signa retro movebunt. maiusque erit per Orientem virorum detrimentum quam mulierum; quippe masculum signum aries.

Sol tauro. si per Asiam superiorem quassationem fieri contingit, et Aethiopibus ad Indum flumen et litori Asiae minoris Cycladibusque et Cypro insulis exitium ex contagione incumbet, ut vel ipsae veterinae dictarum regionum periturae sint; eritque in his partibus aestus gravis ac pestilens, eluviones fluminum immanes, et aestate defectio fluvialium aquarum. feminarum autem inter animantia, cum rationalia tum ratione destituta, maior erit pernicies, quia femineum signum est taurus.

Sol geminis. terraemotus ubicunque si accidit, in Asia maiore Hyrcaniam, Armeniam utramque, Adiabenen, in Africa seu potius Eu-

βηνήν, ἐπὶ δὲ Λιβύης ἢ μᾶλλον Εὐρώπης (ὅτι μέρος Εὐρώπης Λιβύη) Μαρμαρικὴν καὶ Νασαμωνίτιδα καὶ ἁπλῶς τὴν παρατεταμένην ταῖς μεγάλαις Σύρτεσι ξηρὰν ἔσχατος περιστήσεται λιμός, ὡς ἐξ ἀνάγκης τοῖς λογάσι τῶν χωρῶν ἐπαναστῆναι τὸ πλῆθος ἐξωθῆσαι αὐτούς. ἐκ δὲ τῶν συμφορῶν οὐδεὶς οὐδενὶ ἔσται πιστός, ἀλλ' οὐδὲ μητέρες τέκνοις. πτώσεις τε καὶ ἀφανισμοὶ οἴκων, ἐμπρησμοί τε βαρεῖς. τύραννος πρὸς τούτοις ὠμότατος ταράξει τοὺς νόμους, ὡς μηδὲ αὐτῶν τῶν ἱερῶν φείσασθαι. τὰ δὲ τῶν συμφορῶν τοῖς ἄρρεσι τῶν ζώων, καὶ λογικῶν διαφερόντως, πλέον ἐπιπεσεῖται, ὅτι ἄρρεν καὶ ἀνθρωποειδὲς τὸ ζῷον οἱ δίδυμοι.

56. Ἥλιος καρκίνῳ. εἰ σάλον ἐπιγενέσθαι συμβαίη καθ' ὁντινα οὖν τόπον, ἐπὶ μὲν τῆς ἄνω Ἀσίας τὰ προσεχῆ Πέρσαις ταραχθήσονται, νόσοι τε λοιμώδεις ἐμπεσοῦνται τοῖς σώμασι τῶν ἐν αὐτοῖς ἐνδόξων, ὡς ἐρήμους ἀρχόντων γενέσθαι τὰς πόλεις αὐτῶν. οἱ δὲ μετ' αὐτοὺς τῶν πραγμάτων ἀνθεξόμενοι, ψήφῳ τοῦ πλήθους καὶ αὐτῶν ἀρίστων ἀφελκύσουσι τὰ τέκνα τῶν γονέων, καὶ ἀποδῶνται μακράν. ἐπὶ δὲ τῆς κάτω Βιθυνία Φρυγία τε πᾶσα, καὶ Εὐρώπης μὲν ἡ Κολχική, ἣν νῦν προσωνομάζουσι Λαζικήν, Λιβύης δὲ ἡ μέχρι Νουμιδίας Ἀφρικὴ τοῖς αὐτοῖς ὁμι-

2 ἀσαμωνίτιδα S, ἀμμωνίτιδα S. 3 Σύρτεσι apud S. 6 ἀλλ' om CR. μητράσι τέκνα S. 7 καὶ ἐμπρ. τε apud S. ὠμότατα apud S. 8 fort. τό. H. 16 ψόφῳ C. 17 malim αὐτῶν τῶν. H. ἀφιλκύσαντες R, omissa mox καί. 18 ἀποδονται μακράν C, ἀπολοῦνται μακράν S, μακρὰν ἀποδώσουσιν R. corr H. τῇ CR. κάτω] S hic addit Ἀσίας, R Ἀσία. 19 Εὐρώκη apud S. 20 Λιβύη δὲ καὶ ἡ RS.

ropa (quippe pars Europae Africa est) Marmaricam, Nasamoniacum agrum et omnino praetentam magnis Syrtibus oram extrema affliget fames, adeo ut necessitate adactum vulgus in proceres regionum illarum insurrecturum sit ad exigendos eos. nec quisquam ob calamitates alteri fidem servabit, ne matres quidem liberis. eruntque ruinae domuum et dissipationes et incendia acerba. ad haec tyrannus cruentissimus leges miscebit adeo ut ne sacris quidem parciturus sit. damnaque ea magis masculis inter animantes, iisque praesertim quae ratione utuntur, inferentur, quia signum masculum specieque humana praeditum sunt gemini.

56. Sol cancro. quassationem si fieri contingit ubicunque terrarum, in Asia superiore finitima Persis turbabuntur, morbique pestilentes corpora nobilium in his partibus invadent, ut civitates a principibus orbae futurae sint. quique post eos potientur rerum, e vulgi ipsorumque optimatum decreto liberos a parentibus abstractos peregre abdent. in Asia inferiore Bithynia Phrygiaque omnis, in Europa Colchis (nunc Lazicam dicunt), in Libya Africa Numidiam usque iisdem malis

λήσει κακοῖς. ἐκλείψεις τε σεληνιακαὶ ἔσονται, ὅτι σελήνης οἶκος ὁ καρκίνος. πλείων δὲ ὕβρις γυναιξὶ γενήσεται, καὶ διαφιρόντως ταῖς ἑταιριζομέναις, ὅτι θῆλυ ζῴδιον ὁ καρκίνος, καὶ Ἀφροδίτης, ὅτι ταὐτὸν Ἀφροδίτη σελήνῃ.

Ἥλιος λέοντι. ἐὰν σάλος γένηται, οὐκ ἀγαθὸν ἐπὶ μὲν τῆς Ἀσίας Φοινίκῃ πάσῃ καὶ Ὀρχηνίᾳ, ἐπὶ δὲ τῆς Εὐρώπης Ἰταλοῖς τε καὶ Σικελοῖς καὶ Γάλλοις, ἔτι γε μὴν καὶ Λιβύῃ πάσῃ οὐκ ἀγαθόν· τὰ γὰρ βοσκήματα λιμῷ φθαρήσεται, ἐπομβρία δὲ ἔσται καὶ ἀκρίδων νέφη. ὁ δὲ λιγόμενος βροῦχος τοῖς καρποῖς λυμαίνεται, φθοραὶ δὲ ἔσονται ἀνδρῶν, ὡς πάντα ἐγγὺς μονωθῆναι τὰ συνοικέσια. οἱ δὲ λέοντες ἐν οἷς γίνονται χωρίοις φονικωτέρως κατ' ἀνδρῶν ὁρμήσουσι· τοῖς δὲ ἐν οἷς οὐ πεφύκασι φαίνεσθαι, πυρετὸς ὀξὺς ἐπιπεσεῖται. οἱ δὲ ἄρρενες πλεῖον αἰσθήσονται βλάβης, καὶ μάλιστα οἱ πρὸς ἀνίσχοντα ἥλιον, ὅτι ἄρρεν καὶ ἡλιακὸν ζῴδιον ὁ λέων.

Ἥλιος παρθένῳ. ἡλίου ἐπὶ τὴν παρθένον ἰόντος εἰ σάλος γένηται, Ἑλλὰς Ἀχαΐα Κρήτη Βαβυλὼν Μεσοποταμία Ἀσσυρία τε καὶ Κυκλάδες νῆσοι οὐ μετρίαις περιπεσοῦνται συμφοραῖς· χάσματα γὰρ κατ' αὐτὰς γενήσεται, οἵ τε γονεῖς θρηνήσονται τοὺς ἑαυτῶν παῖδας· οὐχ ἥκιστα δὲ χειμῶνες ξηροὶ καὶ παρθένων ἀνδραποδισμοί. ἡ δὲ ἐλαία πρὸς τοῖς ἄλλοις τοῦ φθινο-

1 σελήνη οἶκος καρκίνου S. 3 Ἀφροδίτης—Ἀφροδίτη] Ἄρης—Ἄρης S. 4 σελήνης R. 8 φθαρήσονται S. 9 ὁ δέ γε βροῦχος S. 10 πάντων ἐγγυμνωθῆναι RS. 13 πυρὸς C. 14 οἱ προσανίσχοντες ἡλίῳ S. 18 μετρίοις S. 19 θρηνήσουσι RS.

vexabuntur; eruntque defectiones lunae, quia lunae domus est cancer. maior autem offensio accidet mulieribus, et praecipue iis quae meretricium faciunt: quippe femineum signum cancer et Veneri proprium: idem enim est Venus quod luna.

Sol leone. quassatio si fit, infaustum, et in Asia Phoeniciae omni et Orcheniae, in Europa Italis Siculis Gallis, Libyae quoque omni minime bonum. nam pecora inedia interibunt; ingruent imbres et locustarum nubes. bruchus qui vocatur frugibus nocebit; clades virorum erunt, usque ad omnis fere coniugii diiunctionem. leones in quibus nascuntur locis, saevius homines invadent: in locis ubi natura non existunt, febris acuta superveniet. magis autem calamitatem sentient mares, et maxime qui ad orientem solem terras colunt, quia masculum et solare signum leo est.

Sol virgine. sol quando ad virginem accedit, si fit quassatio, Graecia, Achaia, Creta, Babylon, Mesopotamia, Assyria, Cyclades insulae in non mediocria incident mala. nam labes terrae ibi fient; parentes luctu prosequentur filios; nec minime hiemes siccae erunt, et redigentur in servitutem virgines. praeter alios fructus autumnales oliva

πώρου καρποῖς ἐπιτεύξεται. τὰ δὲ κακὰ ταῖς θηλείαις μᾶλλον τῶν ζῴων ἢ τοῖς ἄρρεσι συμβήσεται, ὅτι θῆλυ ζῴδιον ἡ παρθένος.

57. Ἥλιος ζυγῷ. εἰ κατὰ τόδε καιροῦ σεισμὸς γένηται, ἐπὶ μὲν τῆς ἄνω Ἀσίας Βακτρία Κασπία Σηρική, ἐπὶ δὲ Λιβύης Τρωγλοδυτικὴ Θῆβαί τε Αἰγύπτιαι καὶ πρὸς αὐταῖς Ὄασις οὐ μετρίως στυγνάσουσιν. οἱ γὰρ κρατοῦντες καταπράξονται τῶν εἰρημένων χωρίων, ὡς ἐξ ἀπογνώσεως τὸ πλῆθος ἐπαναστῆναι αὐτοῖς. τὰ δὲ ἱερὰ παραβαθήσεται οὕτω βεβήλως ὡς μηδένα τυχεῖν τῶν εὐχῶν. καὶ οἱ μὲν αὐτόχθονες πόρρω που τῶν ἐνεγκουσῶν ἐλαθήσονται, στρατεύμασι δὲ βαρβαρικοῖς οἱ εἰρημένοι ταραχθήσονται τόποι. λιμὸς οὖν ἄρα· πῶς γὰρ οὐχί; καὶ ἐλαττουμένης πανταχοῦ τῆς ἀνδρικῆς φύσεως, ὅτι ἄρρεν ζῴδιον ὁ ζυγός.

Ἥλιος σκορπίῳ. ἐπὶ τὸν σκορπίον ἡλίου διαβαίνοντος εἰ σάλον γενέσθαι συμβαίη, ἐπὶ μὲν τῆς ἄνω Ἀσίας Συρία μέση ἤτοι Κομμαγηνὴ καὶ Κασπία, ἐπὶ δὲ Εὐρώπης Ἰταλία καὶ Τυρσηνία καὶ ἕως δύνοντος ἡλίου Μαυρουσία τε καὶ Γαιτουλία ἐμπρησμοῖς ἀσχέτοις ἐκτεφρωθήσονται, οὐδ' αὐτῶν τῶν ἱερῶν περισωζομένων τοῖς τόποις. πόλεμοί τε ἔσονται ἀτυχεῖς τῇ νεολαίᾳ, ἐπικερδεῖς δὲ τοῖς στρατηγοῖς· βάρβαροι δὲ καθέξουσι Ῥωμαίοις ἀνήκοντα χωρία. πλείων δὲ ἡ κατὰ γυναικῶν τοῖς πράγμασι ζημία, ὅτι θῆλυ ζῴδιον ὁ σκορπίος.

4 Συρία R, Σιρική S. 7 ἐπαναστήσεται S. 11 λοιμὸς ἄρα S. 15 κώμης ἀγίνη C. Τυρνησία R. 19 καθέξωσιν C.

proveniet. mala autem feminis potius inter animantia quam maribus accident: nam virgo femineum signum est.

57. Sol libra. per id tempus si fit terraemotus, in Asia superiore Bactria Caspia Serica, in Africa autem Troglodytica, Thebae Aegyptiae, ad haec quoque Oasis, molestia haud mediocri afficientur. nam dominantes in locis illis conficient ea, ut multitudo desperata rebellatura sit adversus ipsos. sacra pervertentur tam inexpiabili scelere, ut optata impetraturus nemo sit. indigenae procul a civitatibus suis exterminabuntur; exercitibus barbaris dicta conturbabuntur loca, famesque (quidni non fiat?) subsequetur, quantumvis redacta ad paucitatem ubique pube mascula: nam signum masculum libra est.

Sol scorpione. sol quando per scorpionem transit quassationemque contingit fieri, in Asia superiore Syria media sive Commagene et Caspia, in Europa Italia Etruriaque, et ad occidentem solem usque Mauritania et Gaetulia incendiis vehementibus conflagrabunt, ne ipsis quidem fanis per tractus illos incolumibus. bella erunt perniciosa iuventuti, lucrosa ducibus: barbari loca Romanae dicionis occupabunt. maius autem erit in his rebus mulierum detrimentum, quia femineum signum est scorpio.

Ἥλιος τοξότῃ. ὅταν ὁ ἥλιος ἐπὶ τὸν τοξότην ἔλθῃ, εἰ σεισμὸν συμβαίη γενέσθαι, ἐπὶ μὲν τῆς μεγάλης Ἀσίας τῇ εὐδαίμονι Ἀραβίᾳ, ἐπὶ δὲ τῆς Εὐρώπης Τυρσηνίᾳ Κελτικῇ καὶ Ἱσπανίᾳ βλάβαι οὐχ αἱ τυχοῦσαι συμβήσονται. φθαρήσεται γὰρ λιμῷ τὰ βοσκήματα, ὁ δὲ ὠκεανὸς παρὰ τὸ πεφυκὸς ἐκχυθήσεται ὡς καὶ αὐτὴν Κάλπην ἐπικλυσθῆναι, πόλεις τε κατομβρίᾳ κινδυνεύσουσιν. ἡ δὲ ἀνδρεία φύσις ἐξ ἐνδείας τῶν ἀναγκαίων πανταχοῦ φθαρήσεται, ὅτι ἄρρεν ζῴδιον ὁ τοξότης.

58. *Ἥλιος αἰγόκερῳ.* ὅταν δὲ ἥλιος ἀποστρέφων ἀπὸ τοῦ νοτίου καμπτῆρος ἐπὶ τὸν αἰγόκερων ἔλθῃ, εἰ σεισμὸν συμβαίη γενέσθαι, ἐπὶ μὲν τῆς ἄνω Ἀσίας πᾶσα ἡ Ἰνδικὴ Ἀριανή τε καὶ Γεδρωσία, ἐπὶ δὲ τῆς κάτω Φρυγία τε πᾶσα καὶ Ἑλλήσποντος, ἐπὶ δὲ τῆς Εὐρώπης Μακεδονία καὶ Θρᾴκη πρὸς τῷ Ἰλλυρικῷ ἕως Ἴστρου ποταμοῦ οὐ μετρίως ταραχθήσονται πρὸς τῶν πλησιοχώρων, καὶ οἱ χείμαρροι τα λῇϊα καταχώσουσι, προσεπιλοιμωττόντων τῶν βοσκημάτων. ἐμφύλιοί τε πόλεμοι ἔσονται, ὀνείρων δὲ καὶ μαντευμάτων ψευδὴς ὄχλος· ἐνιαχοῦ δὲ καὶ πόλεις ἀθρόως καταποντισθήσονται.

Ἥλιος ὑδροχόῳ. ἡλίου ἐπὶ ὑδροχόον ἰόντος εἰ γένηται σεισμός, ἐπὶ μὲν τῆς ἄνω Ἀσίας Ὀξιανὴ Σογδιανὴ Ἀραβία μικρὰ καὶ Ἀζανία, τῆς δὲ Εὐρώπης ἡ Θρᾴκη ἕως Ἰλλυρικοῦ σφόδρα ταραχθήσονται· πόλεμοι γὰρ βαρεῖς ἐπιπεσοῦνται ταῖς χώραις.

1 εἰ — 2 γενέσθαι ex R add H. 6 Κάσπιν R, Κάλπιν S.
8 τὸ ζῴδιον C. 11 Ἀδριανή S. 12 Γεδρωσία RS.
15 προσεπιλιμωττόντων S, fortasse non male. H. 17 ὁ ὄχλος C.
20 ὀξινι σουβδιανη C, ὀξίνη σογδιανή RS. corr H, coll. p. 382 21.

Sol sagittario. sol ubi ad sagittarium pervenerit, si terram contingit contremiscere, in Asia maiore Arabia felix, in Europa Etruria, Gallia Lugdunensis, Hispania detrimenta haud levia accipient. etenim pecora inedia interibunt; oceanus praeter modum redundabit, ut ipsam Calpen sit obruturus; oppidis vis imbrium periculum creabit. pressusque difficultate necessariorum ubique occidet virilis sexus: quippe masculum signum sagittarius.

58. Sol capricorno. sol quando ab australi meta aversus ad capricornum venit, si forte fit terraemotus, in Asia superiore India universa, Ariana, Gedrosia, in inferiore Phrygia omnis et Hellespontus, in Europa Macedonia Thraciaque ab Illyrico Istrum usque ab accolis haud mediocriter turbabuntur; torrentes sata obruent, pecudibus simul tabe infectis. existent bella civilia, somniorumque et vaticiniorum falsorum multitudo; oppida quoque integra passim undis marinis involventur.

Sol aquario. sole ad aquarium accedente si fit terraemotus, in Asia superiori Oxiana, Sogdiana, Arabia minor, Azania, in Europa Thracia ad Illyricum usque admodum turbabuntur. nam bella gravia

τῇ δὲ Μακεδόνων χώρᾳ τὰ χείριστα συμβήσεται, ὡς ἐγγὺς ἀφανισμοῦ γενέσθαι.

Ἥλιος ἰχθύσιν. ὅταν δὲ ἰχθύσι γένηται ἥλιος, εἰ συμβῇ σάλος, ἐπὶ μὲν τῆς κάτω Ἀσίας ἡ καθ' ἡμᾶς Λυδία Κιλικία τε καὶ Παμφυλία, ἐπὶ Λιβύης Νασαμωνῖτις καὶ Γαραμαντικὴ ὑπὸ πολεμίων ξένων τε καὶ ἐμφυλίων δῃωθήσονται. αἱ δὲ πρὸς τῷ Πόντῳ κείμεναι πόλεις καὶ ἐπίνεια πειρατικαῖς ἐφόδοις ταραχθήσονται, οἱ δὲ δῆμοι τῶν εἰρημένων χωρῶν μηδεμιᾶς ὑποκειμένης αἰτίας κατ' ἀλλήλων ἐξενεχθήσονται· κατομβρίαι τε ἔσονται οὐχ ἧττους κατακλυσμοῦ, καὶ εὐχαὶ ἄπρακτοι καὶ ἔνδεια τροφίμων καρπῶν. ἐκ δὲ τῆς περὶ τὴν γῆν ὑγρότητος ὁ σπόρος ἄχρηστος, ἡ δὲ θάλασσα ταραχώδης καὶ ἐγγὺς ἄπλους. ἐκ δὲ παραδόξου μετ' οὐ πολὺ τὰ πράγματα ἐπὶ τὸ βέλτιον ἔσται, καὶ συντόμως εἰπεῖν ἀναλόγως τοῖς κακοῖς εὐφροσύνη.

2 γενέσθαι] ἔσται RS. 5 Νασαμωνίτης R. 6 τε ξένων S. 8 ἐπικειμένης R. 10 τροφίμων τε καὶ καρπῶν S. 11 ὑγρότης C. 12 ἄπλωτος margo R.

supervenient regionibus illis; ac durissima fortuna Macedonia provincia conflictabitur, nec quicquam propius fiet quam ut omnino pereat.

Sol piscibus. sol si pisces ingressus est intremitque terra, inferioris Asiae Lydia patria nostra, Cilicia et Pamphylia, in Libya Nasamonitis et Garamantica ab hostibus peregrinis et domesticis vastabuntur. oppida et portus Ponti vexabuntur appulsibus piratarum; multitudo regionum, quas diximus, inter se sine causa concitabitur; eruntque imbres largi, pluvialibus non minores, item obsecrationes irritae et frugum nutrientium inopia. ob telluris madorem sementes amissae; mare turbidum erit, nec fere poterit navigari. sed non multo postea praeter spem incipient res melius ire, et ut strictim dicam, respondens erit antecedentibus malis felicitas.

ΕΦΗΜΕΡΟΣ ΤΟΥ ΠΑΝΤΟΣ ΕΝΙΑΥΤΟΥ

ΗΓΟΥΝ ΣΗΜΕΙΩΣΙΣ ΕΠΤΟΛΩΝ ΤΕ ΚΑΙ ΔΥΣΜΩΝ ΤΩΝ ΕΝ ΟΥΡΑΝΩ ΦΑΙΝΟΜΕΝΩΝ

ΕΚ ΤΩΝ ΚΛΑΥΔΙΟΥ ΤΟΥ ΘΟΥΣΚΟΥ

ΚΑΘ ΕΡΜΗΝΕΙΑΝ ΠΡΟΣ ΛΕΞΙΝ.

59. *ΙΑΝΟΥΑΡΙΟΣ.* *α'. Καλένδαις ὁ ἥλιος ὑψοῦται, ὁ δ' ἀετὸς σὺν τῷ στεφάνῳ δύεται.*

β'. τῇ πρὸ δ' νωνῶν Ἰανουαρίων ὁ μὲν ἥλιος πηδῇ, τὸ δὲ μέσον τοῦ καρκίνου δύεται, καὶ οἱ ἄνεμοι ἐναλλάττονται.

γ'. τῇ πρὸ γ' νωνῶν τὸ λοιπὸν τοῦ καρκίνου δύεται, καὶ τροπὴ τοῦ ἀέρος ποικίλη.

δ'. τῇ πρὸ α' τὸ μέσον τοῦ χειμῶνος καὶ νότος πολύς, εἶτα καὶ βορραῖ συνεχεῖς. καὶ ὁ δελφὶς ἀνίσχει ἅμα τῷ κυνὶ περὶ τὸν ὄρθρον.

ε'. νώναις Ἰανουαρίαις ἡ λύρα ἀνίσχει, καὶ ὁ μὲν ἀετὸς δύεται, ὁ δὲ δελφὶν ὅλος ἐπιτέλλει. καὶ εἰκότως ἀνεμομαχία.

ς'. τῇ πρὸ η' εἰδῶν Ἰανουαρίων ἐν μὲν ἑσπέρᾳ ὁ ἀετὸς δύεται, νότος δὲ πνεῖ.

13 num βορρᾶς συνεχής? H.

DIARIUM TOTIUS ANNI

SIVE NOTATIO ORTUS ATQUE OCCASUS SIDERUM CAELESTIUM

E SCRIPTIS CLAUDII TUSCI

EXPRESSA AD VERBUM.

59. IANUARIUS. 1. Kalendis Ianuariis sol attollitur, aquila cum corona occidit. 2. IV Non. Ian. sol magis ascendit. medium cancri occidit, et venti commutantur. 3. III Non. reliqua pars cancri occidit: fit aëris mutatio varia. 4. prid. Non. Ian. hiemis medietas; auster multus; postea aquilones continui. delphin oritur cum cane circa diluculum. 5. Nonis Ian. fidicula oritur: aquila occidit, delphin totus se aperit. nec mirum, si sit ventorum conflictus. 6. VIII Idus Ian.

ζ'. τῇ πρὸ ζ' εἰδῶν ἀπαρκτίας καὶ βορέας κατάλληλος.

η'. τῇ πρὸ ς' εἰδῶν οἶκος Ἄρεως· νότος ἅμα καὶ ζέφυρος· ὁ δὲ αἰγόκερως ἄρχεται. βροχή τε ἅμα, καὶ ἐν ἑσπέρᾳ νότος πυκνός.

ϑ'. τῇ πρὸ ε' εἰδῶν νότος καὶ ὄμβρος.

ι'. τῇ πρὸ δ' εἰδῶν ὁμοίως· ὁ δὲ νότος βιαιότερος.

ια'. τῇ πρὸ γ' εἰδῶν ἀπαρκτίας μετὰ βροχῆς καὶ χιόνος.

ιβ'. τῇ πρὸ α' εἰδῶν νότος πνεῖ.

ιγ'. εἰδοῖς Ἰανουαρίαις ἄστρον κρυπτόν. καὶ πρῶτον μὲν λόγος τὸν ὀϊστὸν δύεσθαι, ἐν δὲ τῇ νυκτὶ βρέχειν.

ιδ'. τῇ πρὸ ιϑ' καλενδῶν Φεβρουαρίων ἄστρον κρυπτόν, καὶ ποικίλη τροπὴ βορέου ἅμα καὶ ἀπαρκτίου. καὶ ὁ μὲν λέων ἄρχεται δύεσθαι, ἔσϑ' ὅτε δὲ βρέχει.

ιε'. τῇ πρὸ ιη' καλενδῶν ἀπαρκτίας καὶ βορρᾶς σφοδρῶς.

ις'. τῇ πρὸ ιζ' καλενδῶν ὁ μὲν ἥλιος ὑδροχόῳ, εὖρος δὲ μετὰ βροχῆς.

ιζ'. τῇ πρὸ ις' καλενδῶν ἡ μὲν λύρα ἄρχεται δύεσθαι, περὶ δὲ τὸν ὄρθρον ἀνεμομαχία.

ιη'. τῇ πρὸ ιε' καλενδῶν ἴωθεν μὲν δύεται ὁ λέων. βορέου ἅμα καὶ νότου καὶ ἀπαρκτίου διαφορά, καὶ βροχῆς. ὁ δὲ δελφὶν μετὰ λέοντα δύεται.

ιϑ'. τῇ πρὸ ιδ' καλενδῶν τροπή, καὶ τὸ μεσαίτατον τοῦ χειμῶνος.

κ'. τῇ πρὸ ιγ' καλενδῶν βορρᾶς καὶ νότος. καὶ τὸ μέσον μὲν τοῦ καρκίνου δύεται, ὁ δὲ ὑδροχόος ἄρχεται ἀνίσχειν.

1 ἄπαρκτος C. κατ' ἀλλήλων R². 3 ἄρχεται] videtur deesse δύεσθαι. H. νότος] Leonicus caligo: videtur legisse σκότος. H. 10 ὀϊστὸν H, ἰστον codices. 14 fortasse legendum σφοδρός. H. 20 καὶ βρ.] μετὰ βρ. H, ut est p. 360 2.

